NOVAE PATRUM BIBLIOTHECAE

AB

ANGELO CARD. MAIO EDITAE

TOMUS OCTAVUS

A IOSEPHO COZZA MONACHO BASILIANO ABSOLUTUS

CONTINENS IN PARTE I.

S. THEODORI STUDITAE

EPISTOLAS ET FRAGMENTA

IN PARTE II.

GEORGII METOCHITAE DIACONI

HISTORIAE DOGMATICAE LIBRUM I ET II

IN PARTE III.

SS. SYMEONUM STYLITARUM

SERMONES

ET S. ISAACI SYRI

EPISTOLAM



ROMAE

APUD IOSEPHUM SPITHOEVER

M·DCCC·LXXI·

PARS II.

GEORGII METOCHITAE DIACONI

HISTORIAE DOGMATICAE

LIBER I ET II.

ΓΕΩΡΓΙΟΥ

ΤΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΜΕΤΟΧΙΤΟΥ

ΛΟΓΟΣ ΔΙΑΛΑΜΒΑΝΩΝ ΤΑ ΤΗΣ ΠΡΟΒΑΣΗΣ ΕΙΡΗΝΗΣ ΜΕΣΟΝ ΕΚΑΤΕΡΩΝ ΕΚΚΛΗΣΙΩΝ ΤΗΣ ΤΕ ΠΡΕΣΒΥΤΕΡΑΣ ΡΩΜΗΣ ΚΑΙ ΤΗΣ ΝΕΑΣ ΚΑΙ ΗΜΕΤΕΡΑΣ, ΚΑΙ ΤΑ ΕΠΑΚΟΛΟΥΘΗΚΟΤΑ ΚΑΘΕΞΗΣ 1).

α΄. Οὐκ οἶδα εἰ καὶ ἄλλοτέ ποτε τοσοῦτον ἐξετάθη κακίας, καὶ τηλικαύτην καταλληλίαν ἔσχεν ἑαυτῇ ϖροσώϖων τε καὶ καιρῶν, ὁϖοίαν νυνί· τὸ γὰρ οὕτω προβὰν ἐνεργὸν αὐτῶν καὶ δραστήριον, ὡς σχεδὸν ἄρδην ἀνατρέψαι τὸ ϖᾶν ἐκκλησίας τῆς καθ᾽ ἡμᾶς, καὶ ϖερὶ ἐλαχίστου μὲν θεῖναι θεσμοὺς καὶ νόμους αὐτῆς, κοινώσασθαι δὲ καὶ αὐτὰ τὰ φρικώδη καὶ ἄχραντα, καὶ τέλος εἰς ἀθέτησιν τῶν πατρικῶν ἀϖοθριάσαι δογμάτων ϖάντας παραβιάζεσθαι, δίδωσί μοι τοιουτοτρόπως διαπορεῖσθαι, καὶ ἑπομένως διαλογίζεσθαι, μὴ ἂν πώποτε πλημμυρῆσαι δυνηθῆναι ταύτην ἄχρι τοσούτου, καὶ μὴ ἂν πώποτε τοιούτοις ἐντυχεῖν ἐξυσχύσαι τοῖς καθυπηρετουμένοις αὐτῇ, ὁποίους ὁ νῦν καιρός ἐσχεδίασεν, οἰκείως ἔχοντας ταύτῃ καὶ προσφυῶς, οὐ μόνον ἀφ᾽ οὗ πρώτως τὸ τῶν ἐκκλησιῶν σχίσμα ἐῤῥάγη τῆς πρεσβυτέρας γε φημὶ Ῥώμης καὶ τῆς νέας καὶ ἡμετέρας· τότε γὰρ 2)..μένον· ἀλλὰ καὶ πολλῷ πρόσθεν, ὅσα ἐμὲ εἰδέναι οὐχ ἧττον μέν τοι καὶ μὴ ἀμφισβητοῦντι ἔπεισί μοι Cod. vat. 1583. f. 1. a.

GEORGII

METOCHITAE DIACONI

TRACTATUS CONTINENS NARRATIONEM PACIS INITAE INTER UTRAMQUE ECCLESIAM, SENIORIS VIDELICET ROMAE, ATQUE NOVAE SEU NOSTRAE, ET QUAE DEINCEPS SUBSECUTA SUNT.

1. Haud scio an aliàs aliquando tantum se malitia intenderit, tantaque fuerit personarum ac temporum vicissitudo, uti nunc est: reapse enim eiusmodi extitit acti negotii commotio atque efficacia, ut funditus propemodum universa ecclesia nostra eversa fuerit, et nauci habitae constitutiones eius ac leges, et ipsa tremenda atque immaculata mysteria profanata, et denique omnes ad patria dogmata deserenda adacti. Haec, inquam, me idcirco ambiguum faciunt, consequenterque ratiocinando concludere, haud temere potuisse procellam hanc tantopere exundare, neque tot favitoribus convalescere, quot praesens tempus repente protulit, negotio huic impense intimisque viribus studentes, non solum ex quo primitus ecclesiasticum schisma erupit inter seniorem Romam novamque nostram; tunc enim . . sed multo altius, quantum scio, atque indubitanter adfirmare iam ausim, hunc malorum cumulum, tantum-

1) Sequitur in codice τῆς πρὸς ἀνα . . . oblitterato deinceps vocabulo. Nec ipse quidem Allatius legit ulterius, immo in apographo suo tria haec verba praeteriit.

2) Brevissima oblitteratio.

διϊσχυρίζεσθαι, ὡς ὁ ἐντεῦθεν κολοφῶν τῶν δεινῶν, καὶ ἡ ἐπὶ μέγα τῶν ἀτοπημάτων ἐφάπλωσις καὶ πορισμὸς οὐκ ἀγεννής, καὶ ὕλη παντοδαπὴ πολυάφορος πρὸς οἰκείαν ἐργασίαν τοῖς περὶ τὸ λέγειν ἔσεῖται δεινοῖς, οὖσι
cod. f. 1. b. τε καὶ γενησομένοις μεθ' ὕστερον· φαίην δ' ἂν θαρραλέως ὡς καὶ τούτων αὐτῶν καθυπερτερήσειε κατὰ τὴν σφῶν ἐντελῆ πρὸς ἅπαν ὑπαγόρευσιν καὶ ἀνάπτυξιν, μὴ ὅτι τῶν οἷος ἐγὼ ἀμενηνῶς ἐχόντων πρὸς λογικὴν ἐπιστήμην καὶ μέθοδον· πλὴν ἀλλὰ καὶ οὕτως ἔχοντι πειρατέον ἄρα μοι κατὰ τὸ ἐνὸν λόγοις οὐμενουν ἐφικέσθαι τῶν πραγμάτων δυνησομένοις, βραχέσι δὲ τὸ σύμπαν καὶ ἀμυδροῖς, τὸ προτεθὲν πᾶν εἰς δήλωσιν ἀγαγεῖν· καὶ δὴ ἀρκτέον ὅθεν ἄρξασθαι ἄμεινον.

β'. Ἦν ὅτε καλῶς εἶχε τὰ καθ' ἡμᾶς· ἦν ὅτε βαθεῖα γαλήνη τούτοις ἐπεμειδία, καὶ ἀστασίαστος εἰρήνη ἐπεχωρίαζεν· ἦν ὅτε μετὰ πολὺν καὶ διάφορον σάλον, μετὰ κλύδωνας ἀφορήτους, μετὰ πολλοὺς καὶ ἀλλεπαλλήλους ταράχους, οὓς οἱ τῶν αἱρέσεων ἀρχηγοὶ κατὰ διαφόρους καιροὺς συνεστήσαντο, νηνεμία καθαρά καὶ εἰλικρινὴς τῇ τοῦ θεοῦ ἐκκλησίᾳ φαιδρὸν καὶ χαρίεν ἔστιλβε, καὶ ὡς εἰς τελευταῖον σαββατισμὸν τὴν ἑβδοματικὴν ἁγίαν τῶν πατέρων συνέλευσιν, ἔληγεν αὐτῇ τὰ τῆς τρικυμίας, καὶ τὰ τῆς ἠρεμίας ἐπὶ μακρὸν ἐκρατύνετο, καὶ τὸ ἐντεῦθεν γαληναῖον κομιδῇ καὶ ἀκύμαντον ἀμφοῖν ἐκράτει ταῖν ἐκκλησίαιν τῆς τε πρεσβυτέρας Ῥώμης καὶ τῆς νέας καὶ καθ' ἡμᾶς, ὡς εἰς μίαν ὁμοφροσύνην ἄμφω συνδεῖσθαι καὶ μίαν ἐκκλησίαν ἀμφοτέρας ἀποκαθίστασθαι· ἐπεί τοιγε καὶ τοῦτο σκοπὸς τῷ ὑπὲρ ἡμᾶς ἄχρι τῆς ἡμετέρας κατελθόντι ἐσχατιᾶς, καὶ σάρκα τὴν ἡμῶν προσλαβόντι, πάσης ἁμαρτίας χωρίς, τὸ εἰς ἓν τὰ διεστῶτα συνάψαι, καὶ μίαν τὴν ἐξ ἐθ-

que facinorum incrementum ac diffusionem, origines suas deducere: quae res multiplicem ac variam peculiaris lucubrationis materiam disertis hominibus seu hodiernis seu posteris suppeditabit. Dicam immo confidenter, fore ut huiusmodi argumentum vires etiam illorum superet, qui exquisita eloquentia et arte historica valent, nedum eorum qui, ut ego, infirma dicendi facultate et artificio sunt. Nihilo tamen minus, quamquam ita sum comparatus, conandum mihi est, prout valuero, verbis haud rem quidem aequiparare valentibus, sed brevibus atque incultis, universum hoc argumentum in lucem efferre. Inde igitur initium capiam, unde exordiri aptius videtur.

2. Fuit sane tempus quo res nostrae bene se habebant, summa quies arridebat, pax imperturbata regnabat. Post multam variamque procellam, post intolerabiles tempestates, post multos sibi succedentes tumultus quos haeresum auctores diversis temporibus concitarunt, pura tranquillitas ac serena laete atque amabiliter in ecclesia Dei splendebat, eoque quasi pleno sabbatismo, septima patrum sancta synodus tempestatem pacaverat, atque in longum tempus quietem firmaverat. Proinde pacificus plane et imperturbatus ambarum ecclesiarum status erat, senioris nimirum Romae nostraeque novae, ceu unanimi concordia colligatarum, immo in unam coëuntium ecclesiam. Quippe hic scopus fuit illius, qui usque ad nostram infimam conditionem descendit, nostramque carnem absque peccato assumpsit, nempe in unum

νῶν ἐκκλησίαν ἀποτελέσαι, ὑπὲρ ἧς αὐτὸς τὸ οἰκεῖον αἷμα ἐξέχεεν· ἦν ὅτε ταῦτα καὶ τρανῶς ἐπέλαμπε τὰ τῆς ὁμονοίας, καὶ τοῦ μέσου πᾶν τὸ εἰς διχόνοιαν ἀπελήλατο· καὶ κατὰ τὸν πνευματορήτορα μέγαν ἀπόστολον, οὐκ ἦν ἰταλὸς καὶ γραικὸς, οὐ βάρβαρος καὶ ἕλλην, ἀλλὰ τὸ ἐπίσημον ἀμφοῖν ὁ Χσιστὸς, καὶ τὸ ἀπὸ Χριστοῦ εἶναι, καὶ ὀνομάζεσθαι· ἦν ἀληθῶς ταῦτα, καὶ λίαν εἶχε καλῶς.

γ'. Ἀλλ' ὁ τοῖς ἀγαθοῖς ἀεὶ βάσκανον ἐνορῶν, ὁ κοινὸς τῆς ἡμῶν σωτηρίας πολέμιος, μὴ ἀνεκτὸν ἡγούμενος τοσοῦτον, ἀγαθὸν παῤῥησιάζεσθαι τὴν ὁμόνοιαν, συγχέαι ταύτην αὖθις ἐπιχειρεῖ, καὶ θορύβους πάλιν ἀνακυκᾷ, καὶ τα- cod. f. 2. a.
ραχὰς ἑτέρας ἐπιτεχνάζεται· καὶ ὁ τρόπος οἷος οὐ κατὰ τοὺς προτέρους αὐτῷ, ἀλλ' ἕτερός τις ἐκτόπως σκαιὸς, καὶ λίαν χαλεπὸς, καὶ δυσμήχανος, ἐκπολεμῶσαι τὰ τῶν χριστωνύμων ἐθνῶν πρώτιστα μηχανᾶται ῥωμαίους δηλαδὴ καὶ γραικοὺς, ἅτε τοῦτον εἰδὼς πόλεμον ἀκαταγώνιστον καὶ ἀσύμβατον· εἴπερ ἡ πρὸς διάφορα τῶν γενῶν μάχη ἐστιν, ὅτε καὶ οἷς πέφυκεν ἀκατάλλακτος, ἡ δὲ πρὸς ὁμοφύλους ῥαδίαν εἶδε τάχα καὶ τὴν ἀπαλλαγὴν, ἡνίκα καὶ μάλιστα γενέσι διαφόροις τὸ μὴ ἀμφιδοιάζειν ἐνὸν, ὃ πρὶν ῥωμαίοις ἐτύγχανεν ἡμῖν, τοῖς ἐθελομαχοῦσι παρὰ θατέροις ἀνθίσταται· τῷ τοι καὶ ὁ τῆς κακίας οὗτος δημιουργὸς πολλὰς ἐγείρας ὑσμίνας ἐνταῦθα κατὰ καιροὺς πρὸς ὁμοφύλων τῆς ἀληθείας ἐχθρῶν, ἐπειδὴ τῷ μάχεσθαι οἴκοιτε καὶ σχεδὸν ἐξεκρούσθη, καὶ πλέον ἔτι τῷ στεῤῥῷ τῆς ὁμογνωμοσύνης ἀμυντηρίῳ τῶν ἑκατέρων φυλῶν· ἐῶ γὰρ εἰπεῖν ὡς καὶ τὸ κυριώτατον τῆς τούτου ἀποτροπῆς ἐξ ἑνὸς τῶνδε καὶ μᾶλλον τοῦ ῥωμαϊκοῦ μέρους γεγένηται· καταδη-

discordantia copulare, et unam ex gentibus conflare ecclesiam, pro qua ipse proprium sanguinem fudit. Tempus inquam aliquando fuit, cum liquida splenderet concordia, omni dissidio sublato; cum iuxta spiritalem oratorem, magnum apostolum, non erat italus, neque graecus, neque barbarus, neque ethnicus, sed unum utrique parti impressum signaculum Christus, et omnes Christi esse atque ab eo nominari. Sic vere et praeclare admodum se res habebat.

3. Sed enim qui res bonas invido semper oculo spectat, publicus nostrae salutis hostis, tantum bonum haud ferendum ratus, concordiam scilicet tute perseverare, hanc rursus perturbare adgreditur, tumultus denuo permiscet, et novas commotiones excogitat. Ceteroqui modus haud prioribus similis fuit, sed alius quidam enormiter pravus, dirusque plane et inexplicabilis: scilicet contentione inter se praecipue committit christianas gentes, id est Romanos et Graecos, quorum fore litem sciebat infinitam et implacabilem. Siquidem contentio inter diversi generis populos solet esse inconciliabilis; secus vero cum homogeneis, facile componi potest: quia natione diversis, in communi consultare non vacat, prout antea nobis cum Romanis usuveniebat: quae res utrique parti ad pugnandum incensae negotium facessit. Quamobrem hic malitiae parens postquam multas antea pugnas concitaverat inter homogeneos veritatis hostes; bellis demum domesticis propemodum prohibitus fuit, firmiore etiam vinculo utraque gente constricta. Mitto enim dicere, quod praecipua huius mali amolitio ab una ex his parte, et praesertim a romana facta fuit: nam

*

λον δὲ ἄρα καὶ τοῦτο, οἷς ἔργον ὑπῆρξεν αἱ συνοδικαὶ πράξεις, καὶ θεοκρότητοι· τέλος ἀμφοτέροις ἔθνεσι τούτοις προσβάλλει μετὰ πλείονος τῆς παρασκευῆς, καὶ τὸν πύργον ἀμφοῖν κατασείει τοῦ καλοῦ στερεώματος τῆς ἑνώσεως, καὶ ῥῆξιν ἐργάζεται πικρὰν καὶ ἀνηλεῆ, καὶ πολλῶν δεινῶν καὶ μεγάλων παραίτιον· ὅπως μὲν οὖν καὶ ὅθεν ἐξ ἐπηρείας τοῦ μισοκάλου τούτου τὸ τῆς διαστάσεως ἴσχυσε ταύτῃ παρεισφθαρῆναι δεινὸν, καὶ ὅπως ἐκ φιλοδοξίας ἀρξάμενον εἰς ἔσχατον ἐληλάκει μανίας, πλατυκωτέρας ἢ κατὰ τὴν παροῦσαν ἐγχείρησιν δεόμενον ἀφηγήσεως, ὅμως διὰ βραχέων ἐρῶ.

δ'. Πατριαρχικῶς ἐπηδαλιούχει τὸν τῆς Κωνσταντίνου θρόνον Ἰγνάτιος ἀνὴρ πνευματικοῖς ἀγῶσιν ἐντεθραμμένος, καὶ ἀρετῆς ἐς μέγα ἐλάσας, καὶ πολὺ κλέος ἁγιωσύνης, ἀπενεγκάμενος, ᾧ καὶ τελετὴν ἐκτελεῖσθαι κατ' ἔτος ἑόρτιον ἀφιέρωται, καθ' ὃν λόγον τοῖς ὁποίῳ δή τινι τρόπῳ τὸν βίον ἁγίως διηνυκόσι ποιεῖν ἐξ ἔθους ἡ ἐκκλησία παρέλαβε· τούτῳ Φώτιος ἀνὴρ καὶ αὐτὸς τῇ κατὰ κόσμον εὐκλείᾳ περιφανὴς, καὶ λόγῳ καὶ σοφίᾳ περίβλεπτος ἔρωτι φιλαρχίας ἁλοὺς, ἐπηρεαστικῶς ἐπιφύεται· καὶ θᾶττον τόνδε τοῦ οἰ- cod. f. 2. b. κείου θρόνου καταγαγὼν, τὴν τῶν κρατούντων ἅτε δυναστείαν σφετερισάμενος, αὐτὸς τούτῳ ἐπιπηδᾷ· ἀλλ' ὁ ἠδικημένος μὴ ἔχων ὅ τι καὶ δράσειεν, ἔν τι διανοεῖται, τὴν ἐς τὴν ῥωμαϊκὴν ἐκκλησίαν κατὰ τὸ κρατῆσαν ἔθος 1) καταφυγὴν, καὶ δὴ τῷ ταύτης προέδρῳ, Νικόλαος οὗτος ἦν, δηλοποιεῖται τὰ κατ' αὐτόν· καὶ ὃς μελήσας μηδὲν ἐπιταχύνει τῷ καταπονουμένῳ τὴν οἰκείαν ἀντίληψιν, καὶ διὰ γραμμάτων θριαμβεύει τὴν ἀδικίαν, καὶ τὸν ἀδικοῦντα παύσασθαι παραινεῖ, καὶ κανονικοῖς ἐπιτιμίοις τάχος ἀποδοῦναι τῷ ἀδικουμένῳ

et hoc exploratum est, quod his semper curae fuerint synodorum divinitus congregatarum acta. Novissime ergo utramque gentem maioribus viribus impetit, et ambarum arcem oppugnat egregie firmatae unionis, facitque discidium acerbum et crudele, multorumque ingentium malorum fontem aperit. Igitur quomodo et unde, fraude osoris bonarum rerum diaboli, grave hoc discordiae malum grassari potuerit; et quomodo ex ambitione ducto initio, in summum furorem devenerit, haec sane latior materia est, praesentique tractatu maiorem expositionem postulans; quam ego tamen breviter delibabo.

4. Patriarchalem regebat Constantinopoleos sedem Ignatius, vir spiritalibus certaminibus innutritus, magna virtute praeditus, multaque sanctitatis gloria redundans: cui annuum quoque festum deputatum est, quemadmodum iis qui sancte vitam concluserunt, ecclesia solet decernere. Huic Photius, vir et ipse mundana gloria clarus, et litteris atque sapientia spectabilis, honoris ambitu captus, iniquus adversarius consurgit: brevique eo, per conciliatam sibi imperantium potentiam, sede sua deiecto, hanc ipse occupat. Tunc qui iniuriam passus erat, cum quod ageret aliud nihil haberet, ad romanam ecclesiam pro vigente more provocat, et Nicolao pontifici negotium suum significat; qui absque ulla mora afflicto patrocinium suum commodat, missisque litteris illatam iniuriam publice insectatur, auctoremque eius desistere hortatur, et sub canonicarum poenarum interminatione ilico red-

1) Vides confitentes Graecos antiquum morem ad s. Sedem romanam in controversiis provocandi.

τὴν ἐς τὸν οἰκεῖον θρόνον ἐνίδρυσιν ἀποτίθησι· καὶ ὁ Φώτιος ἐπείπερ ἀπολαύειν οὐ συνεχωρεῖτο τῶν ὧν ἤρα κατὰ πολλὴν ἄδειαν, ὡς ἐβούλετο, δυσαναχετεῖ πρὸς ταῦτα, καὶ χαλεπαίνει σφοδρῶς· πλὴν ἔτι τὸν θυμὸν ἐκπλῆσαι κατέχει, εὖ θέσθαι τὰ κατ' αὐτὸν ἑτέρως διανοούμενος, καὶ ταῖς κρείττοσι τῶν ἐλπίδων πτερούμενος, ἦ μὴν Νικόλαον πείσειν τὸν Ῥώμης ἀρχιερέα συνθέσθαι οἱ πρὸς τὸ ποθούμενον· εἰ δὲ μὴ τούτου ὀφθείη ἐπιτυχὴς, τό γε δεύτερον εἰς λαμπρὰν ἑκατέρων ἐθνῶν χωρῆσαι διάζευξιν· ὡς οὖν ταῦτα θέμενος κατὰ νοῦν, πρὸς τὸ πρῶτον ὁλοσχερῶς κατηπείγετο, μικροῦ καὶ ἀδυνάτοις ἐδόκει ἐπιχειρεῖν· ὁ μὲν γὰρ ῥήμασιν ἐπιστολιμαίοις πολὺ τὸ ἐπαγωγὸν αὐχοῦσι, πολυτρόπως ἔχουσι τὸ πειθήνιον, τὸ μὲν κατασκευῇ καὶ μεθόδῳ πολυειδῶν ἐπιχειρημάτων, τὸ δὲ καὶ ἀπειλαῖς ἐντεῦθεν ὑφορωμέναις, καὶ τὴν διάστασιν ὑποτεινομέναις, ὡς εἰ μὴ πείσαιεν, ὑποποιήσασθαι τὸν ἐπὶ τῆς ἀποστολικῆς καθέδρας πρὸς τὸ ζητούμενον ἔσπευδεν 1). Ὁ δὲ λεόντειον ἑώρα κατὰ τῆς ἀδικίας, καὶ οὐδ' ἂν ἀνασχέσθαι ταύτης ὁπωσδήποτε κατεφαίνετο· ἔτι γε μὴν καὶ βαρυτέραις ἄγχειν τοῦτον κανονικαῖς πέδαις προῄρητο· καὶ οὐκ αὐτὸς μὲν οὕτως, Ἀδριανός δὲ ὁ τούτου διάδοχος ἐπευδοκῶν ἐδείκνυτο πρὸς τὸν Φώτιον, ἢ ἀνειμένως ἔχων, ἢ ὁπωσοῦν μαλθακώτερον διακείμενος, πολλοῦ γε καὶ μᾶλλον σφοδρότερον διεγείρεται, καὶ δεσμοῖς σθεναρωτέροις ἐμπεδῶσαι τοῦτον διερεθίζεται 2)· οἷς Φώτιος τῶν πρώτων καὶ κρειττόνων ἐλπίδων σφαλεὶς, καὶ τῷ θυμῷ ὑπερζέσας, ἐπειδὴ τὸ δεύτερον κατελείπετο, ὅλως γίνεται τούτου, cod. f. 3. a.
καὶ πρὸς διαμάχην χωρεῖ, καὶ πρὸς πόλεμον ἀκήρυκτον διανίσταται· καὶ ἡ ἐγκύκλιος δὲ παρ' αὐτοῦ λογογραφεῖται ἐπιστολὴ 3), καὶ θᾶττον οἰστοῦ παντὸς

dere laeso iubet propriae sedis possessionem. Tunc Photius, quoniam secure re optata frui non poterat, ut volebat, moleste id fert, et magnopere exasperatur: nihilominus iram statim explere differt, negotium suum aliter bene gerere cogitans: atque in spem erigitur persuadendi romano pontifici, ut voto suo faveat: quod si consequi non videretur, reliquum consilium erat, publicum utriusque gentis facere discidium. His secum deliberatis, priorem consilii partem, quamquam paene impossibilem, nisu omni adgressus est. Ergo scriptis litteris valde delenientibus, multamque ac variam suadelam habentibus, partim apparatu atque artificio multiplicium argumentorum, partim etiam minis inde emicantibus, et scissionem portendentibus, nisi consensum persuaderet apostolicae cathedrae domino, ad scopum suum properabat. Verumtamen torvo oculo pontifex iniquitatem aspexit, neque ullatenus se hanc passurum ostendit: atque insuper gravioribus Photium canonicae auctoritatis vinculis constringendum iudicavit. Tunc vero Photius prima ac meliore spe deiectus, et ira aestuans, quod secundo loco supererat toto animo arripit, in aciem prodit, ad implacabile bellum consurgit, et encyclicam scribit epistolam, quae telo quolibet ocius emissa, aligerisque avibus velocius evolans, mundum paene

1) Extat latine haec Photii epistola apud Baronium ad an. 861. n. 54; graece autem apud cl. Iagerum hist. schism. Phot. p. 439, quem graecum textum antea mutilum nuper nos complevimus ope codicis vaticani in hac PP. B. T. IV. p. 51.

2) Photii damnatio plurimis verbis fit in Nicolai PP. epistolis.

3) Inter photianas est secunda in Montacutii editione.

ἀφεθεῖσα, ἣ καὶ ταχυπτέρων ὀρνίθων ὠκύτερον διαπτᾶσα κατατρέχει τὴν οἰκουμένην σχεδὸν, καὶ οἰκουμενικὸν ἄρην ἱστᾷ, τῶν τῆς οἰκουμένης ἅτε γενῶν τὰ κράτιστα κατ' ἀλλήλων ὁπλίσασα.

ε'. Καὶ ἡ αἰτία καὶ τὰ ἐγκλήματα οὐχ ἕτερα πάντως ῥωμαίοις, ἀλλ' ἣ ἅπερ καὶ πρώην αὐτὸς Φώτιος ἐνόντα τούτοις ᾔδει καὶ ἔστεργε, καὶ τὸ τῆς συμπνοίας ἐπρέσβευεν ἀδιάῤῥηκτον· καὶ τῶν λεγομένων κῆρυξ ἀληθὴς αὐτόχρημα καὶ διάτορος, αὐτὴ ἡ ἑτέρα τούτου ἐπιστολὴ, ἣν φθάσας ἐγχαράττει πρὸς τὸν Νικόλαον, ἔτι τῶν ἐλπίδων, ὡς προέφην, ἀπαιωρούμενος· ἔξεστι γὰρ ἐκ ταύτης ἀριδήλως καταμαθεῖν τῷ βουλομένῳ παντὶ, ὡς ἔθιμα πάντα ῥωμαίοις ἐπιστολῇ τῇ ἐγκυκλίῳ διαβαλλόμενα γνωστὰ καθειστήκει Φωτίῳ καὶ ἀδιάβλητα τῷ τῆς εἰρήνης καιρῷ, καὶ ὡς ἀεὶ τὸ στεργὸν ἂν εἶχε καὶ τὸ ἀνέγκλητον, εἴ γε μὴ τῶν ὧν ἐφιέμενος ἐτύγχανεν ἀμοιρῶν· ὅτι δὲ τοῦτο κἀκείνοις ἀκολούθως συμβέβηκε τὸ ὡσπερεί τινα τῶν μεγάλων αὐτῷ καὶ ἀπηγορευμένων διακηρυκευθῆναι κακῶν· ὅτι δὲ καὶ Μάξιμον τὸν πολὺν τὰ θεῖα, καὶ τὸν βίον καὶ τὴν σοφίαν οὐράνιον Φώτιος οἶδε σύμφωνον τὴν παρὰ ῥωμαίοις προσθήκην ταῖς διαφόροις χρήσεσι τῶν πατέρων ἀποφαινόμενον ἐν τῇ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρου τούτου ἐπιστολῇ 1), τίς τῶν ἐξεταστικώτερον εἰς ταῦτα καταγομένων ἐπιδιστάσειεν; εἰ δὲ καὶ ὁ γενναῖος τῆς ἀληθείας ὑπασπιστὴς Θεόδωρος ὁ τῆς μονῆς τῶν Στουδίου καθηγησάμενος ἐν ταῖς πρὸς τὸν Ῥώμης οἰκείαις ἐπιστολαῖς, Πασχάλιος τούτῳ τὸ ὄνομα, λέγων οὕτω πως καὶ γράφων εὑρίσκεται 2). "Ὑμεῖς οὖν ὡς ἀληθῶς „ ἡ ἀθόλωτος καὶ ἀκαπήλευτος πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας· ὑμεῖς ὁ πάσης

universum percurrit, et oecumenicum bellum conflat, fortissimos mundi populos in mutuam offensionem armans.

5. Age vero causa et criminationes nullae aliae omnino adversus Romanos erant, quam quas antea ipse Photius his inhaerere et sciebat et simul adquiescebat, indissolutam cum iisdem concordiam profitens. Quippe huius rei verus praeco et spontaneus atque clarisonus, illa est, diversa ab hac, epistola quam antea scripsit, spe sua, ut diximus, adhuc suspensa. Potest enim quisquis volet, ex illa perspicue cognoscere, quod omnes Romanorum consuetudines, quae in encyclica epistola improbantur, cognitae prorsus Photio fuerant, et irreprehensae pacis tempore; et quod eaedem probatae et nulli expostulationi obnoxiae mansissent, nisi ipse votis suis exclusus fuisset. Namque hinc contigit, ut eae tamquam gravia et detestanda mala ab isto diffamarentur. Atqui etiam a theologo doctissimo, vita sapientiaque caelesti praedito Maximo, cognovisse Photium, additamentum illud a Romanis factum, consonum demonstrari diversis patrum auctoritatibus, in sua ad Marinum Cypri presbyterum epistola, quis haec paulo accuratius scrutatus dubitaverit? quandoquidem etiam strenuus veritatis propugnator Theodorus monasterii Studii abbas, in suis ad romanum pontificem Paschalem litteris ita scribere comperitur. « Vos quidem vere » purus estis et sincerus iam inde ab initio fons orthodoxiae: vos in omni hae-

1) Prima haec apparet in editione Combefisii, cuius legenda est docta adnotatio T. II. p. 73.
2) In editione Sirmondi lib. II. 13.

„ αἱρετικῆς ζάλης ἀνῳκισμένος εὔδιος λιμὴν τῆς ὅλης ἐκκλησίας· ὑμεῖς ἡ θεό-„ λεκτος πόλις τοῦ φυλαδευτηρίου τῆς σωτηρίας.„ Καὶ πολλά τούτοις ἕτερα παραπλήσια τῷ τοιούτῳ καὶ λοιποῖς τοῖς τῆς αὐτῆς ἐκκλησίας ποιμέσι προσμαρτυρούμενος 1). Ἔτι τὲ μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ πρὸς Ναυκράτιον, περὶ τῆς ῥωμαϊκῆς καθέδρας τάδε κατ' εἰκονομάχων ὁρᾶται φάσκων 2). "Μαρτυρῶ „ ἄρτι κατενώπιον θεοῦ καὶ ἀνθρώπων· ἑαυτοὺς ἀπέῤῥηξαν τοῦ σώματος τοῦ „ Χριστοῦ, τοῦ κορυφαϊκοῦ θρόνου, ἐν ᾧ Χριστὸς ἐθέτο τὰς κλεῖς τῆς πί-„ στεως, ἧς οὐ κατισχυσαν ἀπ' αἰῶνος, οὐδ' ἂν κατισχύσωσι μέχρι σκυτε-„ λείας πύλαι ᾅδου, τὰ τῶν αἱρετικῶν δηλαδὴ στόματα, ὡς ἡ τοῦ ἀψευ-„ δοῦς ὑπόσχεσις.„ Καὶ αὖθις ἐν ἐπιστολῇ τῇ πρὸς βασιλέα Μιχαὴλ 3) ἐξ ἰδίου προσώπου, καὶ πάντων τῶν συνομολογητῶν αὐτῷ καὶ καθηγουμένων οὕτω διατρανῶν θεωρεῖται· "Εἰ δέ τι ἀμφιβαλλόμενον, ἢ ἀπιστούμενον τῇ „ θείᾳ ὑμῶν μεγαλονοίᾳ διαλύεσθαι ὑπὸ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγά-„ λη καὶ θεοστήρικτος αὐτῆς χεὶρ, ὡς ζηλοτυποῦσα τὰ θεῖα ἐπ' ὠφελείᾳ „ τοῦ παντὸς, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν δια-„ σάφησιν, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη· αὕτη γὰρ, χρι-„ στομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἧς Πέτρος „ πρωτόθρονος, πρὸς ὃν ὁ κύριος φησί· σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ „ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.„ Εἰ δὲ καὶ οὗτος ὁ τὸν θεῖον ζῆλον πολὺς, οὕτω φαίνεται κατὰ ῥῆμα διασαφῶν, πῶς λεληθέναι ταῦτα τὸν Φώτιον ἐρεῖν ὅλως προθυμηθείη τίς; ἐκεῖνο δέ πῶς

cod. f. 3. b.

» retica tempestate munitus felixque ecclesiae universae portus : vos divinitus ele-» cta civitas ad salutis perfugium. » Et alia multa his similia, ceteris quoque ecclesiae eiusdem pastoribus testatus est. Insuper in una epistolarum suarum ad Naucratium, de romana sede haec adversus Iconomachos dicere videmus. « Testor nunc » coram Deo et hominibus : hi se absciderunt a Christi corpore, a principali sede, » in qua Christus fidei claves collocavit, adversus quam a saeculo non praevalue-» runt, nec usque ad mundi consummationem praevalebunt portae inferi, id est » haereticorum ora, secundum eius, qui non mentitur, promissionem. » Denuoque in epistola ad Michahelem imperatorem, ex propria persona, omniumque confessionis suae sociorum ac subditorum, ita disserentem cernimus. « Quod si quid est hu-» iusmodi, de quo ambigat aut diffidat divina magnanimitas vestra pie a patriar-» cha dissolvi posse, iubeat magna vestra et a Deo confirmata manus, divino-» rum aemulatrix ob universalem utilitatem, a seniore Roma suscipi expla-» nationem, velut antiquitus et ab initio traditio patrum est : haec enim, o Chri-» sti adsecla imperator, suprema est ecclesiarum Dei, in qua primus sedit Pe-» trus, cui Dominus dixit : tu es Petrus, et super hanc petram aedificabo ec-» clesiam meam, et portae inferi non praevalebunt adversus eam. » Iam vero si hic homo divino zelo plenissimus, ita ad litteram adfirmare comperitur ; quomodo quispiam dicere ausit, Photium omnino haec latuisse? Vel quomodo quispiam con-

1) Huiusmodi testimonia collecta nos indicavimus in tomo quinto part. 2. p. 1.
2) In editione Sirmondi lib. II. 63. — 3) Lib. II. 86.

ἂν δοίη τίς τὸ παράπαν αὐτὸν ἀγνοεῖν, ὡς καὶ οἱ λοιποὶ τῶν πατέρων μετὰ Μάξιμον, ὄντως τὸν τοῖς τῆς ὁμολογίας ἀγῶσιν ἀξιοθρύλλητον 1), εὐφήμως ἦσαν προσκείμενοι τοῖς τὴν προεδρίαν λαχοῦσι ῥωμαίων κἂν τοῖς ὑπὲρ ἀληθείας παλαίσμασι κρησφύγετον τούτους ἀκαταμάχητον ᾔδεσαν λόγον τῆς προσθήκης 2) ἐνασμενίζοντας; ἔστι μὲν οὖν τῶν ἀναμφιλέκτων, ὡς ὁ Γεννάδας οὗτος τῶν εἰδότων ἦν ταῦτα, καὶ πολλὰ τούτοις ἕτερα σύντροχα, καὶ ὡς ἡττηθεὶς θυμοῦ καὶ ἀμύνης κατὰ τῶν στερεμνίως ἀντιβαινόντων αὐτῷ, καὶ κανονικαῖς ἀντιπαλαμωμένων ἐπιτιμήσεσιν ἐπὶ τῇ τῆς ἧς ἑάλω δόξης σπουδῇ τὴν τῶν ἐκκλησιῶν εἰρήνην συνέχεε, καὶ εἰς ἔχθος ἄσπονδον μετεποίησεν.

ς΄. Ἀλλ' εἰ δεῖ τι καὶ πρὸς βραχὺ τοῦ ἀνδρὸς τῶν εἰκότων ἐχομένους ὑπεραπολογήσασθαι, ἔπαθέ τι πάθος ἀνθρώπινον· ποῦ γὰρ εἶχε πρὸς τοσαύτην ἀντέχειν καταιγίδα καταφορῶν, κατακλυζόμενος ταῖς ἐντεῦθεν ἀραῖς, τοῖς μεγίστοις καὶ φρικώδεσι βαρυνόμενος ἀφορισμοῖς, καὶ ἀναθέμασι καθυποβαλλόμενος, ὡς λαϊκός, ὡς ἀγοραῖος, ὡς πατροκτόνος, ὡς Ἰούδας νέος, cod. f. 4. a. ὡς νέος Διόσκορος 3), καὶ ὅσα λοιπὰ τούτων ἀκούων καὶ φημιζόμενος πρὸς τῶν ἀπὸ τῆς ῥωμαϊκῆς καθέδρας καταπεμπομένων ἐπιστολῶν 4)· τὴν ἀρχὴν μὲν γὰρ ὅτι καὶ ὅλως εἰς τοῦτο προήχθη τὸ τὸν θεοφορούμενον ἐκεῖνον ἄνδρα τῆς πατριαρχικῆς ἐξῶσαι τιμῆς, ἑαυτὸν δ' ἐπὶ ταύτην ἀντεισωθῆσαι, τῶν σκαιῶν δοκεῖ μοι καὶ εἶναι τε καὶ νομίζεσθαι· τὸ δ' ἅπαξ ἁλόντα ταύτης τοσαύτην ἀγανάκτησιν φέρειν, καὶ τηλικαύτην στέγειν ἐπιφορὰν ἀλγεινῶν,

cedat ipsum prorsus et reliquos deinceps patres eadem ignorasse, qui post illum confessionis certaminibus celebratissimum, laudabiliter romanis pontificibus adhaerebant, eosque in veritatis decertationibus invicti asyli loco habebant, quos tamen additamento faventes noverant? Est itaque indubitatum, quod praeclarus hic praedicta non ignorabat, et alia multa cum his connexa: et quod ira et vindictae studio victus, contra eos qui firmiter sibi obsistebant, et suam gloriae cupiditatem canonicis oppugnabant poenis, pacem ecclesiarum turbavit, et implacabile odium suscepit.

6. Sed si quid etiam pro hominis dignitate breviter oportet dicere, ille quidem humanum aliquid passus est. Quomodo enim perferret tantum invectivarum impetum, humanis maledictionibus obrutus, maximis tremendisque oppressus excommunicationibus, et anathematibus suppositus, ceu laicus, circumforaneus, et parricida, novusque Iudas, novusque Dioscorus, praeter cetera omnia quae audivit, et quibus diffamatus est ab epistolis ex romana cathedra missis? Sane quod initio eum excessum commiserit, ut sacratissimum illum virum patriarchali honore deiiceret, semet autem in eum obtruderet, res iniqua et esse mihi videtur et sic reputanda. Verum enim vero, crimine iam patrato, tantum indignationis pondus sustinere, tantamque dissimulare cruciantium malorum incursionem, quae insensibilem quoque

1) Scilicet praedictum Studitam, cuius pro orthodoxia certamina in eiusdem biographia late scribuntur.
2) Id est vocabuli *filioque* in symbolo. — 3) Concil. ed. Zattae T. XVI. col. 381.
4) Extant hae adversus Photium romanorum Pontificum epistolae; et quidem in illis Nicolai passim vocatur Photius *adulter*, propter occupatam ab eo byzantinam Ignatii sponsam ecclesiam.

ἃ καὶ φύσιν ἀναίσθητον ἂν εἰς ἄμυναν ἀτεχνῶς διηρέθισεν, οὔ μοι τῶν καθεκτῶν τὸ σύνολον κρίνεται· οὐκοῦν κἀκεῖνος οὐκ ἐνεγκὼν, ἐνδίδωσι τῷ θυμῷ καὶ πρὸς ἀντιλύπησιν, ἣν φθάνει λέξας ὁ λόγος, ὁρμᾷ· καὶ ἣν ἂν οὐδαμῶς τὸ πάθος ἀνθρώπινον, ἀλλὰ τὸ σύμπαν εἰπεῖν σατανικὸν καὶ δαιμονιῶδες, εἴ γε τρόπῳ τοιούτῳ προβιβασθὲν ἀδιορθώτως ἔχον ὡρᾶτο, καὶ εἰς ἀτελεύτητον παρεγείνετο· ἐπεὶ δὲ λήγει ποτὲ, καὶ λαμβάνει διόρθωσιν, καὶ παλίνστροφα γίνεται Φωτίῳ τὰ τῆς ἐριθείας πρὸς τὴν πρώτην κατάστασιν, καλῶς ἂν τοῖς ἐχέφροσι νομισθείη παθεῖν τοῦτον πάθος ἀνθρώπινον, ὡς ὁ λόγος ἔχει προειρηκὼς, ὃς δὴ καὶ αὐτὸ τὸ τῆς παλινδρομήσεως ὅπως ἔσχε τάχιστα γνωριεῖ· ὡς γὰρ ἐπὶ τῶν τῆς ῥωμαϊκῆς ὁλκάδος οἰάκων κυβερνήτης δεξιὸς ἀνεφάνη ὁ Χαριτώνυμος 1) Φωτίῳ καὶ κλήσει καὶ πράγματι, καὶ πύλας τούτῳ γαληνίου πλοὸς ἀνεπέτασε, καὶ χώραν δέδωκεν εἰς καταλλαγὴν, τάχιστα Φώτιος γέγονεν ἑαυτοῦ, καὶ παλινῳδίαν ᾖσε κατὰ τὸν φάμενον, ἰθὺ πορευθεὶς τῆς ἀνοιγείσης τούτῳ κελεύθου καλῶς· ὁ γοῦν τῆς ἔχθρας ἀποσεισάμενος, τὰ τῆς ἑνωτικῆς συμφωνίας ἄριστα διατίθεται, οὐ σχεδιάσας ὡς τὰ τῆς διαμάχης ἔτυχε δεδρακὼς, οὐδὲ μόνος αὐτὸς ἐξασφαλισάμενος, ὡς ποιήσας ὤφθη πρὸς τὴν διάστασιν, οἴκοθεν καὶ ἀφ' ἑαυτοῦ τὸ πᾶν αὐτῆς συστησάμενος, ἀλλὰ τάξει τινὶ καὶ ἀκολουθίᾳ κανονικῇ καὶ συνοδικῇ διαγνώσει τῶν τηνικαῦτα συνδεδραμηκότων ἀρχιερέων ἐς πολλῷ πλείους τῶν τριακοσίων ποσουμένων τὸν ἀριθμὸν διευθετήσας κάλλιστα τὰ τοῦ πράγματος, καὶ τὰ ἀρχῆθεν ἀπονενεμημένα τῷ Πάπᾳ πρεσβεῖα τηρεῖσθαι, καὶ εἰς τὸ μετέπειτα κατωχυρωσάμενος, ὡς πλέον ἔχειν κἀνταῦθα κακίας τὸ ἀντικείμε-

naturam ad ultionem utique concitasset, id ego prorsus inter possibilia ponendum non iudico. Ergo et ille impatiens, frenos irae laxat, et ad redhibendum dolorem, quem modo diximus, praeceps ruit. Porro haud haec existimanda fuisset humana passio, sed satanicum quid, ut vere dicam, et daemoniacum, si certe hoc modo procedens, insanabile se praebuisset et interminabile; sed quia res aliquando emendata quievit, resipiensque a discordia Photius ad priorem pacis statum rediit, recte a prudentibus existimabitur, fuisse hanc humanam perturbationem, ut in superioribus diximus, utque retrocessus qui mox extitit demonstrabit. Statim ac enim romanae navis clavum dexter gubernator arripuit Iohannes, qui et re et nomine Photio gratiosus fuit, et huic tranquillum navigationis cursum obtulit, et reconciliationis ansam praebuit, ilico Photius sui compos fuit, et palinodiam ut est in proverbio cecinit, rectâ pergens per sibi bene patefactam ab illo viam. Ergo inimicitia seposita, unionis concordiam optime disponit: neque id tumultuarie, ut fecerat in contentione, neque solus ipse rem firmavit, quomodo egisse in dissidio visus est, quod marte proprio et per se solus effecerat; sed non sine quodam ordine, et cum canonico ministerio, ac synodico examine episcoporum tunc convocatorum plus trecentis negotio egregie transacto; et prout antiquitus fuerat, servari iussis Papae privilegiis, eaque in posterum duratura sanciens: ita ut hac quoque in re, malo validius adhi-

1) Iohannes papa VIII. Namque *Iohannes,* vocabulum hebraicum, a gratia dici, omnes sciunt.

νον ἀγαθὸν, καὶ ἁρμοζόντως εἰρῆσθαι, ὅπου ἐπλεόνασεν ἡ τοῦ μίσους παρειφθορά, ἡ εἰρηναία χάρις ἐμφανῶς ὑπερεπερίσσευσε.

ζ΄. Καὶ μή τις τῶν ἐθελοκάκως στοιχούντων ὁρμῇ πρὸς ταῦτα λεγέτω τὰ
cod. f. 4. b. τῆς οἰκείας γνώμης ἐκτόκια, ὡς πᾶν Φωτίῳ καὶ τῇ συνόδῳ καὶ πέπρακται καὶ κεκύρωται, τοῦ τῆς πίστεως συμβόλου δίχα προσθήκης ἀναγνωσθέντος, ὡς τῶν ῥωμαίων δῆθεν εἰς τὴν αὐτῆς συνελθόντων καὶ συνθεμένων ἀθέτησιν· τὸ μὲν γὰρ οὕτω τὸ σύμβολον ὑπαναγνωσθῆναι, δέχομαι καὶ αὐτός, καὶ οὔ ποτε περὶ τούτου ζυγομαχήσω τινί, ὥστ' ἂν εἰδὼς εἴην ῥωμαίους καὶ κοινῇ μεθ' ἡμῶν καὶ ἰδίᾳ κατά τινας τῶν ἡμερῶν ὡρισμένας ἐκφωνοῦντας αὐτό, κατὰ τὴν ἀρχαίαν παράδοσιν 1)· τοῦτο δὲ βούλομαι γνῶναι, ὡς εἰ δογματικῶν λόγων κινηθέντων τῷ τότε εἰ καὶ τούτων χωρὶς ἀνεξετάστως οὕτως καὶ ὡς οἷον ὁμολογουμένου τοῦ πράγματος, ῥωμαῖοι κακῶς φρονοῦντες ἐπὶ τοῖς τῆς προσθήκης λόγοις ἠλέγχθησαν, καὶ τῇ ταύτης ἀθετήσει συνέθεντο, τοῦτο μαθεῖν ἐθέλω· καὶ οὐδέν τι τοιοῦτον εὑρίσκω γενόμενον, οὔτε μὲν ἕτερός τις εἰπεῖν τι τοιοῦτον δυνήσαιτο, ταῖς περὶ τούτων διατρανούσαις βίβλοις προσεσχηκώς, εἰ μή που νεόγραφοί τινες ἤμειψαν, ἢ καὶ ἀμείψουσιν, ὁποῖα πλεῖστα τοῖς τὸ σχίσμα κρατύνασι καὶ κρατύνουσι, καὶ νῦν καὶ πρότερον πέπρακται· τοὐναντίον μὲν οὖν καὶ προδήλως γνοίη τις καὶ εὑρήσει, ὡς ὅσα καὶ οἷα Φώτιος οὗτος ὁ πολλάκις διαληφθεὶς λαλήσας ἔφθη καὶ γράψας κατὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας, ἐπὶ τῇ τῆς προσθήκης φωνῇ διαβάλλων καὶ εἰς ἄτοπον ἐπάγων αὐτήν, καὶ βλασφημιῶν ἐντεῦθεν προσεπιπλέκων σειράς,

Evidently Metochites knows nothing of a supposed letter from Pope John to Photius, condemning the Filioque.

bitum sit remedium; meritoque dictum fuerit: ubi abundavit odii effusio, ibidem pacifica gratia splendide superabundavit.

7. Nec vero quisquam ex iis, qui sponte in malignam partem declinant, heic opponat propriae mentis foetum, quod videlicet tum Photius tum synodus omnia egerint ac definiverint, lecto tamen symbolo absque additamento; ita ut hinc videantur Romani concordi suffragio in illius abolitionem consensisse. Etenim symbolum ita tunc lectum fuisse, ego quoque concedo, neque de hoc cum quolibet contendam; quippe qui compertum habeo, Romanos tum una nobiscum, tum et solos, definitis quibusdam diebus sic illud pronunciare, secundum priscam videlicet traditionem. Sed enim hoc velim scire, utrum dogmatica commota quaestione, sine ullo huius examine, quasi in re confessa, Romani de falso dogmate propter additamenti rationem, reprehensi fuerint, et illi huius deletioni consenserint. Hoc, inquam, cognoscere velim; sed nihil eiusmodi actum comperio, neque alius quisquam tale aliquid dicere poterit, quantumlibet libros hanc historiam tractantibus evolvat; nisi forte neoterici quidam scriptores id mutarunt vel etiam mutabunt; cuiusmodi alia plurima usuvenerunt in schismate atque evenient, et nunc et antea peractum fuit. Contra autem unusquisque cognoscet deprehendetque, quaecumque Photius iam saepe nominatus prius dixerat scripseratque contra romanam ecclesiam de vocabuli additamento, accusans illam et de absurdis arguens, ideoque blasphemiarum catenas ne-

1) In romana ecclesia Metochitae nostri aetate, adhuc cantatum fuisse certis anni diebus, ob antiquitatis reverentiam, absque additamento symbolum, vellem mihi certius ex historia demonstrari.

καὶ τὰ πάνδεινα ῥωμαίοις προσεπιτρίβων ἐγκλήματα, δίχα πολυπραγμοσύνης τινός, οἷα καθαρὰν καὶ ὁμολογουμένην ἐπιφερόμενα τὴν κατάγνωσιν, πυρὶ καὶ ἀναθέματι παραδέδωκεν, ἐκεῖνο ποιησαμένων πρὸς ταῦτα ῥωμαίων, ὃ καὶ νῦν οἶδα τούτους ποιεῖν, δεκτοὺς μὲν ἡγεῖσθαι καὶ ἀσπαστοὺς, καὶ ὀρθοδόξου φρονήματος κήρυκας τοὺς τὸ σύμβολον ὡς καὶ ἐῤῥέθη πρότερον καταγγέλλοντας, καὶ μετ' αὐτῶν εἰρηνεύειν αἱρεῖσθαι· ἐπειδὴ καὶ κατά τινας ὡς ἔφημεν τεταγμένας τῶν ἡμερῶν οὕτω διατρανοῦντες τουτοῒ καταφαίνονται καὶ πατρικὴν ἴσασι τὴν παράδοσιν.

η'. Εἰ δέ τις τὴν προσθήκην εἰς ἄτοπον ἀπάγειν ἐπιχειροίη, καὶ μὴ σύμφωνον εἶναι ταῖς τῶν πατέρων θεολογικαῖς ἑρμηνείαις, κἀκ τούτων συγκροτεῖσθαι διϊσχυρίζοιτο, καὶ βοήσουσι, καὶ διαγωνίσονται, καὶ οὐδ' ἂν εἴ τι καὶ γένοιτο τῆς πρὸς αὐτὸν * διαμάχης ἐκστήσονται· ἃ δὴ καὶ Φώτιος συνειδὼς οὕτω θέσθαι τὰ κατὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας παρ' αὐτοῦ λαληθέντα, καὶ εἰς τοιαύτην ἀφάντωσιν παραπέμψαι καὶ διενοήθη καὶ πέπραχε· καὶ οὐκ ἂν τις ὀρθῶς ταῦτα κρίνων, καὶ βίβλοις ἐμφανῶς ἐγκείμενα βλέπων, λόγους παραδέξαιτο τῶν ἀντιλεγόντων, ὡς ἡ γεγονυῖα τοῦ συμβόλου κατὰ τὸ μέσον ἀνάγνωσις ἀνατροπὴν δίδωσιν ἐννοεῖν παρὰ ῥωμαίοις γένεσθαι τῆς προστεθειμένης σφίσι φωνῆς· οὐδένα γὰρ τῶν ἁπάντων οἴομαι εἶναι, ὃς ἂν λόγους πραγμάτων ἀνθέλοιτο· τὸ μὲν γὰρ ἀϊστωθῆναι, καὶ ἀπωλείᾳ παραδοθῆναι πᾶν λαληθὲν καὶ γραφὲν κατὰ ῥωμαϊκῆς ἐκκλησίας ἐπὶ τῇ εἰρημένῃ φωνῇ, πραγματικῶς τοῖς τότε πραχθεῖσιν εὕρηται, καὶ διήνυσται, καὶ οὐδαμῶς τὰ περὶ τούτου τὸ παράπαν ἀμφίκρημνα· τοῦτο δὲ τὸ παρὰ τῶν ἀντικαθισταμένων ἀντιτιθέμενον πραγματικῶς οὔμενουν εὑρημένον ἐστίν· ἄλλως δὲ καθέστη- * ita cod. cod. f. 5. a.

ctens, et horribilia Romanis impingens crimina, ea mox absque ulla difficultate, ceu manifeste damnari digna, igni atque anathemati ab eo tradita fuisse; quod ipsum antea Romani fecerant: qua in sententia ipsos nunc quoque perstare scio, quia admittunt carosque habent, ceu orthodoxae sententiae praecones illos qui symbolum, ut antea recitabatur, ita retinent; cumque his pacem fovere volunt: quandoquidem et Romanos ipsos certis, ut diximus, constitutis diebus ita symbolum recitare apparet, nec patrum traditionem ignorare.

8. Quod si quis additamentum dicere absurdum ausit, et theologicis patrum interpretationibus minime consonum, atque hinc bellum conflare conetur, clamabunt illi et decertabunt, et quicquid accidat, ab hac decertatione non desistent. Cuius rei probe conscius etiam Photius, dicta a se adversus romanam ecclesiam seponere, et publicae luci subducere cogitavit effecitque. Nec quisquam de his recte iudicans, et ea libris palam consignata videns, verba contradicentium admittet, quod illa in medio concilio symboli lectio suadeat factam fuisse a Romanis additamenti sui retractationem. Neminem quippe esse arbitror qui verba factis anteferat. Etenim abolitum et pessumdatum dictum omne et scriptum adversus romanam ecclesiam ob id vocabulum fuisse, reapse in illius temporis commentariis invenitur; et ita omnino actum fuit, nec ulla circa id ambiguitas superest. Hoc ne ab adversariis quidem ipsis obiectum comperitur. Alioqui vero synodalis oratio ab his habita

κεν λόγος παρ' αὐτῶν συναγόμενος· οὐκ ἀμφίβολον γοῦν ὁποτέρῳ προσθετέον ἀμφοῖν· οὐ γὰρ δὴ καὶ ἀμφότερα στέρξουσιν οἱ ἀντιπροτείνοντες· εἰ δὲ καὶ τούτου φιλονείκως ἀνθέξονται, οὐχ ὁρῶ πῶς ἂν ἄμφω συνδράμοιεν ἐναντίως φερόμενα· ἔπειτα εἰ θάτερον μὲν ἐξ ἀνάγκης προβῆναι φαῖεν, ἐριστικώτερον τὸ πρὸς ἀθέτησιν δηλαδὴ χωρῆσαι ῥωμαίους τῆς πολλάκις διαληφθείσης φωνῆς, τὸ δ' ἕτερον συμβῆναι γενέσθαι κατὰ συγχώρησιν διὰ τὸ τὴν ῥωμαϊκὴν ἐκκλησίαν ἐθέλειν τοὺς τότε περιποιήσασθαι, πῶς ἂν τὸ δεύτερον τουτοῒ, ἐπεί τοι γε τὸ πρῶτον ἀπολελογημένον ἐστὶ, καλῶς ἔχειν ἐρεῖν τις ὅλως ἀνάσχοιτο; καὶ μὴ μέγα κραυγάσειε, τῶν αἰσχίστων καὶ ἐπισφαλῶν πεφυκέναι περιποιήσεως ἕνεκα καταπροέσθαι, καὶ πυρὶ καθυποβαλεῖν τὰ πρὸς ἀποσόβησιν καὶ ἀποτροπὴν τοῦ δεινὴν καὶ οὐ φορητὴν κατὰ τὸ δοκοῦν αὐτοῖς τὴν ἀτοπίαν ἐμφαίνοντας;

θʹ. Εἰ δὲ καὶ τοῦτο δοίη τις κατὰ συγγνώμης περιουσίαν πολλὴν τῷ πυρὶ παρὰ τὴν ῥηθεῖσαν αἰτίαν καθυπαχθῆναι ταυτὶ, πῶς δὲ καὶ ἀναθέματι, ἐκεῖνο μὲν συγχωρήσει τὶς ἴσως, ὡς ἔφημεν, ἵν' ἐξαλειφθεῖεν, καὶ μὴ ἐναπολειφθεῖεν στήλη τις οἷον καὶ θρίαμβος τῶν ῥωμαίοις βλασφημιῶν κατ' αὐτούς; τοῦτο δὲ πῶς, οὐκ ἔχω συνιδεῖν ὁπωσοῦν, εἰ μὴ κακίαν ἦν ἀριδήλου γεννήματα· οὐ γάρ δή που τὶ ἀγαθὸν, καὶ καλὸν καὶ ἀποτρεπτικὸν σκαιοῦ καὶ ἀτόπου κρίνεται ἀναθέματος· ἀλλ' εἴ τι ἀναιρετικὸν ἀγαθοῦ καὶ ὀρθοῦ, γράφεται ἀτοπίας καὶ βλασφημίας, καὶ ἀναθέματι καθυπάγεται. Τοῦτο καὶ Φώτιος οἶδε, καὶ τὰ πρὸς διόρθωσιν τῶν ἐξενεχθέντων αὐτῷ κατὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας, καὶ τῆς ὀρθῶς ἐχούσης εἰρήνης
Cod. f. 5. b. ἀνθρωπίνῳ πάντως ὡς δέδεικται ὀλισθήματι, οὕτω διανοηθεὶς διεπράξατο,

extat. Non est ergo ambiguum utris adsentiendum sit. Neque enim adversarii utrumque simul volent. Quod si forte id contentiose propugnare velint, haud video quomodo ambo haec repugnantia concurrere queant. Deinde, si alterum necessitate factum dicant, quod nempe nimiam perosi contentionem, ad saepius iam nominati vocabuli deletionem Romani devenerint; alterum vero indulgenter actum fuerit, quia tunc romanam ecclesiam studebant Graeci sibi conciliare; quomodo, inquam, hoc alterum, si prius illud admissum sit, constare aliquis dicere omnino velit? neque potius magnopere clamet, turpissimum fuisse et exitiosum, benivolentiae adquirendae causa, proiicere ignique ea tradere, quae ad arcendam et averruncandam pertinebant gravem atque intolerabilem, ut ipsis videbatur, pravitatem.

9. Quod si quis forte concedat, veniae quadam exuberantia, flammis scripta illa dictam ob causam fuisse tradita; quomodo id de anathemate aeque concedat, ut diximus nempe ut deleretur, nec omnino superesset titulus veluti ac monumentum Romanis contra ipsos blasphemiarum? Hoc quomodo se habeat, nullo modo intelligere queo, nisi ii manifestae nequitiae genimina erant. Non enim quod bonum est et pulchrum, et mali pravique deletorium, id anathemate damnatur; sed si quid potius bono rectoque nocet, id pravum blasphemumque iudicatur, et anathemati subiicitur. Hoc et Photius noverat, nempe emendandas esse invectiones suas contra romanam ecclesiam rectumque pacis statum, quae humano prorsus, ut ostendimus, conti-

ῥωμαίων τῶν τότε διαπρεσβευσαμένων πρὸς αὐτὸν φιλοστόργως διατεθέντων, καὶ τὰ τοῦ ἔργου καλῶς διαιτησαμένων, καθόσον ὠφείλετο· ἡνίκα καὶ ἀλλήλους ἑκάτεροι δεξιῶς ἐφιλοφρονήσαντο, οἱ μὲν ταῖς ἀπὸ τῆς ἀποστολικῆς καθέδρας ἱερατικαῖς δωρεαῖς, ὁ δὲ δεξάμενος ταύτας, τὸν φελώνην φημὶ, τὸ ὠμόφορον σὺν τῷ στιχαρίῳ καὶ τὰ σανδάλια· καὶ ἡσθεὶς οὐ μικρῶς, καὶ πολλαῖς εὐφημίαις αὐτοὺς, καὶ πρό γε τούτων τὸν στείλαντα Πάπαν ἀντιδεξιωσάμενος. Εἶχε μὲν ἐς τόδε πέρας Φωτίῳ τὰ πράγματα καὶ πῆξιν ἐλάμβανεν ἀρίστην τὰ τῆς ὁμοφροσύνης ταῖν ἐκκλησίαιν ἀμφοῖν, καὶ συνοδικῷ στηρίγματι καθίστατο κρατυνόμενα· καὶ καθεκάστην ἦν μᾶλλον ἐπιδιδόντα χρόνων καὶ προσώπων ἀλληλοδιαδόχοις παραδρομαῖς· τῶν μὲν συχνῶν ἐπιμετρουμένων τῇ ἀκαθέκτῳ τούτων κινήσει καὶ τῇ ῥοῇ, τῶν δὲ καὶ αὐτῶν ἐπεκτεινομένων οὐκ εἰς βραχὺ, ὡς εἰς ἕκτον πρὸς τῷ δεκάτῳ 1) προβαίνειν αὐτοὺς ἀριθμὸν, πατριαρχικοῖς ἀξιώμασιν ἐνσεμνυνομένους μετὰ Φώτιον τὸν λόγῳ καὶ σοφίᾳ πολὺν, καὶ πολλῶν χαρισμάτων ὡραϊζομένους φαιδρότησιν, οἷς ἅπασιν ὑπῆρχε κατὰ διαδοχὴν τὸ καθημέραν ἐπὶ πλέον συνέχειν τοὺς τῆς ὁμογνωμοσύνης, καὶ συναφείας νόμους, καὶ παραπέμπειν ἐς ἀδιάλυτον.

ι΄. Οὐκ ἔμελλε δὲ ἄρα μὴ οὐχὶ καὶ ταῦτα περιτραπῆναι, καὶ ἀλλοιωθῆναι κακῶς τῷ περιτρέπειν εὐμηχάνῳ καὶ ἀλλοιοῦν εἰδότι πᾶν ἡμῖν ἀγαθὸν εἰς ἐναντίαν μεταβολὴν, ὅσα καὶ φύσιν ἐκ τῆς πρὸς τὸ χεῖρον συννεύσεως εἰληχότι πονηρὰν ἀπ' ἀρχῆς καὶ μισάνθρωπον, καὶ πρὸς πᾶν ἡμῖν λυσιτελὲς δυσμενῆ καὶ ἐπίβουλον· ἔνθεν τοι καὶ πάλιν τὰ συνήθη ποιοῦν τι, κλύδων ἐπεγείρεται κοσμικὸς, καὶ σάλος ἀνατεινάσσεται τοῦ προτέρου σφοδρότερος, ὅσῳ καὶ διαρκέστερος κατ' αὐτῶν καὶ πάλιν τῶν μεγίστων τῆς οἰκου-

gerant lapsu. Haec reputans, ita se gessit, romanis eum legatis amanter tunc complectentibus et negotium bene componentibus, prout par erat. Quo tempore invicem feliciter munerabantur, illi quidem sacerdotalibus apostolicae sedis donis, quae Photius recepit, phelonio scilicet, omophorio cum stichario atque sandalibus; non parum inde exhilaratus, multisque illos laudibus cumulans, et in primis qui eos miserat Papam resalutans. Hunc habuit exitum res cum Photio, et optimam nacta est stabilitatem ambarum ecclesiarum concordia, quae synodali confirmatione solidata constabat, et per annos singulos magis convalescebat, perque successiones personarum; dum tempora incessabili cursu fluunt, personae autem ipsae non breve spatium occupant; etenim sexdecim extitere patriarchali dignitate ornati, multisque charismatum splendoribus clari, post illum praecipuum eloquentia et sapientia Photium: quibus omnibus ex ordine cordi fuit sollertius quotidie conservare concordiae atque unionis leges, et insolubiliter continuare.

10. Nihilominus futurum non erat, ut haec minime pessumdarentur atque in deterius mutarentur ab eo, qui facile evertere et pervertere nostrum omne bonum in contrarium scit; quatenus naturam sortitus est proprio instinctu ad malum proclivem perversamque ab initio, hominique infestam, atque utilitatibus nostris invidentem et insidiosam. Dum hic itaque more suo se gerit, universalis concitatur tempestas,

1) A Photio ad Cerularium sexdecim adamussim extiterunt patriarchae.

μένης φυλῶν. Καὶ ἡ ἐξ ὑποβολῆς αὐτοῦ τῆς κινήσεως ταύτης αἰτία ἔνθεν ἔσχε τὰς ἀφορμάς· τῶν τῆς βασιλείας σκήπτρων ἐπειλημμένος Κωνσταντῖνος ὁ Μονομάχος ἐδείκνυτο· τούτῳ πολλὰ μὲν καὶ ἄλλα γνωρίσματα τῆς ἀρχῆς ἐν ὑποταγῇ δουλοσύνῳ πόλεων καὶ χωρῶν καὶ νήσων καὶ διαφόρων ἐθνῶν θεωρούμενα, καὶ κατὰ κλῆρον βασίλειον ἀφικόμενα, οἷα τὴν πασῶν ὑπερμεγέθη δυναστείαν ἀνεζωσμένῳ, καὶ τὴν ἁπασῶν ὑπερκειμένην αὐτοκρατορίαν διέποντι· πρὸς τοῖς ἄλλοις καὶ ἡ τῶν Σικελῶν νῆσος τῶν ζυγὸν ἑλκομένων cod. f. 6. a. δούλειον ἐγνωρίζετο· πλὴν οὐκ ἀνέτως ὡρᾶτο, καὶ οἷον μετ' ἀδείας ἕλκειν αὐτόν· ἀλλ' εἶχε πρὸς τοῦτο τὶ καὶ ἀντίζουν ἐκ βαρβαρικῆς ἐπιθέσεως· οἱ γὰρ ἐκ τῆς ἀντιπέραν Λιβύης Ἀγαρηνοὶ διαπόντιοι ἐπελθόντες, κατασχεῖν αὐτὴν ἐπεχείρουν καὶ δεινὰ τὰ μὲν ἤδη ἐποίουν, τὰ δὲ δράσειν ἠπείλουν, αὐτοῦ που σκηνώσαντες· ταύτῃ τοι καὶ τῷ κραταρχοῦντι ἐδέησε στεῖλαι τοὺς ἀποσκευασομένους αὐτήν· καὶ δὴ πλείστων καταπεμφθέντων, στέλλεται καὶ ὁ Μανιάκης Γεώργιος ἡγησόμενος τοῦ παντὸς ἔργου, ὅσα καὶ τῶν εὖ γεγονότων ἀνὴρ στρατηγίαις ἐνδιαπρέψας καὶ ἀρεϊκὸς φανεὶς τὴν χεῖρα καὶ περιδέξιος· τούτῳ τῇ νήσῳ προσεπιβάντι προσγίνεται καὶ στῖφος ἕτερον στρατιωτικόν, ἐκ τῶν τῆς Ἰταλίας συνειλεγμένον μερῶν, κεκελευσμένον ὂν καὶ τοῦτο πρὸς τοῦ κρατάνακτος· οὗτοι συμφορηθέντες ἀρχηγὸν ηὔχουν ἐκ τῆς οἰκείας ἐθναρχίας τῶν Τίνα Βριτοῦ 1) καὶ γενναίων· Ῥομπέρτος ὄνομα τῷ ἀνδρί, Μπισκάρδος τουπώνυμον· καὶ τῷ Μανιάκῃ συνετετάχαντο, ὑπ' αὐτὸν τελοῦντες, καὶ τοῖς ἐναντίοις διηνεκῶς συμπλεκόμενοι.

et priore vehementior ac diuturnior commovetur procella inter easdem rursus maximas mundi nationes. Iam huius, instigante daemone, commotionis initium hanc causam habuit. Constantino Monomacho imperii sceptrum tenenti multa alia suberant principatuum genera, servili obedientia addictorum, urbium videlicet, regionum, insularum, diversarumque gentium, in regium patrimonium adscitarum, propterea quod ipse sublimissima potentia polleret, et supremam in omnes auctoritatem teneret. In iis qui servile iugum ferebant, Siculorum quoque insula censebatur; sed ea nec libere nec tute illud gestabat: habebat enim insuper contrarium aliud a barbarica incursione iugum. Namque Agareni ex opposita Libya maritimo cursu supervenientes, ipsam occupare nitebantur; et modo saeva damna inferebant, modo se illaturos minitabantur, fixo ibidem alicubi tentorio. Propterea opus erat imperatori mittere illuc, qui eam liberarent. Post alios plurimos, mittitur etiam Maniaces Georgius, qui toti expeditioni praeesset, vir nobilis, ductandis exercitibus clarus, martiali fortitudine notus et peridoneus. Huic in insulam descendenti supervenit alius quoque militaris globus, cum collecticia ex Italiae partibus manu, qui pariter proprii regis nutibus parebant. Hi coëuntes, ducem habebant de propria Normannorum gente satis strenuum, cui Robertus nomen, Viscardus autem cognomen: initaque cum Maniace societate, eique obsequentes, manus cum hostibus perpetuo conserebant.

1) Ita legere mihi videor obscuratam in hoc vocabulo scripturam. Quid vero si legere liceat τὸν Ταγκρίτου γενναῖον? *Tancredi strenuum filium?* Interim *Normanni* menti occurrebant. Allatius ipse lituram non explicuit, sed lacunam in suo apographo fecit.

ια'. Ἀλλ' ὁ Μανιάκης ὀλιγωρήσας τῶν ἐν χερσὶ .. ἑτέρου σκοποῦ, σφοδρῷ καὶ ἀκαθέκτῳ κινήματι τῆς ψυχῆς τοῦ κρατοῦντος κατεξανίσαται· τὸ μὲν ὅθεν καὶ ὅπως, οὐ δοτέον ἐστὶ τῷ παρόντι μοι ἐγχειρήματι ἔξω τοῦ λόγου φερόμενον, καὶ πλέον δὴ τῆς σεμνότητος, ἄλλως τε καὶ ἑτέρων πλατυκῶς ἱστορούντων διαγγελλόμενον 1)· κατεξανίσταται χόλῳ .. ἀμύνης ἀσχέτῳ φορᾷ, καὶ συσσημον πᾶν ἑαυτῷ περιάπτει τῆς βασιλείου περιωπῆς· κἀκεῖθεν ἀπάρας συνάμα στρατῷ παντὶ τῷ ῥωμαϊκῷ διατριβῇ .. προσεικειωσάμενος, ἐκεῖσε τὸν Ῥομπέρτον καταλιμπάνει συνάμα τῷ ὑπ' αὐτὸν ἐξ Ἰταλίας ὁπλιτικῷ, πιστὰ οἱ θέμενον ὅρκια, ἦ μὲν εὐγνωμόνως ἔχειν, καὶ τὰς βαρβαρικὰς ἐφόδους ἐκεῖθεν ἀποτειχίσαι, καὶ γενναίως τούτοις ἀνταγωνίζεσθαι· οὕτω θέμενος ταῦτα δεύτερα πάντα τῆς οἰκείας ὁρμῆς, ἔσπευδεν ὅλῳ ῥυτῆρι καταλαβέσθαι τῆς Βύζαντος, διαπεραιωσάμενος πρὸς τὴν Ἤπειρον· ἔμελλε δὲ ἄρα καὶ Μονομάχῳ τῷ βασιλεῖ τὸ πρὸς τὴν κατ' αὐτοῦ διαναστῆναι τάχος ὅσον ἀντιπαράταξιν· ἀμέλει τοι καὶ στρατὸν ἀξιόμαχον συναγείρας ἐκπέμπει κατὰ τοῦ Μανιάκη σπουδῇ, τῶν τινα μεγιστάνων τομίαν καταστησάμενος ἐπ' αὐτῶν, ἠσκημένον ἄριστα τὰ πολέμια· εἴς τινα γοῦν τῶν ἰθυτενῶν πεδιάδων λίμνης Ὀστροβοῦ καλουμένης ἄμφω προσβάλλουσι τὰ στρατεύματα, καὶ συμπλοκὴ γίνεται τῶν πώποτε κρατερά· καὶ νίκη μὲν τῷ Μανιάκῃ τὰ πρῶτα φαιδρὰ ἐπιμειδιᾷ, τελευτᾷ δὲ ὅμως εἰς ἧτταν θανατηρὰν ὁμοῦ καὶ ἀπόπτυστον· ὡς γὰρ οἱ τοῦ βασιλέως τραπέντες κατακράτος ἔφευγον διωκόμενοι, αἴφνης ὁρῶσιν ἵππον βασιλικῶς ἐσταλμένον ἱππότου χωρὶς ἐκ τοῦ μέρους τῶν καταδιωκόντων, προδραμόντα τούτων καὶ προαλλόμενον· καὶ τῷ ἀδοκήτῳ καταπλαγέντες, θεῖον cod. f. 6. b.

11. Verumtamen Maniaces res praesentes parum curans, alio sibi fine proposito, vehementi infrenique animi motu adversus imperatorem rebellat. Cur id vel quomodo, non licet huic suscepto operi tradere, et extra propositum, immo et ultra argumenti nostri dignitatem, evagari: praesertim quia iam alii historiam hanc late exornarunt. Rebellat itaque iratus, ultionis immani impetu instinctus, et insignia omnia regalis maiestatis adsumit. Tum illinc cum universo romano exercitu discedens, Robertum, quem convictu sibi fecerat familiarem, relinquit ibi cum italicis quae ei parebant copiis, accepto ab eo iureiurando, fore sibi benivolum, et barbaricos inde incursus propulsaturum, strenueque obstiturum. His ordinatis, quae omnia infra eius scopum erant, properabat effusis velut habenis ad Byzantii occupationem, facto in Epirum descensu. Necesse fuit igitur ut imperator vicissim Monomachus celeriter adversus rebellantes copias consurgeret. Quamobrem forti collecto exercitu, adversus Maniacem mittit, praeposito huic de proceribus eunucho quodam, bellicae artis egregie perito. In quadam itaque oblonga planitie, prope Ostrobi lacum, ambo concurrunt exercitus, fitque pugna acerrima: et victoria quidem primum Maniaci laeta arridet; sed postremo desinit in exitialem simul cladem atque turpissimam. Etenim dum regii in fugam conversi totis viribus fugiunt, persequentibus hostibus, repente vident equum regaliter ornatum, seorsum ex fugientium parte procurrentem praecedentemque: quo insperato visu attoniti, divinum quid existi-

1) Legatur Cedrenus ed. paris. T. II. p. 756.

εἶναι τὸ πρᾶγμα ἐνόμισαν, καὶ μὴ ἂν πώποτε τῷ Μανιάκῃ χρηστόν· οὐκοῦν καὶ στρέψαντες χαλινὰ δρόμῳ πολλῷ, καὶ γενναίῳ ψυχῆς παραστήματι χωροῦσι κατὰ τῶν ὑπεναντίων νεανικῶς, καὶ θᾶττον τούτους ὥσαντες εἰς φυγὴν, ἐντυγχάνουσι τῷ Μανιάκῃ νεκρῷ κατὰ μέσον κειμένῳ τὸ ἱππήλατον ἐκεῖνο πεδίον ἐλεεινῶς, καὶ μηδὲ τὸ τυχὸν, ὥς φασιν, ἴχνος ἐπιφερομένῳ πληγῆς· τοιοῦτον μὲν τῷ Μανιάκῃ τέλος συνήντησεν.

ιβ΄. Ὁ δὲ Ῥομπέρτος ὁ τῇ νήσῳ τῶν Σικελῶν ἐναπολειφθεὶς μετὰ τοῦ ὑπ' αὐτὸν στίφους ἰταλικοῦ τῶν δικαίων τῆς ῥωμαϊκῆς κληρουχίας ἀντέχεσθαι, τῶν συμβάντων ἐπεὶ κατήκοος γένοιτο, τὸν καιρὸν ἕρμαιον ἡγησάμενος, ἰταλὸς ὢν, καὶ τοιοῦτον ἔχων ὑφ' ἑαυτὸν σύστημα στρατιωτικὸν, ἰδιοποιεῖται τὴν νῆσον· καὶ πᾶν ὃ τῆς βασιλείας ἐκεῖσε δικαίωμα κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν εἰς ἴδιον ἑαυτῷ κλῆρον καὶ ἀρχὴν ἰδίαν μεθίστησι, καὶ νεανικώτερον τῆς κατὰ τῶν Ἀγαρηνῶν ἀντιδικίας ἀντιλαμβάνεται, ὅσα καὶ ὑπὲρ ἰδίου τινὸς, καὶ μὴ ἀλλοτρίου, μαχόμενος. Οὐκ ἦν δὲ ἄρα πρὸς λήθης ταῦτα γενέσθαι τῷ τὴν βασίλειον σκηπτουχίαν ἰθύνοντι· τῷ τοι καὶ φροντίσιν ἑτέραις ἀσχολουμένῳ, καὶ μὴ καιρὸν ἔχοντι πρὸς ἀνάῤῥυσιν ἐπειχθῆναι τῆς Σικελῶν, τῷ καὶ πᾶσαν εἶναι ἀνάγκην, διπλοῦν οὕτω πόλεμον θεῖναι πρὸς ἄμφω τὰ γένη τοὺς ἐκ τῆς Ἄγαρ καὶ Ἰταλοὺς, τῶν δεόντων ἐλογίσθη τρόπον ἕτερον μεταχειρίσασθαι τὰ τοῦ πράγματος· καὶ δὴ στέλλει πρὸς τὸν cod. f. 7. a. τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερέα, τὸ δρᾶμα πᾶν ἀπαγγέλλων, τὴν ἀδικίαν ἐπεγκαλῶν, τοῦ τυραννήσαντος τὸ οἰκεῖον καταβοώμενος, καὶ παρ' αὐτοῦ τινὶ τρόπῳ τὴν ἐκδίκησιν ἐκκαλούμενος, ἅτε καὶ ἐγγειτόνων ὄντος τῷ ἀδικοῦντι, τούτῳ δὲ τὴν φυλὴν ἰταλῷ, καὶ παρὰ τοῦτο τὴν πρὸς ἅπαν ὑπακοὴν αὐτῷ πλέον τῶν ἄλλων ὀφείλοντι· ταῦτα τῶν Αὐσόνων ὁ τὰ σκῆπτρα

marunt, neque Maniaci fortasse prosperum. Itaque habenis conversis, magno cursu strenuoque animi robore adversarios fortiter invadunt; citoque illis in fugam trusis, in Maniacem mortuum incurrunt, medio in campo miserabiliter stratum, sine ullo ut aiunt vulneris accepti vestigio. Hic fuit Maniacis finis.

12. Robertus autem, qui in Sicilia relictus fuerat cum subiecto sibi italico agmine, ob romani defendenda imperii iura, auditis quae acciderant, peridoneum hoc tempus iudicans, italus princeps cum esset, talemque secum haberet militarem manum, insulam sibi vindicat, et omnia illic imperatoris iura, in multa vetantium solitudine, in sortem suam ditionemque convertit; fortiusque Agarenis repugnat, utpote qui iam pro sua, non aliena, re decertabat. Ceteroquin haec oblivioni traditurus non erat is qui imperatorium sceptrum tenebat. Cum tamen aliis curis distineretur, neque idoneum tempus haberet incumbendi ad Siciliae recuperationem, quia prorsus ei necesse fuisset duplex bellum gerere contra utramque gentem et Agarenorum et Italorum, putavit sibi oportere alio modo negotium adgredi. Mittit ergo legationem ad senioris Romae pontificem, rem actam exponens, iniquitatem criminans, de eo qui tyrannide rem suam occupaverat expostulans, et a pontifice quodammodo reparationem iniuriae exigens, utpote qui iniuriam facienti proximus esset, gente italo, et qui praeterea obedientiam ipsi prae ceteris deberet. Haec Ro-

κρατῶν· ὁ δὲ τῆς ῥωμαϊκῆς ἐκκλησίας τότε τὴν προστασίαν λαχὼν 1), περὶ τὴν αἴτησιν νωθρότερος τοῦ δέοντος γεγονὼς, καὶ ἀναβολαῖς οὐκ οἶδ' ὅπως χρησάμενος· (πέπεισμαι δὲ ὡς διά τινας προηγησαμένας αἰτίας, ὁποῖα φιλεῖ συμβαίνειν μέσον ἱεραρχῶν καὶ ἀνάκτων τοιούτων, καὶ μάλιστα τὴν ἑκατέροις ἀνήκουσαν ἰσχὺν περιόπτων, καὶ πολλοῖς διειργομένων ἔθεσι, καὶ τοπικοῖς διαστήμασι) τὸν τοῦ βασιλέως ὑπανάπτει θυμὸν, τὸ σφέτερον συμβαλλομένου, καὶ μηδὲ πρὸς ὀλίγον τῆς ἀνενδοιάστως αὐτῷ προσδοκωμένης ἐπιτυγχάνοντος ἀντιλήψεως.

ιγ'. Τοιγαροῦν μελετῶνται καὶ πάλιν κατατομαὶ τοῦ τῆς ἐκκλησίας ἑνιαίου σώματος τοῦ Χριστοῦ· συσκευάζονται καὶ αὖ χωρισμοὶ τῶν ἀπὸ Χριστοῦ κεκλημένων ἀμφοτέρων ἐθνῶν· συνεφάπτεται τοῦ ἔργου διαφερόντως ὁ τηνικαῦτα τὸν πατριαρχικὸν θρόνον κατέχων Μιχαὴλ τοὐπίκλην ὁ Κηρουλάριος, πάλαι μὲν ὠδίνων τὸ ἀπὸ τοῦ Πάπα διαρραγῆναι, ὡς τὸ πρωτεῖον ἰδιαζόντως κληρώσαιτο, μὴ παραχωρούμενος τούτου καθόσον ἐφίετο συνελεύσει καὶ ἑνώσει τῇ πρὸς αὐτὸν καὶ τὸ ὁποσοῦν ἀνακρίνεσθαι, ἐν δεινῷ τιθέμενος καὶ οὐ φορητῷ· ἐπεὶ λόγος 2), καὶ λόγοις ματαίοις ἐν φαντασίᾳ γενέσθαι τοῦ κατ' ἐκεῖνον ἐλλαμπρυνθῆναι τοῖς ἐρυθροβαφέσιν ἀπήχθη· τότε δὲ τὴν ὠδῖνα λύσας καὶ κυοφορήσας τὸ συλληφθὲν, τοῦ καιροῦ μονονουχὶ ἐπιστάντος τῆς εἰς φῶς τοῦ ὠδινομένου παρεισφορήσεως, ἡνίκα καὶ κατὰ τοῦ Πάπα βασίλειος ἀγανάκτησις ἔνθεν κορυφωθεῖσα καταφέρεται ῥύμῃ πολλῇ τῆς ἑνωτικῆς ἀλληλουχίας ἑκατέρων ἐκκλησιῶν, κἀκ τινῶν συμπτωμάτων κοσμικωτέρων τὰς ἀρχὰς λαβοῦσα τῶν αἰτιῶν, τὰ ἐκκλησιαστικὰ τέλεον διΐστᾷ, καὶ εἰς παντελῆ συνελαύνει διάλυσιν· καὶ ἃ σύνοδος, ὡς ἐλέχθη, τοσ-

manorum imperator. Qui vero romanae ecclesiae tunc praeerat, aequo segniorem postulatis se praebuit (puto ob aliquas praevias offensas, quae inter antistites atque reges fieri solent, praesertim propria unumquemque potentia spectabilem, et multis differentes moribus ac locorum intervallis). Ea porro res, imperatoris succendit iram, dum suam sibi rem repetit, neque tamen vel minimum auxilium impetrat, quod sibimet indubitanter expectabat.

13. Ergo rursus cogitantur unius Christi corporis, sive ecclesiae, divisiones: parantur denuo secessiones utriusque gentis de Christi nomine dictae. Urget opus in primis qui tunc patriarchalem sedem tenebat Michahel cognomento Cerularius, qui iamdiu separationem a Papa moliebatur, ut sibi primatum vindicaret, cuius voti compos fieri non poterat, manente cum Papa concordia et unione; simul quia quamlibet aliquando censuram pati, molestum sibi iudicabat et intolerabile: vano denique in sua phantasia desiderio fulgendi aeque ac ille purpureis coloribus abducebatur. Tunc utero quasi resoluto conceptum peperit, instante veluti tempore partûs in lucem effundendi; dum scilicet regia in Papam indignatio gravi tumentique impetu ferebatur adversus ambarum ecclesiarum compaginem: quod odium sumpta a mundanis causis origine, rem demum ecclesiasticam dilaceravit, et ad omnimodam

1) Erat hic S. Leo IX, qui cum Italiae certe Normannis bellum gessit usque ad suam apud Beneventum captivitatem. — 2) Ita codex, non sine quadam tamen litura.

cod. f. 7. b. ούτων ἀρχιερέων ὁμηγύρει συγκροτηθεῖσα Φωτίου τὰ πρῶτα φέροντος ἐπέρρωσε ἐποικοδομησαμένη καὶ βεβαιώσασα, καὶ πᾶν τοῦ μέσου σκάνδαλον ἀποῤῥίψασα κανονικῶν ἐκθέσεων ἀποφάσεσι, ταῦτα Κηρουλάριος ὁ διαληφθεὶς πατριαρχικῶς προϊστάμενος, καὶ τὸν καιρὸν ἁρπάσας ἀπαξαπλῶς ἐκαινοτόμησε, καὶ συνέχεεν, οὐκ ἐξετάσεως δεηθείς, οὐ δικαστηρίων, οὐ λόγων, οὐ συνελεύσεων, ἀλλὰ μόνης τυχὸν ἐπιταγῆς ἐγγράφου βασιλικῆς, καὶ μετ' αὐτῆς συνάμα καὶ λοιποῖς ὑπ' αὐτὸν τελοῦσι ἀρχιερεῦσιν εἰς βραχύ τι πάνυ στενουμένοις τοῦ ἀριθμοῦ, τὴν ἐκκοπὴν τοῦ ὀνόματος τοῦ Πάπα παραυτὰ ποιησάμενος, καὶ τὸ πᾶν ἐντεῦθεν δραματουργήσας τοῦ σχίσματος ἔκ τοτε κραταιωθέντος ἐπὶ κακῷ τῆς ὑμετέρας ἐπικρατείας καὶ γενεᾶς καὶ τῶν ἡμετέρων οἴμοι πραγμάτων ἁπλῶς 1).

ιδ'. Τίς γὰρ τῶν ἁπάντων ἐπιστατικώτερον διελθὼν ὅσα τῶν ἀνέκαθεν ἱστορηθέντων βίβλοι διαγορεύουσιν, οὐκ εἴσεται παρευθὺς ὡς ἐξ ἐκείνου καιροῦ εἰς τοὐναντίον εὐκληρία πᾶσα ῥωμαίοις προὐχώρησεν; οὐ τοῖς ἀπὸ τῆς πρεσβυτέρας δή φημι Ῥώμης, ἀλλὰ τοῖς ἀπὸ τῆς νέας καὶ ἡμετέρας· μὴ γὰρ σύγχυσις ἐντεῦθεν ἐπέσθω τίς τῷ ἀκροατῇ, τοὺς λόγους εὖ εἰδότι τῆς μιᾶς ἀμφοῖν κλήσεως τῆς τε τῶν ῥημάτων ἐννοίας τοὺς ἐξ ἑκατέρων τῷ λόγῳ διαλαμβανομένους παριστώσης ἁπανταχοῦ, καὶ μὴ ἐώσης παρὰ τὴν ὁμωνυμίαν, αὐτὸν ποτε σφάλλεσθαι 2). Τίς, ὅπερ ἔλεγον, ἐνδιατρίψας παλαιοῖς διηγήμασι τῶν ταῦτα συγγραφότων ἀνδρῶν οὐκ εἰδοίη διαφανῶς, ὡς ἐξ ἐκεί-

secessionem deduxit. Nam quae synodus, uti dictum est, tot episcoporum numero condensata, convocante Photio, aedificaverat, roboraverat ac stabiliverat, remoto omni per canonicarum ordinationum decreta scandalo, ea Cerularius praedictus in patriarchali culmine constitutus, captato tempore, omnino subvertit permiscuitque, nullo examine adhibito, nec iudicio, nec disceptatione, neque congressu; sed uno prolato imperatoris scripto mandato: cui fretus, una cum reliquis qui ei suberant paucis oppido episcopis, ad exiguum plane numerum redactis, Papae nomen subito delet, plenam hinc tragoediam schismatis peragens, quod ex eo tempore in detrimentum heu! nostri imperii atque nationis, nostrarumque rerum omnium, firmitatem accepit.

14. Quis enim paulo consideratius percurrens quae scripti antiquitus libri narrant, non statim agnoscat, quod ex illo tempore tota in contrarium versa sit Romanorum prosperitas, non illorum dico senioris Romae, sed nostrae novae; nolo enim confusionem aliquam audienti oboriri, qui causam sciat unius amborum populorum appellationis, et quod verborum vis ita utrosque in loquendo semper complectitur, ut homonymiae tamen causa non sinat errare. Quis, ut aiebam, in antiquis

1) Scholion. Ὅρα πῶς ἐπὶ κακῷ τῆς ἡμετέρας γενεᾶς ἐγένετο ἡ ἀποκοπὴ τοῦ ὀνόματος τοῦ Πάπα ὑπὸ τῆς ἀνατολικῆς ἐκκλησίας. Cerularii schismaticum facinus legitur authenticum apud Allatium de consensu lib. II. cap. 9. Quin adeo ipsum separationis lacrymabile edictum ab eo in quatuordecim episcoporum concilio propositum, non sine aliorum qui Constantinopoli aderant praesulum, ut ibi dicitur, adstipulatione, recitatur ab eodem Allatio de libris eccl. Graecorum dissert. II. ed. paris p. 161. seqq.

2) Notissimum est, byzantini quoque imperii homines, romanorum nomen conservasse. Ipsi etiam orientales byzantinum imperium vulgo romanum in suis scriptis appellant, et Romam pro Byzantio scribunt.

νων ἄρα τῶν χρόνων, ἐν οἷς καὶ Μονομάχος ἦν τὴν βασίλειον διεξάγων ἀρχὴν, ἀνωμαλία πᾶσα τοῖς ῥωμαίων ἐπηκολούθησε πράγμασι· καὶ συνιστᾷ μοι πρὸς τοῖς ἄλλοις τὸν λόγον καὶ Πέτρος Ἀντιοχείας, πρὸς αὐτὸν ἐκεῖνον ἐπιστέλλων τὸν Κηρουλάριον, παθαινόμενος ἐπὶ τῷ τῶν ἐκκλησιῶν χωρισμῷ, καὶ ταῦτα πού λέγων τῆς ἰδίας ἐπιστολῆς, μή ποτε διὰ τοῦτο τὰ ἡμέτερα ὡς ἐπίπαν οὐκ εὐοδοῦνται στρατεύματα 1). Καί τοιγε μικρά τινα πάνυ τῶν πολλῶν οὗτος καὶ μεγάλων κατιδεῖν ἐπεφθάκει, ἃ ῥωμαίοις ἐπεισπεπτώκασιν· αὐτίκα γὰρ τοῦ τότε καιροῦ παντελοῦς ἔργον ἀλλοτριώσεως τῆς αὐσονικῆς κραταρχίας αὐτὴ ἡ ὀνομαστοτάτη νῆσος τῶν Σικελῶν ἔκ τοτε τῷ ἀποστάτῃ Μπισκάρδῳ παγιωθεῖσα, καὶ τέλεον ἀποσχοινισθεῖσα τῶν ἡμετέρων ὁρίων, ὡς εἰ μηδ' ἦν ποτε· Καλαβρία πρὸς ταύτῃ τὸ ἡδὺ τῶν αὐσονικῶν θεμάτων καὶ χαριέστατον, καὶ πάντα φερωνύμως βρύον καλὰ 2), γνώρισμα τῶν ἡμερῶν ἐκείνων πικρὸν καὶ ἐλεεινότατον· ἡ εὔκαρπος καὶ πίειρα γῆ, τῶν ῥωμαϊκῶν σχοινισμάτων τὸ κάλλιστον τμῆμα καὶ παμφορώτατον, ἔθνει τηνικαῦτα παραδοθεῖσα τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην μιαρῷ καὶ δυσσεβεστάτῳ, καὶ μεγάλης ἀρχῆς εἰς σύστασιν σφίσιν ἀρκέσασα, ὧν καὶ τὴν κλῆσιν ἐξιδιωσαμένη, ἀντὶ Ῥωμανίας, φεῦ μοι, Τουρκία πᾶσι πανταχοῦ διακηρυκεύεται, ἐν ᾗ καὶ τὰ τοῦ Μωάμεδ ὀργιάζεται καθεκάστην· καὶ τὸ ἑξῆς δῆλον, κἂν ἡμεῖς μὴ λέγωμεν· ἃ καὶ τίς ἀξίως ἐκτραγῳδήσειε, θρήνων ὄντα μᾶλλον ἢ διηγήσεων ἄξια, ἢ καὶ ἀμφοτέρων καθαρῶς ὑπερκείμενα πολλῷ τῷ ὑπερβάλλοντι τῆς δυνάμεως. Ἱερεμίαν ἔδει παρεῖναι κἂν τούτοις τὸν θρηνητικώτατον ἐν τοῖς βλέπουσιν, ἤ τινα κατ' ἐκεῖνον, ἢ καὶ ὑπὲρ ἐκεῖνον, ἐξισοῦν εἰδότα τοῖς cod. f. 8. a.

historiis versatus hominum qui haec scripserunt, non statim percipiat, quod ab aetate illa qua Monomachus imperavit, anomalia omnimoda romanas res corripuit? Confirmat sermonem meum, praeter ceteros, Petrus quoque antiochenus, ad eundem illum scribens Cerularium, dolensque ecclesiarum discidium, atque ita in sua epistola loquens: ne forte hanc ob causam nostri exercitus nullo prospero utantur successu. Et tamen pauca quaedam ex multis magnisque hic ipse viderat, quae Romanis supervenerunt. Ecce enim quo tempore universae Ausoniae abalienatio fiebat, ipsa haec celeberrima Siculorum insula iam tum rebelli Viscardo adhaesit, et denique a nostris finibus avulsa est ceu si numquam nostra fuisset. Calabria insuper ausonicorum thematum amoenissimum, et convenienter suo nomini pulchra germinans, dierum illorum acerba ac miserrima demonstratio est: fertilis enim pinguisque regio, romanarum provinciarum segmentum optimum et fructuosissimum, genti tunc tradita fuit prae omnibus quotquot in orbe sunt detestandae et scelestissimae, eique instar magni imperii est; a qua etiam nomen adepta, pro Romania, heu mihi! Turcia ab omnibus ubique nominatur; ibique Mohamedis orgia quotidie fiunt; nam reliqua explorata sunt, etiamsi nos minime dicamus: quae merito tragica in scena agi possent, fletu magis quam narratu digna, vel utrique potius ob magnitudinem suam plane superiora. Hieremiam adesse oporteret vatum dolentissimum,

1) Apud Allatium de consensu lib. III. cap. 12. p. 1117. — 2) Calabria quasi καλὰ βρύουσα.

πράγμασι δάκρυα· οὕτω γὰρ ἂν μόλις ἐτετυχήκει τοῦ κατ' ἀξίαν ὀλοφυρμοῦ.

ιε'. Καὶ τὰ μὲν κατ' ἐκεῖνο καιροῦ τοιαῦτα· καὶ τὰ πλείω παρῆκεν ὁ λόγος, ἀκροθιγῶς οἷον καὶ τῶν ἤδη λελεγμένων ἁψάμενος· τὰ δ' ἐκεῖθεν ἀλλεπαλλήλως χρονικαῖς ἐπεισφρήσαντα διαφόροις περιφοραῖς, οἷα Κύπρος βοᾷ ταῦτα νῆσος ἡ περιλάλητος, ῥηγικὴν ὅλην ἑαυτῇ δυναστείαν συστησαμένη, καὶ τῆς ἡμετέρας φυλαρχίας ἀλλοεθνῆ· ἑτέρωθεν αὖθις Ἀχαΐα μαρτύρεται τὸ τῆς καθ' ἡμᾶς ἀρχῆθεν ἐθναρχίας ἀγακλεὲς καὶ περιβόητον ὄνομα· νῆσος ἔνθεν ἡ Κρήτη κηρύττει, πασῶν ἡ ὑπερμεγέθης, ἡ Εὐβοιέων, καὶ Κερκυραίων, ἄλλα τε πλεῖστα πλείσταις ἡμῶν ἐς δεῦρο καὶ ἀπεξενωμέναις ἀρχαῖς κατεχόμενα, καὶ μὴ δὲ ῥᾳδίαν τῷ βουλομένῳ τὴν ἁπλῶς ἀπαρίθμησιν παρεχόμενα, ὧν καὶ τοῖς ἤδη ποσῶν ἀπηριθμημένοις, αὐτὸς ἄκων ἐνέπεσον, τῆς ἀκολουθίας οὕτω με τοῦ λόγου βιασαμένης, καὶ τῆς μνήμης ἐντιθείσης μου περιπαθὲς ἐμπύρευμα τοῖς ἐντός· ταῦτα οὐκ ἔστιν ὅτῳ τῶν ἁπάντων
cod. f. 8. b. οὐχὶ κατάδηλα, ὡς ἐκεῖθεν ἡμῖν κατερρύη ὅσα καὶ ἐκ πηγῆς ἄλλης κακῶν τῆς τῶν ἐκκλησιῶν διαιρέσεως· καὶ τούτων ἔτι πολλῷ περιπαθέστερα, καὶ βαρύτερα. Οὐκ ἔστι δ' ὡσαύτως ἀξυμφανὲς καὶ ἀθέατον ὡς οἱ πλείους τῶν μετὰ Μονομάχον τὴν αὐτοκράτορα διαδεξαμένων ἀρχὴν, ἐν δεινῷ τὰ τοῦ σχίσματος ἐποιοῦντο, φέροντες λίαν περιαλγῶς, καὶ τὴν εἰς τοῦτο προαγωγὴν ἀπαίσιον κρίνοντες, καὶ πρὸς τῷ ἀθέσμῳ τὸ ἐπισφαλὲς ἐπισυρομένην καὶ ἐπιζήμιον· εἰσὶ μὲν γάρ τινες ἀληθῶς μετὰ τὸν ῥηθέντα κρατάρχην, οἱ καὶ αὐτοὶ τοιουτοτρόπως διατεθέντες, ἀνεπίγνωστοι μεμενήκασι πρὸς ἡμᾶς, ἢ τῷ μὴ σύμβολα τῆς αὐτῶν διαθέσεως φθάσαι καταλιπεῖν ἔκ τινος ἐγγράφου

vel huic aliquem similem aut etiam superiorem, qui lacrymis res actas exaequare valeret; vix enim hae dignam deplorationem sic impetrarent.

15. Res itaque illius aetatis fuerunt eiusmodi: et quidem multa sermo noster praeteriit, nec nisi summis digitis hactenus quoque recitata tetigit. Quae vero deinde per varium temporum cursum continuatim evenerunt. Cyprus clamat famosa insula, quae sibi regiam dynastiam tota constituit, a nostra ditione alienam. En aliunde testis adest Achaia, nostri olim principatus illustre celebratumque nomen. Illinc Creta depraedicat, insularum maxima, nec non Euboea atque Corcyra, aliaque loca plurima plurimis deinceps a nostro alienis principatibus occupata; quae res ne numerari quidem, si quis velit, facile possunt, quarum nonnisi aliquantam partem invitus attigi, sic me sermonis cogente sequela, et memoriam mihi refricante doloris flamma interiore. Haec nemini evidentia non sunt; et quod eadem nobis, immo et alia his multo miserabiliora et graviora, ab ecclesiarum divisione, ceu ex fonte malorum, derivaverint. Non est item obscurum aut incognitum, plerosque eorum, qui Monomachi potentatui successerunt, calamitosum existimasse schismatis negotium, molestissime id ferentes, et huius infaustam putantes perseverantiam, ac (praeter ipsius rei nefas) periculosam pariter atque noxiam. Sunt enimvero aliqui post memoratum imperatorem, qui quamvis in praedicta opinione fuerint, tamen inexplorati manserunt; vel quia indicia sui animi non commendarunt scripto alicui, quod quaestiones

περὶ τὸ πρᾶγμα συζητήσεως φανερούμενα, ἢ καὶ τὸ καταλειφθέντα μὴ ἐναπολειφθῆναι παρὰ τὴν τοῦ χρόνου περιπέτειαν καὶ ῥοὴν, καὶ τὸ ἀφανισθῆναι παρὰ τοῦ πρὸς ταῦτα τῶν ἡμετέρων ἀνεπιμέλητον καὶ ἀντίῤῥοπον, ὡς ἐγῷμαι οὐ δυσπαράδεκτον· ὧν δὲ σημεῖα περιωδυνίας ἐσχάτης ἐναργῶς καθέστηκε καθορώμενα, τούτους ὡς ἐνὸν ὁ λόγος δηλώσει μοι.

ιϛ'. Ἄρτι μὲν ὁ φεραυγὴς αὐσονάρχης Ἀλέξιος ὁ τρισευκλεὴς τῶν Κομνηνοφυτῶν ἀνάκτων, τὸ πάμμεγα καὶ ἔξοχον ἄκουσμα, τὴν ῥωμαίων ἤκει κυβερνήσων ἀρχήν· καὶ δὴ τούτῳ συχναὶ μὲν καὶ ἄλλαι φροντίδες ἐγγίνονται, βασιλέων ὡσπερεὶ μεγαλεπηβόλῳ καὶ πολυφρόντιδι καὶ γενναίων ἔργων αὐτουργῷ τε καὶ καθηγήτορι· οὐχ ἥκιστα δὲ καὶ τὸ φθάσαν σύμβαμα τῶν ἐκκλησιῶν πλείονι μερίμνῃ ἐγκρίνεται· ὅθεν καὶ συννοίαις εἰς τοῦτο βαλλόμενος, καὶ πανταχόθεν μὴ καλῶς προβῆναι διανοούμενος, λόγους περὶ τούτου κινεῖ, βῆμα καθίζει, δικαστήριον συνιστᾷ, ἀρχιερέων συναθροίζει κατάλογον, τοῦ μέσου προτείνει τὰ τῆς ἐχθοποιοῦ μοίρας, σχετλιάζει πρὸς ταῦτα, ἐπιβοᾶται ὡς οὐ καλὰ, διαγγέλλει τὸ ἐκ τούτων ἀσυντελὲς καὶ ἀσύμφορον, καὶ τὴν ἐκκοπὴν τοῦ Πάπα ὀνόματος τὸ ἀκανόνιστον ἔχειν ὁλοσχερῶς διατείνεται· καὶ ἵνα συντεμὼν εἴπω τὸ πᾶν, ἔστιν ἡ ταῦτα λεπτομερῶς διηγουμένη παρασημείωσις, ἣν ἐγὼ βίβλοις ἐγκειμένην ἑώρακα 1), καὶ ὁ σκοπὸς καὶ οἱ λόγοι τούτων ἐξ αὐτῆς τῷ βουλομένῳ φανήσονται τηλαυγεῖς.

ιζ'. Εἰ δέ τις ἀντερεῖ μοι πρὸς ταῦτα, ὡς οὐχὶ καὶ πέρας ἑπόμενον ἔσχεν ἡ βασίλειος αὕτη σπουδὴ, τὸ τῆς ἔχθρας δηλονότι ἀντεισαχθῆναι τὴν ἑνοποιὸν cod. f. 9. a.

habitas denotaret; vel quia si scriptum forte extitit, id fluxu temporis et revolutionibus sit abolitum, propter nostrorum in his rebus incuriam, et contrariam sententiam, quod haud incredibile arbitror. Qui autem signa summi ob eam rem doloris manifeste dederunt, eos oratio nostra pro viribus palam faciet.

16. En ilico illustris ausonarcha Alexius ille gloriosissimus, Comnenorum imperatorum maximum et eminentissimum nomen, romani imperii habenas capessit. Hic etsi continuis aliis distineretur curis, utpote princeps grandia moliens, et complura mente complectens, ac magnificorum operum auctor et antisignanus; nihilo tamen minus de hoc qui obrepserat ecclesiis casu sollicite admodum cogitabat: cui dum mentem intendit, et rem nusquam bene se habere cognoscit, sermonem de ea commovet, tribunal insidet, iudicium constituit, episcoporum coetum convocat, in medium producit inimicitiae causas, de his conqueritur, honestas non esse clamitat, dicit futiles atque vanas: deletionem nominis Papae prorsus contra canones factam esse contendit. Atque ut omnia summatim dicam, extat qui haec omnia particulatim narrat commentarius, quem ego inter libros vidi; ex quo rei scopus, et sermones de eo habiti perspicui volenti fient.

17. Quod si quis mihi contradicat, videlicet nullam conclusionem habuisse hanc

1) Vestigandum de hoc imp. Alexii pro ecclesiarum concordia commentario. Interim quod Alexius cum occidentali ecclesia communicaverit, dona etiam monasteriis templisque nostris largitus fuerit, et ad rom. Pontificem legationem miserit, extant authentica testimonia apud Baronium ad annum 1118. n. 23. Alexium hunc imp. dilaudat Theodorus Prodromus in carmine a nobis edito T. VI. part. II. p. 399.

εἰρηναίαν κατάστασιν, ἀκούσει πάντως, ὡς οὐχὶ κἀμοί τοῦτο προτεθειμένον ἐκ τῶν ἤδη διαλαμβανομένων συστήσασθαι· διωμολογημένον γὰρ ἅπασι πέφυκεν ὡς ἐκ τῶν τοῦ κράτορος Μονομάχου καιρῶν τὰ τῶν ἐκκλησιῶν ἐς τὸ διερρωγὸς ἄχρι τῆς δεῦρο παρέμεινε, καὶ ἀσύμβατον, ἀλλ᾽ ὅτι τὸ τούτων διερρωγὸς ἐκεῖθεν αὖθις ἐπεισκωμάσαν αἰτίαις καὶ λόγοις, οἷς προεσημηνάμεθα, καὶ μέχρις ἡμῶν διαρκέσαν, οὐ περὶ ἐλάττονος καθειστήκει τοῖς μετ᾽ ἐκεῖνον ἀνακτορικῶς διαπρέψασιν, ὥς τι τῶν παροράσθαι ἀξίων, καὶ μὴ χώραν αὐχούντων λογοπραγήσεως· εἰ καὶ ἐν ἀσφαλεῖ κεῖσθαι ἐδόκει, ὅσα καὶ βάσανον εἰληχὸς ἀποχρῶσαν, καὶ βάσιμον ἐσχηκὸς, καὶ στερεμνίαν ἀποκατάστασιν, πανταχόθεν καὶ πᾶσι τρόποις δεικνυμένην τὸ ἀμετάθετον· μενοῦν γε μάλιστα τοὐναντίον ἔχον ὡρᾶτο, καὶ περὶ πλείονος τούτοις ἐτύγχανεν ὂν, καὶ διὰ φροντίδος ἐτίθετο πλείστης, βαρυαλγούμενον ἐπὶ τῷ οὕτω κεκτῆσθαι, καὶ μὴ ἂν ἐν ἑτέρῳ τὸ δέον αὐτῷ παρεῖναι καὶ ἀσφαλὲς διαγινωσκόμενον, ὅτι μὴ ἐν τῇ εἰς τὸ πρότερον ἐπανόδῳ τῇ ἀγαθουργῷ καὶ εἰρηνικῇ· καθὰ δῆτα καὶ τῷ περὶ οὗ νῦν ὁ λόγος Κομνηναυγεῖ στεφηφόρῳ, ἐνὶ τούτων γνωριζομένῳ καθαρῶς καὶ ἀναντιρρήτως ὑπῆρξε, περιπαθῆ λογιζομένῳ τὴν τῶν ἐκκλησιῶν ῥῆξιν, καὶ περισπούδαστον τὴν διόρθωσιν· κἂν μὴ καὶ τὰ τῆς προθέσεως ἔσχε πρὸς ἐντελὲς ἐκβεβηκέναι κατάντημα, ἢ τῷ προαρπασθῆναι ἐν τῷ διαπρεσβεύεσθαι πρὸς τοὺς τῆς πρεσβυτέρας Ῥώμης, καὶ τὰ τοῦ ἔργου οἰκονομεῖν, ἢ καί τισιν ἑτέραις περιπετείαις, ἃς οἱ καιροὶ περιπλέκουσι, καὶ ἡ τῶν πραγμάτων φορὰ, καὶ τὸ μεῖζον φάναι καὶ τελεώτερον, τῷ ἐπικρατέστερον ἁπανταχοῦ πεφυκέναι τὰ τῶν σκανδάλων συστῆσαι, ἢ ἀνατρέψαι,
cod. f. 9. b. ὥσπερ αὖ ἐξ ἀντιθέτου περιτρέψαι μᾶλλον, ἢ ἀνακαλέσασθαι τὰ τῆς ὁμο-

regiam curam, substituendi scilicet odio pacificae unionis statum; is plane sciat, haud mihi propositum esse, his quae dixi, rem confectam fuisse demonstrare (est enim in confesso apud omnes, ab imperatoris Monomachi aetate ecclesiarum discordiam atque scissionem ad praesentem usque diem permansisse) sed schisma iudidem ob causas rationesque a me dictas coeptum, haud visum esse flocci faciendum iis, qui post illum caesarea dignitate fulserunt, neque neglectu dignum, nec veluti verborum nundinationis loco habitum; quasi ea res iam stabilita foret, et experimento satis probata, firmaque basi innitens, solidoque statu omnimodam quaquaversus ostendente immobilitatem. Immo vero contrarium prorsus apparebat, plurimaeque huic Principi curae ac sollicitudini erat maximae, dolenti graviter quod ita res se haberet; neque aliud quicquam magis debitum tutumque arbitranti, quam ad antiquae pacis beneficium redire. Ita videlicet is, de quo nunc sermo est, Comnenorum lux imperator, liquido indubitanterque censebat; luctuosam esse reputans ecclesiarum scissionem, apprime vero expetendam restaurationem: quamvis negotium haud plenum habuit exitum, sive quia ereptus vita fuit dum legationem ad seniorem Romam instrueret, et de modo rei ge rendae deliberaret; sive aliis casibus, quos tempora interserunt, vel denique negotiorum cursu: seu, quod maius efficaciusque dicendum superest, quia tenacius ubique stabiliri scandala solent, quam auferri: sicuti pari exemplo concordia promptius dis-

νοίας ἀνυσιμώτερον, οὐκ ἐν ἑτερογλώσσοις μόνον, ἀλλά γε δὴ καὶ ἐν ὁμογλώσσοις αὐτοῖς, καὶ τοῖς ἀπὸ τῆς αὐτῆς κατάγομένοις τοῦ γένους σειρᾶς, ἔστιν ὅτε καὶ τοῖς τὴν αὐτὴν λαχοῦσι κοινωνίαν ἐγγυτάτω τοῦ αἵματος· ὃς δὴ τρόπος τῶν ἐπηρειῶν τοῦ Σατὰν ὁ σκαιότατος· ἐμοὶ γοῦν εἴθ' οὕτως, εἴθ' ἑτέρως ἐπισυμβέβηκε, μὴ περατωθῆναι τὸ περισπερχόμενον τῷ διαληφθέντι κρατάνακτι τὸ κατὰ σκοπὸν, ὅμως οὐκ ἐν ἀδήλοις, ἀλλὰ καταφανὲς ὑπάρχει καὶ εὔοπτον, ὡς εἰ καὶ μὴ πᾶσι, τοῖς πλειόσι δ' οὖν τῶν ἐξότου τὸ σχίσμα βασιλέων ἀγακλεῶν περιζήτητος καὶ λόγου πολλοῦ ἀξία ἡ ἐς τὸ πρὶν τῆς συμφωνίας ἐνῆν ἐπανάκλησις· καὶ τὰ μὲν Ἀλεξίου τοῦ αὐτοκράτορος ἐς τοσοῦτον προεληλύθει σαφῶς.

ιη'. Ἤδη δὲ καὶ ἐπ' αὐτὸν βαδιεῖται ὁ λόγος τὸν ἐκ τοῦ θεοστεφοῦς γόνου τούτου θεοστεφῆ καὶ τρισμέγιστον γόνον τὸν τρισαριστέα μεγαλώνυμον Μανουήλ· ὃς δὴ καὶ αὐτὸς πολυτρόπως τὰ τῆς ὑποθέσεως βασανίσας, καὶ πῇ μὲν γαλήνιον πρὸς αὐτὴν ἐνιδὼν, πῇ δὲ καὶ ἀντιβλέψας ἐχθοδοπὸν, τέλος ἐνστερνίσασθαι προθυμεῖται τὰ τῆς ἑνωτικῆς μερίδος, καὶ συνδῆσαι σπεύδει πρὸς ἀδιάῤῥηκτον, πόνον ἀνατλὰς οὐκ ὀλίγον, καὶ ῥοπὴν οὐ μικρὰν τῷ πράγματι δεδωκὼς, ὡς καὶ αὐτὸ τοῦτο παραδόσεσιν ἐγγράφοις εὑρημένον ἐστὶ καὶ σεσειωμημένον τρανῶς 1). Ἀλλ' ἐνταῦθα γενομένῳ τοῦ λόγου, ἔπεισί μοι θαυμάζειν, ὅπως εἴ τι που τῆς ἐριθείας προέβη οὐ πραγματικῶς μόνον, ἀλλὰ καὶ λογικῶς συγκροτούμενον διαδόσιμον πᾶσι καὶ καθωμιλημένον ἐστίν· εἴ τι δὲ ταύτης πρὸς ἀναίρεσιν ἐγεγόνει καὶ τῆς ἀντιδιῃρημένης ταύτῃ συμπνοίας κραταίωσιν, ἢ μυχοῖς ἀφανείας ἐστὶ παραπεμφθὲν, ἢ καὶ παραμεῖναν

solvitur, quam reconciliatur, inter non extraneos modo, verum etiam inter populares, et ex eodem generis stipite derivatos, immo vero et sanguine proximos; qui est videlicet deterrimus Satanae mos. Mihi igitur (sive ob hanc sive ob aliam contigit causam, quominus sedulo agitatum a praedicto imperatore negotium scopum attigerit) haud obscurum sed perspicuum apparet et evidens, nempe si non omnibus, at plerisque certe post schisma inclytis imperatoribus, expetitum plurimique aestimatum fuisse ad priorem concordiam reditum. Et sub imperatore quidem Alexio rem eatenus processisse constat.

18. Sed iam sermo noster procedat ad huius coronati principis coronatum aeque maximum filium atque fortissimum, magni nominis Manuhelem, qui pariter modo sereno vultu rem respexit, modo contra irato, postremo tamen concordiae partes optavit amplecti, et insolubili vinculo colligare, haud modicum negotio laborem impendens, nec leve tractatui pondus adiiciens: quae res pariter in exaratis historiis perspicue adnotata comperitur. Nunc quoniam huc nostra provecta est oratio, subit mihi mirari, cur si quid non factis tantummodo sed etiam verbis discordiam fovit, id diditum omnibus famigeratumque fuerit; si quid autem ob schismatis extinctionem actum fuit, et ad dissolutae concordiae redintegrationem, id ignotis angulis abditum sit; vel si forte supersit, vix ob raritatem appareat. Ecce enim

1) Manuhelis tractationes cum Alexandro III. PP., immo et legatum ad concilium tertium lateranense missum, cognoscimus ex historia.

μόλις που καὶ σπανίαν ἔχει φανέρωσιν· ἰδοὺ γὰρ ὅσα μὴν ὁ κραταιὸς οὗτος αὐτάναξ 1) ἐξ ἀντιῤῥήσεων καὶ μεθόδων διαλεκτικῶν συνεστήσατο, τὴν ἔριν κρατύνων, ἢ μᾶλλον λογικοῖς ἀγῶσι φιλοτιμούμενος, διανενεμημένα πᾶσι πέφυκε καὶ ἐπίμονα· ἃ δὲ πρὸς ἀποσόβησιν ταύτης ἐνστησάμενος ἔφθη, καὶ τῆς τῶν διεστώτων ἑνοποιήσεως σύναρσιν ἐγγράφως ἐνσημανθέντα πρὸς οὐ μικρὰν ταύτης
cod. f. 10. a. σύστασιν, καὶ ἰσχυροποίησιν, ἐς ἀφανὲς συνηλάθη καὶ αὐτοῖς τοῖς τῶν ὅτε δήποτε τελεσθέντων ἢ καὶ γραφέντων ἐξεταστικοῖς καὶ εἰδήμοσι, καὶ μόγις που τῷ πᾶν διαζητήσαντι εὕρηται· καὶ ἔστι νῦν ἐν τοῖς οὖσι, καὶ εἴη ἂν θεατὰ εἴ τις αἱρήσεται κατιδεῖν, εἰ μὴ τοῖς ἀντιδιατιθεμένοις αὖ ἀφανισμῷ παραδέδοται· κἀκ τούτων ἔχῃ ἂν διαγνῶναι πᾶς ὁ τὴν ἀλήθειαν ὑφαρπάζων, ὡς πολλὰ τῶν πρὸ τοῦ καιροῦ τῆς ἀπεχθείας, ἔτι τε καὶ ἐν τῷ καιρῷ προαχθέντων, καὶ πράξεσιν ἐναργέσι καὶ λόγοις παντοίοις θεωρουμένων, καὶ πρὸς συνασπισμὸν ἀφορώντων τῆς ἐκκλησιαστικῆς ἐπὶ τὸ εἰρηναῖον ἐπανελεύσεως, παροραθέντα παρυπεκρύβη· ἔστι δὲ ἃ καὶ εἰς ἀλλοίωσιν μετηνέχθη τοῖς ἀπαρεσκομένοις πρὸς ταῦτα· οὐκ ὀλίγα δὲ καὶ τοῖς μὴ οὖσι συγκατεφλέγησαν ἐξεπίτηδες· ὁποῖα τοιαῦτα καὶ νῦν τελεσιουργηθῆναι προσφάτως κατείδομέν τε καὶ ἔγνωμεν ταῖς ἡμετέραις ἡμέραις 2), κἂν τοῖς χθές τε καὶ πρότριτα· καὶ ταῦτα φαμὲν τὸν παντέφορον ὀφθαλμὸν αὐχοῦντες τῶν λεγομένων συνίστορα, πρὸς ὃν ἀπευθυνόμενοι καὶ τοὺς λόγους ποιούμεθα.

ιθʹ. Καὶ οὐδὲ τοῦτο παραδραμούμεθα, ὅπερ ἐνοπτρίσασθαί με συνέβη ἔν τινι πόλει περὶ τὰ Ἰταλικὰ μέρη διακειμένῃ· Βενεβενδὸς ταύτῃ τὸ ἰδιαζό-

quaecumque potens hic imperator invectionibus ac dialogis ad roborandam discordiam egit, vel potius litterariis quaestionibus ambitiose commendavit, ea prodita sunt omnibus et conservata. Quae autem ob submovendum dissidium antea scripserat, et ad dissidentium unionem curandam, nec momentaneam sed praevalidam, commentariis tradiderat, ea in tenebras coniecta fuerunt, et ab ipsis rerum tunc gestarum aut scriptarum doctis quaesitoribus vix scrutando reperiuntur. Et nunc tamen supersunt, eaque studiosis fient conspicua; nisi quae forte ab adversariis exitio sunt tradita: atque ex his cognoscere poterit quisquis veritatem suffuratur, multa ante inimicitiae tempus, vel etiam ipso illo tempore acta, et sive tractatibus publicis, sive sermonibus omnigenis explicata, quae ad ecclesiasticam pacem reverti suadebant, dissimulata deinde fuisse atque abscondita. Nonnulla etiam falsata fuerunt ab iis quibus minime placebant: non pauca denique cum ipsis mortuis de industria combusta fuerunt; cuiusmodi alia novissime quoque patrata videmus ac scimus, heri videlicet aut nudius tertius. Atque haec dicimus omnituentem invocantes oculum dictorum testem, ad quem conversi loquimur.

19. Neque illud etiam praetermittam, quod mihi in quadam Italiae urbe Bene-

1) Manuhelis comneni imp. infinitas laudes recitat apud nos Ephraemius chronographus, qui et eiusdem quaestiones religiosas memorat. Sed certe in duabus synodis sub eo celebratis, quas nos vulgavimus, et in Theoriani legatione ad Armenios (Script. vet. T. VI.) purum religionis zelum prae se fert Manuhel. Scripta tamen eius dialectica, quae Metochita nunc memorat, desiderari videntur.

2) Corruptelam innuit in Nysseni oratione fraudulenter effectam, de qua postea sermo erit.

μενον ὄνομα· αὐτοῦ γὰρ ἐν τῷ διϊέναι τὴν ἣν ἐστελλόμην ὁδοιϖορίαν αὐλισαμένῳ, τῶν τινες ἀπὸ τοῦ κλήρου τῆς πόλεως εὐσταλῶν καὶ κοσμίων ἀνδρῶν κομισάμενοι χάρτας μοι ἐγχειρίζουσι· καὶ ἦσαν οὗτοι πορφύρεοι, χρυσοκολλήτοις στοιχείοις ἐγκεχαραγμένοι δι' ὅλου, καὶ ϖολλὴν διαύγειαν ἔκ τε τοῦ χρώματος καὶ τῆς χρυσοϋφοῦς τῶν γραμμάτων ποικιλίας ἐναποπάλλοντες 1)· ἐπιστολιμαῖον δὲ χαρακτῆρα ἐδείκνυον ἐξ αὐτοῦ διαμορφωνθέντα τοῦ προσεχῶς δηλοποιηθέντος σκηϖτούχου ϖρὸς τὸν τηνικαῦτα ϖοιμενάρχην ἐκκλησίας δὴ τῆς ῥωμαϊκῆς· ὧν καὶ τὰ τῆς περιλήψεως οὐκ ἔστιν εἰπεῖν διὰ cod. f. 10. b. βραχέων ὅσην καὶ οἵαν διεζωγράφουν τὴν πρὸς αὐτὸν ὑπακοὴν, καὶ ὡς ἐντελῆ τὴν πληροφορίαν παρεῖχον ἐπὶ πᾶσιν ἁπλῶς τοῖς πνευματικοῖς, οἷς ὁ ἀληθὴς ἄρα καὶ οἰκουμενικὸς διδάσκαλος 2) ὑπογράφεται, καὶ ὡς τελείαν ὑϖισχνοῦντο γενέσθαι τὴν τῆς διαστάσεως ἀποχὴν, καὶ τὴν εἰς τὸ ἀρχαῖον εἰρηνοποίησιν· καὶ ἵν' ἔτι συνελὼν ἐπὶ πλέον ἐρῶ, οὐκ ἔστιν ὃς ἂν ἐπιμελῶς διελθὼν ταῦτα, καὶ τῷ νοΐ συμπεριλαβὼν, οὐ παρευθὺς διέγνω τὴν τῆς βασιλικῆς ἐκείνης ψυχῆς εἰλικρινῆ ϖερὶ τὸ κατεϖειγόμενον ἔργον ἔφεσιν καὶ σπουδὴν, ὅπου γε καὶ ταύτην αἰτίαν τοῦ χρυσέου καὶ κεχρωσμένου τῶν στοιχείων καὶ χαρτῶν διηγόρευον, τὸ εἰς παράστασιν ἀκραιφνῆ γεγονέναι τῆς τοῦ στείλαντος ὁλοσχεροῦς περὶ τὸ ϖρᾶγμα βεβαιώσεως καὶ ὁρμῆς· καὶ ἔστι μὲν

vento appellata videre obtigit: illic enim in itinere diversanti mihi, quidam de civitatis clero culti honestique homines allatas chartas tradiderunt: erantque hae purpureae, aureis elementis per totum exaratae, et splendorem multum tum ex colore tum ex aurigera litterarum varietate iaculantes. Erant autem generis epistolaris, ab ipso scriptae, quem saepe diximus imperatore ad romanae tunc temporis ecclesiae pontificem: quarum continentia paucis verbis referri nequit; nempe quam graphice scribentis erga pontificem obedientiam exprimerent; et quomodo plenum adsensum spiritalibus cunctis simpliciter exhiberent, quibus verus et universalis magister subscribit; quomodo denique fore sponderent, ut omne dissidium auferretur, et pax in pristinum revocaretur. Atque ut summatim adhuc dicere pergam, nemo est qui his accurate lectis et mente comprehensis, non statim agnoscat regii illius animi purum urgendi operis votum ac studium: siquidem et hanc fuisse causam aureorum et coloratorum elementorum chartarumque apparebat, nempe ut mittentis omnimoda stabiliendi operis voluntas pure constaret. Verumque reapse est,

1) Plane sunt hae litterae (quae utinam usque ad nos superfuissent!) quas Manuhel imp. misit cum legatis suis Beneventum ad Alexandrum III. PP. tum ibi morantem; declarans se iamdiu cupidum exaltandi et honorandi ecclesiam romanam matrem suam et Papae personam: insuper ecclesiam suam graecam eidem romanae ecclesiae uniendi; dummodo sibi vellet Pontifex sua iura restituere. Callidus videlicet ambitiosusque Manuhel, imperium sibi occidentale reddi postulabat, quandoquidem Federicus alamannus contra Papam erat. His litteris respondit Alexander, gratias agens tamquam carissimo principi, beati Petri filio; negans tamen assensum, quatenus postulabat imperii translationem, ceu rem nimis altam et valde periculosam et perplexam, quum se pacis potius auctorem esse deceret atque custodem. Itaque repudiatis graeci Caesaris donis, legatos re infecta Byzantium remisit. Sic apud Baronium ad an. 1170. n. 54. ex ipsius Alexandri actis. Ceteroquin in concil. Zattae T. XXI. col. 974. extat alia Manuhelis imp. epistola ad Francorum regem, in qua perhonorifice de Alexandro PP. loquitur, eiusque sanctitati *condignam reverentiam exhibet;* hancque epistolam beneventano episcopo se committere dicit.

2) Vides appellatum a Graecis romanum pontificem, *verum universalemque magistrum.* Conferatur ob id Constantini quoque Heraclio geniti epistola a nobis edita T. VI. part. II. p. 511.

ἀληθὲς, ὡς ἐπιστολαὶ πᾶσαι τῶν μετὰ τὴν ἐκκλησιαστικὴν διαμάχην τὴν βασίλειον ἀλουργίδα κληρωσαμένων ἐκεῖσε καταπεμφθεῖσαι, αἱ μὲν μεταχειρίσεως χάριν, καθὰ τοῖς λέγουσι σύμφημι καὶ αὐτὸς, αἱ δὲ καὶ γνώμης ὑλικῇ διαθέσει, ὡς ἐστὶν ἐκ τῶν εἰρημένων συλλέξασθαι, τὸ τῆς προτέρας ἀνεκαλοῦντο διαγωγῆς ἀστασίαστον· αἱ δὲ προῤῥεθεῖσαι πασῶν καθ' ὑπεροχὴν εἰς τοῦτο, τὸ τῆς τοῦ γράψαντος διανοίας διακαὲς ὑπέφαινον καὶ ἐμπύριον· ἀπόχρη μὲν οὖν καὶ ταῦτα διευκρινῆσαι, ὅπως ἄρα περὶ τὴν ἐκκλησιαστικὴν ἐς τὸ ἡνωμένον διέκειντο ἐπανόρθωσιν, καὶ αὐτῶν ἐκείνων οἱ πλείους τῶν ἐν τοῖς τῆς διενέξεως χρόνοις τὸ βασιλικὸν ἠμφιεσμένων διάδημα 1).

κ'. Ἔτι δὲ καὶ τοῦτο μοι συμπεριληφθὲν σαφηνιεῖ καθαρώτερον· τίς οὐκ οἶδε τὸ μέγα κῦδος ῥωμαίων, τὸ τρισευτυχὲς κλέος, τὸ περίκλυτον ἀγαθὸν, τὸ Δουκοφυὲς ἄνθος καὶ χαριτώνυμον, τὸ οὐ πρὸ πολλοῦ πάνυ βασιλείοις ὀδμαῖς διαφόροις ἐκ πολλῶν ἀρετῆς ποιοτήτων συγκιρναμέναις, τὴν καθ' ἡμᾶς

cunctas epistolas post ecclesiasticam controversiam a purpuratis imperatoribus scriptas et illuc missas, alias quidem negotiorum tractandorum causa, ut ego quoque dicentibus assentior, alias vero ex animi materiali habitu, prout ex dictis colligi potest, prioris tranquillitatis omnino desiderium prae se tulisse. At illae modo dictae chartae fervidam prae ceteris atque inflammatam scribentis mentem innuebant. Atque haec sufficerent demonstrando, quomodo erga ecclesiasticae unionis instaurationem affecti fuerint plerique eorum, qui dissidii temporibus regium diadema gestarunt.

20. Sed et aliud a me subiungendum, rem magis adhuc perspicuam efficiet. Quis ignorat grande illud Romanorum decus, gloriam faustissimam, bonum inclytum, Ducaenae familiae florem Iohannem, qui paulo ante nos regalibus plane variisque odoribus, ex multa virtutum varietate mixtis, mundum nostrum suavitate

1) Ad eorum complementum, quae de Manuhele dicta sunt, addam extare in codice vaticano 1059. (itemque ut olim vidi in ambrosiano) Manuhelis eiusdem non ita breve opusculum, quo arti astrologicae adversus quendam reprehensorem patrocinatur. En titulum. Πιττάκιον ἐκδοθὲν παρὰ τοῦ ἀοιδίμου βασιλέως τοῦ πορφυρογεννήτου κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, γνώμῃ καὶ εἰδήσει καὶ τῶν ἐλλογίμων ἀρχιερέων, καὶ συγκλητικῶν ἀρχόντων, πολλῶν γέμον ὑψηλῶν καὶ ἀναγκαίων θεωρημάτων, ἀπολογητικὸν πρὸς γραφήν τινος μοναχοῦ Παλατίνου τῆς μονῆς τοῦ παντοκράτορος, τὰ τῆς ἀστρονομικῆς τέχνης κακίζουσαν, καὶ ἀσέβειαν ἀποκαλοῦσαν τὸ μάθημα. Ἄναξ Μανουὴλ, Κομνηνὸς βλαστὸς κλάδος. Τιμιώτατε πάτερ. Τὸ ἐγχειρισθὲν τῇ βασιλείᾳ μου γράμμα σου, ὑπανεγνώσθη αὐτῇ, καταδρομὴν περιέχον τοῦ τῆς ἀστρονομίας μαθήματος etc. Multa congerit Manuhel tum ex sacris scripturis tum ex historiis, quae ipsi suadere videbantur astrorum erga res humanas vim. In his dictum celebre Areopagitae de solis defectu in Christi obitu. Neque reticet stellam magorum ducem ad nati Iesu adorationem. Aliud sidereum indicium: κομήτης ὁ φανεὶς ἀστὴρ ὁπηνίκα διὰ τῆς χώρας τῆς Ῥωμανίας διῆλθον οἱ Ἀλαμανοί. Item: τοιοῦτος ἐφάνη ἀστὴρ καὶ ἐπὶ τῶν ἡμερῶν τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου κυροῦ Ἀλεξίου τοῦ πάππου τῆς βασιλείας μου, ὁπηνίκα καὶ τότε διελθεῖν ἔμελλον δυτικὰ ἔθνη διὰ τῆς χώρας τῆς Ῥωμανίας. Laudat mox acta vel dicta cuiusdam archiepiscopi thessalonicensis, qui famem publicam avertit, agri culturam ex astrorum indicio faciens. Item Damascenum laudat in physiologicis, et Anastasium in capitulis, Greg. nazianzenum, nec non Valentem cuius astrologiam novimus. Atque hunc Valentem consultum dicit fuisse a Constantino magno in captandis, cum Constantinopolim conderet, auspiciis sive horoscopo. Quare et huius astrologi aetas, satis hactenus controversa (apud Fabric. B. gr. ed. nov. T. IV. p. 146.) nunc liquido apparet: τῷ γὰρ σοφωτάτῳ ἐκείνῳ Οὐάλεντι θεωρῷ τῆς τοιαύτης χρησάμενος (Κωνσταντῖνος) σκέψεως. Mitto plura referre de hac vanissima noxiaque arte, quae ceteroqui byzantinam aulam diu occupavit, immo et antiquiores romanos Caesares, ut tum dixi, cum Iuliani laodicensis astrologi fragmenta edidi Script. vet. T. III, et iur. civ. append. 2.

εὐωδιάσαν ὑφήλιον; οὗτος ὁ περιφανὴς ἄναξ καὶ περιβόητος, Βατάτζης ᾧ τὸ ἐπώνυμον, πολλοῖς μὲν καὶ ἄλλοις ἀγῶσι, καὶ παντοδαποῖς ἀέθλοις κατε-ξετασθῆναι διακηρύττεται, τοῦ οἰκείου λάχους προασπιζόμενος, πάντων δ' cod. f. II. a. οὐχ ἧττον, ὅτι μὴ καὶ μᾶλλον, τῷ ὑπὲρ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν φερεπόνῳ συνισχηθῆναι διαγινώσκεται· καὶ ἃ μὲν ἐπὶ τούτῳ κατεσπουδακὼς ὦπται διαφόροις καιροῖς, ἐν ὁμιλίαις λόγων συχναῖς, ἐν πολυσόφοις μελέταις, ἐν ἐργασίαις πράξεων εὐμηχάνοις, δεξιαῖς ἐν φιλοφρονήσεσι, πρέσβεων ἐκ ῥωμαίων φοιτώντων αὐτῷ, παρ' αὐτοῦ δὲ πάλιν ἀντεπιστελλομένων ἑτέρων ἀμοιβαδὸν, λεγόντων καὶ ἱστορούντων οἱ τὸν θεῖον ἄνδρα τοῦτον ἰδόντες, καὶ τὰ ἐκείνου καλῶς ἐξακριβωσάμενοι· εἰσὶ γάρ τινες οἱ ἔκ τοτε μέχρι τῆς καθ' ἡμᾶς γενεᾶς τῶν εἰδότων ταῦτα διαρκέσαντες· ἃ δὲ διηνεκῶς αὖθις ἐφάνη, καὶ οὐδὲ φθορᾶς παρανάλωμα θεῖναι χρόνος ὁ πανδαμάτωρ, ἤ τις ἕτερος τῶν ὧν προϋπεκρουσάμεθα τρόπων κατίσχυσε, λέξων εἶμι καὶ αὐτὸς ἐν βραχεῖ. Τελευτᾷ τῷ γενναίῳ τούτῳ καὶ μεγαλοφυεῖ βασιλεῖ ἐς τόδε προαγωγῆς τὰ τοῦ πράγματος· πρεσβείαν ποιεῖται πρὸς τὴν ῥωμαϊκὴν ἐκκλησίαν τῶν πώποτε διαπρεπῆ καὶ περίδοξον· ταύτην ἐνήργουν τῶν τῆς καθ' ἡμᾶς ἐπαρχίας ἀρχιερέων οἱ προὔχοντες, καὶ τῶν τῆς συγκλήτου βουλῆς ἄνδρες γεραροὶ καὶ ἐπίσημοι· καὶ ἦν ἡ πρεσβεία γνώμη κοινὴ τῶν τηνικαῦτα παρευρεθέντων ἀρχιερέων μετὰ τοῦ σφῶν πατριαρχικῶς προεξάρχοντος· Μανουὴλ οὗτος ἦν, ἀνὴρ ἁγιωσύνης παντοῖον εἶδος ἀσκήσας ἐκ τρόπων πολυειδῶν τῆς ἐνούσης αὐτῷ καλοκαγαθίας, καὶ μετέωρον ὕψος ἀναβάσεως ἐσχηκὼς τῇ κατ' ἄκρως ἐμφύτῳ τῆς ψυχῆς ταπεινοφροσύνῃ καὶ μετριότητι· σπείσασθαι τῇ ῥωμαίων ἐκκλησίᾳ ἐκ μέρους τῆς ἡμετέρας· καὶ τοὺς ἀπὸ τῶν πρέσβεων τὸν ἱεραρχικὸν

perfudit? Praeclarus hic imperator et laudatissimus, cognomento Vatatzes, qui certaminibus multis et laboribus exantlatis celebratur, dum proprium imperatoris officium recte tuetur, nihilo tamen minus, immo et impensius, pro ecclesiarum unione allaborasse cognoscitur. Et quidem quam studiose eam diversis temporibus curasse constet, crebris colloquiis, prudentibus consultationibus, sollertibus actibus, idoneis benivolentiae demonstrationibus, dum Roma legati ad eum veniunt, et ab eo vicissim illuc mittuntur, dicant ii narrentque qui divum hunc virum viderunt, resque eius accurate scrutati sunt: supersunt enim usque ad nostram aetatem qui illas spectare potuerunt. Quae autem continuatim mox extiterunt, eorum memoriam neque temporis umquam potentia, neque aliud quicquam adversans delere potuit; eaque breviter dicturus sum. Susceptum ab hoc magnanimo imperatore negotium eo usque perductum est, ut legationem ad romanam ecclesiam miserit splendidam quam quae maxime et pompaticam. Hanc obierunt ditionis nostrae primarii antistites, et senatorii viri spectabiles illustresque: eratque ea legatio de communi sententia tunc temporis episcoporum, cum patriarcha suo Manuhele, viro in omni sanctimoniae genere exercito, virtutum multifariarum cinno, et a sua ipsius animi demissione ac modestia in sublimem gradum elato. Hi, inquam, legati ad ineundum ex parte nostra cum romana ecclesia foedus properabant; moniti scilicet ut qui ex ipsis in sacerdotali ordine essent, cum sacrum facerent, Papae nomen in liturgia iuxta mo-

ἀποπληροῦντας κατάλογον ἱεροπρακτήσαντας, τὴν τοῦ Πάπα ὀνόματος ἀναφορὰν κατὰ τὸ ἀρχαῖον ἔθος, πρώτως τοῖς ἐκεῖσε ποιήσασθαι· εἶθ' οὕτω καὶ
cod. f. 11. b. πρὸς ἡμᾶς ἐνταῦθα διαβιβάσαι, ὥστε τελεῖσθαι δι' ὅλου μετὰ τὴν αὐτῶν ἐπάναζευξιν· ὡσαύτως καὶ λοιπὸν εἴ τι προνόμιον ἀρχῆθεν ὑπῆρχεν ἀπονενεμημένον αὐτῷ, τοῦτο ἦν ἐνδεδομένον, καὶ κατησφαλισμένον ἐγγράφως αὐτοῖς· καὶ λόγος ἦν οὐδεὶς περὶ ἐκκλησιαστικοῦ οἱουδήτινος συζητήματος· ἀλλὰ τὸ πᾶν τῆς αἰτήσεως, ἡ βασιλὶς καθεισθήκει τῶν πόλεων, ὁ τῆς οἰκουμένης τερπνὸς ὀφθαλμὸς, τὸ τῶν ἐπὶ γῆς περίπυστον ἁπάντων θεαμάτων ἐντρύφημα· ἦν γάρ τοῖς ῥηθεῖσι πρέσβεσι διακεκελευσμένον περὶ αὐτῆς, ὡς εἴπερ ὁ τῆς πρεσβυτέρας πρωτοπρόεδρος Ῥώμης τὴν ταύτης ἀπόδοσιν καθυποσχέσθαι συνέλθῃ παρὰ τῆς λαϊκῆς τῷ τότε δυναστείας κατεχομένης ἐκ τῆς ἐπεισφρησάσης τῇ ἐπικρατείᾳ ῥωμαίων ἀλληλοδιαδόχου τῶν δεινῶν ἐπελεύσεως, λόγοις οἷς προϋπεφῃνάμεθα, παραυτὰ πάντα τὰ τῆς πρεσβείας ἐντελῶς ἀπαρτισαμένους ἀνακάμψαι πρὸς τὰ ὡδί· παρ' ἣν ἄρα αἰτίαν καὶ τὰ κωλύμης ἐτισυνέβη, τῶν τῆς ῥωμαϊκῆς ἐκκλησίας μὴ παραδεξαμένων ἐς ὅσον τὰ τῆς αἰτήσεως ἐξετείνετο, ἀλλ' ἀπολογησαμένων ἄλλως θέσθαι τὰ κατ' αὐτὴν, καὶ μὴ οὕτω τομῶς κατὰ τῶν ὁμοφύλων χωρῆσαι, ὥστε τούτους ἀπηνῶς ἐξῶσαι τῆς Κωνσταντίνου, ὅσα καὶ δέον ὂν μέγαν οὕτω συγκροτηθῆναι πόλεμον καὶ ἐμφύλιον· εἰ δὲ καὶ ἕτεροι λόγοι συνετέθησαν ἐπὶ τούτῳ, τῶν μὲν τοιῶςδε τὸ ζητούμενον γενέσθαι θελόντων, τῶν δὲ μέχρι τοσοῦδε κατανευόντων, ὅμως τοιαῦτα ἦν τὰ αἰτούμενα, καὶ παρὰ ταῦτα τὸ τοῦ ἔργου γέγονε μὴ ἐκβεβηκός· καὶ γοῦν ἔχῃ ἂν εἰδέναι πᾶς ὁ τῶν παρόντων λόγων ἐξεταστὴς, ὡς τὸ ἐκκλησιαστικὸν ἅπαν καὶ ἐνηργήθη καὶ ἐκυρώθη τῷ τότε

rem veterem illic primo memorarent: tum et illinc digressi apud nos quoque ita recitarent; ita ut res plane constabilita haberetur post ipsorum reditum: pariterque si quod aliud priscum Papae privilegium esset, id restitueretur, ratumque scripto haberetur. Iam vero nulla per id tempus ecclesiasticae cuiusquam quaestionis facta mentio est; sed unica petitio erat, de regia urbe (recuperanda) iucundo mundi oculo, celeberrimo universae terrae miraculo ac delicioso. Datum enim dictis legatis in mandatis fuerat, ut hoc negotium curarent. Quod si senioris Romae pontifex, causis quas diximus persuasus, promitteret restitutionem fieri a laica potestate, quae rerum publicarum potita erat, ob continuas quae romano imperio evenerant calamitates; tunc universum legationis scopum adepti, huc redirent. Quam ob causam negotii quoque disturbatio contigit, romana ecclesia nequaquam admittente totius postulati latitudinem, sed rem aliter procuraturam spondente, nempe ut ne adeo severa adversus homogeneos incursio fieret, neque hi tam crudeliter Constantinopoli expellerentur; ex quo grande hoc civile bellum conflari necesse erat. Quod si alii quoque hac in re commoti sunt sermones, nostris quidem postulata sibi concedi volentibus, illis autem illatenus tantum adsentientibus; attamen haec tantummodo postulata fuerunt, eamque ob causam nullus negotii exitus fuit. Atqui hunc totum tractatum qui consideret, prorsus comperiet, quicquid erat rei ecclesiasticae tunc peractum fuisse ratumque habitum ab universo sacerdotali illius temporis coetu:

παρὰ τῆς ἐνταῦθα θείας τῶν ἱεραρχῶν ὁμηγύρεως· καὶ τὸν ἐμποδισμὸν ἔσχεν οὐκ ἄλλοθεν, ἀλλ' ἢ πάντως ἀπ' αὐτῆς τῆς διειλημμένης κοσμικωτέρας αἰτήσεως καὶ διαφορᾶς· καὶ ἔστιν ἡ τηνικαῦτα γεγονυῖα τοῖς διαπρεσβευομένοις ἀνάθεσις ἔγγραφος πλατύτερον τὰ περὶ τούτων ἀγγέλουσα 1)· ἀλλ' οὕτω μὲν καὶ τὰ τοῦ χαριτωνύμου τοῦδε κρατάνακτος.

κα'. Ὁ λόγος δὲ βαίνων ἀπάρτι ἐπ' αὐτὸ τὸ τῆς ὑποθέσεως σκοπιμώτατον πάνυ διαπορούμενός ἐστι καὶ ἀγωνιῶν, πῶς ἄρα δυνηθείη τὰ περὶ τούτου διατρανῶσαι καθόσον εἰκὸς, τοσοῦτον ἐπαγόμενα φορυτὸν ἀλλεπαλλήλων συμβάσεων· πλὴν ἀεὶ τῶν κατὰ πρόθεσιν ἐξεχόμενος, καὶ τοῦτο πάντη δεῖξαι κατεπειγόμενος, οὕτως αὐτὸ δὴ τὸ προκείμενον πανταχόθεν τὸ ἑδραῖον ἐπιφέρεται, καὶ ἀνέγκλητον, τῶν καιρίων καὶ εἰς τοῦτο συντεινόντων μνησθεὶς, διέλθῃ ἄν τινα κατ' ἐπιτομὴν, τῶν ὅσα τῷδε συνεπεπτώκει σκαιῶς. Καὶ δὴ τῶν ἑξῆς μοι ῥηθησομένων αὐτὸς γένοιτο ἂν ἀρχὴ, ὁ τοῦ περὶ οὗ ταῦτα πρακτέου καθηγησάμενος· καὶ ἔστιν οὗτος ὁ κλεινὸς ἐν αὐτοκράτορσι Μιχαὴλ, τὸ μέγα τῆς ἑώας καὶ ἑσπερίου λήξεως ὄνομα, μᾶλλον δὲ τῆς οἰκουμενικῆς τετραμερείας τὸ φοβερὸν καὶ ἀγακλεὲς περιθρύλλημα, ὁ τὴν εὐσέβειαν ἀῤῥαγὴς, ὁ θερμὸς τὴν πρὸς θεὸν πεποίθησιν καὶ ἀδίστακτος, ὁ παρ' ὅλον αὐτοῦ τὸ βιώσιμον πρόβλημα τὴν εἰλικρινῆ πίστιν ποιούμενος· καὶ ὅσα τῆς ἀμωμήτου πίστεως σύμβολα πρὸ παντὸς ἔργου, πρὸ παντὸς διανοήματος καὶ βουλεύματος, ἐν παντὶ τόπῳ τε καὶ καιρῷ, ἐν αὐτῷ τῷ καθεσθῆναι καὶ ἀναστῆναι, καὶ μέχρις αὐτοῦ τοῦ τυχόντος κινήματος καὶ βαδίσματος· ἡ ἀκά- cod. f. 12. a.

neque aliud ullum impedimentum extitisse, nisi ab ante dicta saeculari petitione et controversia. Et quidem latiori scripto tota illa legatio extat tradita. Sic igitur res quoque abs Iohanne imperatore tractata se habuit.

21. Age vero oratio nostra hinc iam ad praecipuum suscepti argumenti scopum tendens, plane anxia est et aestuans, quomodo perspicue, ut par est, rem evolvat tanta continuorum casuum colluvie refertam: verumtamen dum propositum semper spectat, idque omnino explicare conatur, ipse quidem contextus constans videbitur et irreprehensibilis: principalibus enim aliquot et huc pertinentibus memoratis, nonnulla compendio transmittet quae incommode intercesserunt. Principium mihi dicendarum rerum ille sit, qui agendarum dux fuit, scilicet inclytus inter imperatores Michahel, magnum orientalis et occidentalis regionis nomen, immo quadripertiti mundi reverendum ac nobilissimum decus; ille pietate immobilis, fiducia in Deum fervidus et indubius, et prae omni re sua mundana, fidei puritatem in pretio habens, cuncta ipsius irreprehensibilis fidei conventa, cuilibet operi, cogitationi et consilio anteponens, omni loco ac tempore, sive sedens, sive surgens, quolibet motu vel gressu: mens indefessa, magni vir ingenii ac caelestis, magni

1) Ephraemius tamen chronographus apud nos T. III. Script. vet. etsi copiosissime scribat Iohannis Ducae Vatatzae res, nullam religiosorum cum Romanis tractatuum mentionem facit; quia nempe schismaticus auctor omnem huiusmodi aboleri memoriam volebat. Verumtamen apud nostrum Raynaldum ad an. 1233. sub Gregorio IX. praedictorum negotiorum narrationem legimus, non tamen Graecorum ad Papam legationis. Huius imperatoris res gestas variis poëmatibus extollit etiam Theodorus Prodromus apud nos T. VI. part. II.

μαῖος φρὴν, ὁ μεγαλόνους ἄνθρωπος καὶ οὐράνιος, ὁ μεγαλουργὸς, καὶ μεγαλεπήβολος, ὁ Κομνηνοφυὴς Παλαιολόγων βλαστὸς, καὶ τὸ σύμπαν ἀξιοθαύμαστος· ὁ δὴ τοιοῦτος τὰ πρῶτα τῆς ἡλικίας ὑπὸ τῷ σύνεγγυς δηλωθέντι κρατάρχῃ, καθὰ δῆτα πατρὶ σπαργανωθεὶς καὶ διαπλασθεὶς πλάσιν ἀρίστην καὶ ὄντως ἐπαινετὴν, ὅσα καὶ καθ' αἷμα γνησίως αὐτῷ προσῳκειωμένος, καὶ τὰ πρῶτα τῆς εὐγενείας αὐχῶν, καὶ ἦθος καὶ τρόπον καὶ βίον ὑπὸ τούτῳ κάλλιστα παιδευθεὶς, ἀνιμᾶται μὲν ὡσεί τις σπόγγος τὰ νάματα, πᾶν ἐν ἀριστοβουλίαις καὶ ἀριστοπραξίαις κατωρθωμένον αὐτῷ, καὶ ἐκμαγεῖον
cod. f. 12. b. γίνεται τῶν τούτου πλεονεκτημάτων διαφανὲς, εἰ καὶ μεθ' ὕστερον ὑπερελάσας ἔχει τῇ κατ' ἐκεῖνον ἀπαραμίλλῳ τῶν οἰκείων προτερημάτων ὑπερβολῇ· ἀνιμᾶται δὲ καὶ ἃ λαληθῆναι τούτῳ καὶ διενεργηθῆναι κατεσπουδάσθη περὶ τῆς τῶν ἐκκλησιῶν ἐς τὸ ἑνιαῖον ἀνανεώσεως, ἐκ τῆς ἐναποκειμένης τῇ ἐκείνου ψυχῇ περὶ ταῦτα σφοδρᾶς διαθέσεως· ἐξ ὧν ἀναζωπυρούμενος τὸ ἐντὸς, ἀνερευνῶν ἦν πάνυ καὶ ἀνιχνεύων παντὶ τρόπῳ τὰ τοῦ πράγματος ὅπως ἔχει καρπώσασθαι, τοῖς τὴν ἀρχιερατικὴν ἀξίαν τότε κοσμοῦσι συγγινόμενος λογικῶς, καὶ τὰ τοῦ ζητουμένου μανθάνων ὡς λυσιτελῆ καὶ δέοντα καὶ θεάρεστα ἀρχιερεῦσιν ἐκείνοις, οὓς λόγος ἐμαιεύσατο, καὶ σοφία ἐτιθηνήσατο, καὶ τὸ τῆς ἐκκλησιαστικῆς παιδείας σύντροφον ἐγαλούχησεν, οὓς ἐξ ἔτι νηπίου νόμων ἐπιμοναὶ, καὶ κανόνων μελέται, καὶ ἱερῶν πράξεων καὶ βαθμίδων ἀναγωγαὶ, καὶ κατάστασις ἐκκλησιαστικὴ πᾶσα, καὶ λοιπὴ πεῖρα καὶ τάξις ἐξέθρεψαν, καὶ ἠνδρώσαντο κατὰ Παῦλον εἰς ἔργον τέλειον τοῦ πληρώματος τοῦ Χριστοῦ· οὐ τοιούτοις ὁποίους ὁ νῦν καιρὸς ἐκαινούργησεν, ἢ μᾶλλον ἡ τυραννὶς ἐπλαστούργησε τοῦ τὸ ἐκκλησιαστικὸν ἄρτι σκάφος καταβαπτίζοντος, οὐχ ὅπως οὐδέν τι τῶν ὧν εἰρήκειμεν κεκτημένους, ἀλλ' οὐδ'

operis, magni ausus, Comnenorum progenies, Palaeologorum surculus, totus mirabilis. Hic primaeva aetate a propinquo suo tunc imperatore, quasi a patre in cunabulis, ad optimam formam vereque laudabilem compositus, utpote illi germano sanguine iunctus, et summa generis nobilitate cluens, moribusque et institutionibus ab illo optime instructus, spongiae instar fluenta attraxit, nempe illius praeclarum quodlibet opus atque consilium; fitque expressa imago et perlucida virtutum eius, etsi et illum postea superavit suarum incomparabilium dotium cumulo. Ab eodem hausit pariter, quae ille colloquendo tractare ac peragere nisus erat, nempe de instauranda ecclesiarum unitate, iuxta haerentem eius animo rei huius cupiditatem: qua medullitus inflammatus, vestigabat sedulo et scrutabatur omnimodis quomodo rei finem consequeretur, cum episcopis colloquens; negotium quam utile, quam necessarium Deoque gratum foret ab episcopis discens, quos litteratura pepererat, sapientia nutrierat, et ecclesiasticae disciplinae educatio quasi lacte potaverat; quos a pueris assidua legum lectio, canonum studium, et sacrorum officiorum ac graduum cursus, et universa ecclesiastica constitutio, ac reliqua omnis experientia et ordo educaverant, atque in viros, ut ait Paulus, produxerant ad omne opus bonum plenitudinis Christi: non quales praesens tempus repente peperit, vel potius tyrannidis genitura creavit, dum ecclesiastica iam scapha submergitur: qui

ὅτί εἰσι ταῦτα εἰδότας, ὅτι μὴ μέχρι ψιλοῦ μόνου ὀνόματος, τὸ στασιάζειν δὲ ὡς ἐξαίρετον ἰδιωσαμένους παρὰ τὸ τυχεῖν ὧν ἔτυχον, καὶ μεθαρμοσαμένους εἰς τὸ ζηλοῦν.

κβʹ. Ἐκεῖθεν οὖν ὅπερ ἔλεγον, καὶ παρὰ τοιοῦτον ὁ ἐν βασιλεῦσιν ἀοίδιμος οὗτος τὰ τῆς ἐκκλησιαστικῆς ὑποθέσεως ὑποδεχόμενος σπέρματα ἐνεθησαύριζε τῇ ψυχῇ, καὶ τῷ ταύτης ταμείῳ εἶχεν ἐναποκείμενα· ἐπεὶ δὲ καὶ εἰς τὸν βασίλειον θῶκον ἱδρύνθη, καὶ βασιλικῇ ταινίᾳ κατεστέφθη τὴν κεφαλὴν, τὴν τὸ στέφος ἐκ πρώτης ἀφετηρίας ὡραΐσασαν μᾶλλον, ἢ παρ᾽ αὐτοῦ καθωραϊσθεῖσαν, ἀγχινοιῶν ἐργασίαις, καὶ τροπαίων ἀνυπερβλήτοις ἀκρότησι, καὶ τῆς πολυμερίμνου γέγονεν ὅλος φροντίδος τῶν ῥωμαϊκῶν ἐργοδοτημάτων καὶ ἐγχειρήσεων, οὐδὲ τὸ τῶν ἐκκλησιῶν εἰς ἐλάχιστον μέρος συννοίας ἐτίθετο· ἀλλ᾽ ἔχων ἐναποτεθειμένα, καθά μοι καὶ λέλεκται τὰ τούτου σπέρματα, τοῖς ἐντὸς καρποδοτῆσαι ταῦτα τὴν εἰς τέλος εἰρήνην ἐφίεται, ἅτε τοῦτον καρπὸν προηγούμενον τοῦ πνεύματος ἐπιστάμενος· καὶ πρῶτα μὲν συχναῖς πρεσβείαις πειρᾶται τὸ ταύτης κατορθῶσαι χρηστὸν, καθυπισχνούμενος καὶ παντοῖον εἶδος εὐάγωγον μετερχόμενος ἑλκύσαι ῥωμαίους πρὸς ἑαυτὸν, καὶ συνδεσμῆσαι σχέσεως συνδέσμῳ ἀπλοϊκῷ· εἶθ᾽ οὕτω καὶ πρὸς αὐτὸν χωρῆσαι τὸν καθολικὸν δεσμὸν τῆς ἑνώσεως· καὶ ἦν τοῦτο ποιῶν τὴν τοῦ cod. f. 13. a. πλήθους πρόληψιν οἷα εἰδὼς, καὶ παρὰ τοῦτο θέλων οἰκονομῆσαι τὰ τοῦ ἔργου κατὰ μικρόν· προκατειλημμένον γὰρ ἐγεγόνει τοῦτο τῇ χρονίῳ τοῦ σχίσματος παρατάσει, τῇ ἐς ὅλας ἑκατοντάδας ἐφαπλωθείσῃ ἐνιαυτῶν· μὴ ἔχον ἀναδραμεῖν εἰς τὰς ῥίζας τούτου, καὶ ἀρχὰς, καὶ αἰτίας, ἃς φθάσαντες ἡμεῖς ἐξεθέμεθα, καὶ μαθεῖν ὅθεν καὶ πῶς· ἔτι καὶ τῶν ὑπὲρ τὰ πλήθη πρὸς αὐτὸ

non solum quae diximus non habent; sed quae sint haec, ne nomine quidem tenus sciunt: tumultuandi tantummodo gnari, ut consequantur quod reapse tenent, et aemulationi toto homine dediti.

22. Inde igitur, prout aiebam, celeber hic imperatore susceptis ecclesiasticae rei seminibus, thesaurum ex his in animo fecit, et quasi in arca reposita habuit. Cum autem caesareo in throno consedit, et regia vitta caput redimivit, quod coronam magis iam inde ab initio ornavit, quam ipsum a corona ornatum fuit, prudentissimis factis, et trophaeorum summis apicibus, romano imperio administrando rerumque gerendarum sollicitudini totum se tradidit. Neque vero rem ecclesiarum in postrema curarum parte habuit; sed reposita tenens semina, ut a me dictum est, ut ea in fructum perduceret, pacis conclusionem optavit; quippe qui sciebat hunc esse Spiritus primarium fructum. Et primo quidem frequentibus legationibus bonum hoc constituere molitus est, promissionibus et omni benivoli officii genere conciliare sibi Romanos curans, et genuino sibi affectu devincire: deinde ad universale unionis vinculum devenit. Sicque agebat gnarus populi praeiudiciorum, ideoque volens pedetemptim negotium conficere. Erat enim res diuturno schismate praeiudicata ad integra saecula extenso; ne iam ad eius radicem atque initia et causas recurramus, quas pridem nos exposuimus, nec unde et quomodo ortum sit denuo scrutemur: populo item erga id proclivi propter varios propriae opinionis motus: po-

τοῦτο διατεθέντων ἐπιῤῥεπῶς διαφόροις γνώμης ὁρμαῖς, καὶ τὸ πᾶν εἰπεῖν ἐξ ἐπηρείας σατανικῆς· ὡς οὖν ὁ κρατῶν οὕτω θέσθαι ταῦτα διανοούμενος τοὺς τῆς ῥωμαϊκῆς ἐκκλησίας ἑώρα μηδέν τι τούτων προσιεμένους, ἀλλ᾽ αὐτὸ τὸ πνευματικὸν ἔργον αἰτοῦντας, αὐτὴν τὴν τούτου ἀπάρτισιν, συνορᾷ τὸ δέον τῆς ἐκείνων προθέσεως καὶ λογισάμενος ὡς οἱ πρὸ αὐτοῦ, καθὰ καὶ προδεδειχότες ἐσμὲν 1), ὅσον μὲν κατὰ τὰ ἐκκλησιαστικὰ ἐκβεβηκότα τὰ τῆς ὑποθέσεως εἶχον, ἄλλως δὲ τὰ ταύτης ἀνήρτων ἐπὶ λήψει τινῶν σωματικωτέρων εἰς ἀμοιβὴν, οὐκ ἀπὸ λόγου καὶ τοῦτο, οἷά τινα περιποιούμενοι τῶν ὧν ἀπώλεσαν ἐντεῦθεν ἀνακαλέσασθαι, συνδιαγινώσκει ὡς ἐπεὶ τὰ κατ᾽ αὐτὴν τοῖς πνευματικοῖς τὸ ἀσφαλές εἰσιν ἐπιφερόμενα καὶ συνοῖσον, οὐχ ὅσιον οὐδὲ δίκαιον ἀναβάλλεσθαι πρὸς αὐτὰ, σωματικῶν αἰτήσεων ἕνεκεν· πάντως γὰρ ἡ ἐκείνων γαληναία κατάστασις, καὶ τὸ τούτων κέρδος ἕξει προσεφεπόμενον· cod. f. 13. b. ἐνθέν τοι καὶ διανίσταται τέλος ψυχῆς ὁλοσχερεῖ διαθέσει τὴν ἐκ μακροῦ γλιχομένην ἐκτερματῶσαι τῶν ἐκκλησιῶν ἑνοποίησιν.

κγ΄. Καὶ ἦσαν οἱ συνδιατιθέμενοι τούτῳ πρὸς ἐντελεστάτην αὐτῆς ἀποπλήρωσιν οἱ τὰ πρῶτα τῶν τότε βουληφόρων ἀνδρῶν κατὰ πᾶσαν αὐχοῦντες ὑπεροχήν· ὧν θάτερος μὲν ὁ πολὺς τὴν σύνεσιν καὶ τὸ γέρας ἐτύγχανε Γερμανὸς, ἀνὴρ εὐγενὴς, τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν ἐκ παίδων τὸν μονήρη βίον ὑπεισελθὼν, κἀν τοῖς ἐν Ἱεροσολύμοις εὐαγέσι σεμνείοις, καὶ ἱεροῖς φροντιστηρίοις ἐνδιατρίψας, καὶ πνευματικοῖς ἀνδράσι, καὶ τὴν πολιτείαν οὐρανοβάμοσιν ἐφ᾽ ἱκανὸν συνεξετασθεὶς, καὶ συναεθλεύσας πόνοις καὶ ἱδρῶσιν ἀσκητικοῖς, καὶ πολὺν τὸν ἐντεῦθεν πλοῦτον τοῦ πνεύματος συλλεξάμενος,

stremo, ut cuncta simul dicamus, satanicae fraudis operante vi. Dum haec consilia imperator revolvit, romanam ecclesiam nihil huiusmodi cernebat admittere, sed rei tantummodo spiritalis sollicitam, atque huius perficiendae cupidam: quamobrem rectum illius sensit consilium; consideransque, superiores principes, ut iam demonstravimus, ita ecclesiasticum negotium prae oculis habuisse, ut tamen eidem adnecterent reciprocam conditionem corporalium aliquot bonorum; quamquam ne id quidem absurdum erat, quia nimirum Graeci quae amiserant recuperare studebant; probe intellexit imperator, spiritalia uno eodemque itinere ad securitatem utilitatemque solere perducere; neque pium esse aut aequum spiritalia differre propter corporalium rerum petitiones: prorsus pacifico spiritalium statui, lucrum pariter corporale subsecuturum. Quamobrem toto plane animi affectu ad diu exoptatam ecclesiarum unionem conficiendam incubuit.

23. Erantque ei consentientes ad plenissimam rei confectionem primarii tunc senatores summis dignitatibus praediti, quorum unus sapientissimus et honoratissimus Germanus erat, vir nobili loco natus, in oriente a pueris monasticam vitam professus, et in Hierosolymorum sanctuariis sacrisque coenobiis versatus, et cum spiritalibus viris caelestem conversationem agentibus diu exercitatus: simulque labores sudoresque asceticos passus, multum inde spiritus thesaurum adeptus fuerat: qui de

1) Nempe Manuhel concordiae conditionem seu praemium volebat occidentale imperium, Iohannes autem Vatatzes Constantinopoleos restitutionem.

ὃς καὶ ἀπὸ δόξης εἰς δόξαν προβιβασθεὶς, κατὰ βαθμοὺς καὶ κανόνας ἐκκλησιαστικοὺς, καὶ τὴν τῆς Ἀδριανοῦ πολυθρέμμονα ποίμνην ἐπὶ μακροῖς χρόνοις ποιμάνας θεοφιλῶς, ἆθλον ἀρετῆς ἐν ὑστέροις καὶ τὸν πατριαρχικὸν θρόνον τῆς βασιλευούσης τῶν πόλεων ἀπηνέγκατο· καὶ τοῦτον θᾶττον ἐάσας τρόπῳ γνώμης ἀξιαγάστῳ 1), τὸ σύμπαν οἷα εἰρηνικῷ συνῆν τῷ κυριαρχοῦντι παρακεκλημένος εἰς τοῦτο, διά τε τὸ περιὸν τῆς μεγαλονοίας αὐτοῦ, καὶ τὸ πρὸς εἰδημοσύνην θείων τε καὶ ἀνθρωπίνων ἔργων πολύπειρον· ἐξ ὧν ἄρα καὶ τὴν τότε κινουμένην σύμβασιν τῶν ἐκκλησιῶν συγκροτῶν ἦν καὶ ἀποδεχόμενος· οὐχὶ τηνικαῦτα τὸ πρὸς ταύτην ἔνθερμον εἰληχὼς, ἀλλ' ὡς ἴσασι πλεῖστοι τῶν ἐκεῖνον εἰδότων, καὶ μάλιστα τῶν τῆς ἐκκλησίας λογάδων, κἂν τῇ ὑφεδρίᾳ ὢν ἔτι, κἂν τῇ πατριαρχικῇ προεδρίᾳ τὸν εἰς τοῦτο ζῆλον καὶ τὸ τῆς ψυχῆς ἐδείκνυεν ἐνδιάθετον, μαχόμενος ὑπὲρ τούτου καὶ παθαινόμενος, ἅτε πρὸς τῶν, οἷς ἦν ἐντετυχηκὼς καὶ μαθητεύσας, παλαιῶν καὶ θεσπεσίων ἀνδρῶν διεγηγερμένος, σφίσι τε τὴν εἰς τοῦτο γνῶσιν ἀκριβεστάτην λαβὼν, καὶ πληροφορίαν ἐναργεστάτην κτησάμενος· ὁποῖος ἐξ ἐκείνων ὁ Ἱεροσολύμων Ἀθανάσιος ἐγνωρίζετο σοφίας καὶ ἁγιωσύνης ἐληλακὼς εἰς ἀκρώρειαν· ὃς καὶ πᾶν εἶδος ἑνωτικῆς συμφωνίας εἰργάσατο, τῷ τοῖς χρόνοις αὐτοῦ τῶν Ἀγαρηνῶν παρὰ τῆς λατινικῆς χειρὸς θείᾳ συμμαχίᾳ καταστραφέντων τὴν Ἱερουσαλὴμ εἰσελθόντι δικαίῳ τοῦ Πάπα, λεγάτον σύνηθες τοῦτον ῥωμαίων διαλέκτῳ καλεῖν· κἂν τοῖς ὕστερον αἵματι μαρτυρίου τὸν βίον διήνυσεν, ἐν αὐτῷ τῷ κυριακῷ τάφῳ καὶ ζωηφόρῳ κατὰ τὸν ἱεροκήρυκα Ζαχαρίαν σφαγιασθεὶς, καὶ αὐτὰ θείαις ἄρα προνοίαις ἐνδεδυμένος τὰ τῆς ἱερατικῆς στολῆς ἄμφια· ὁποῖοι δὲ αὖθις καὶ ἕτεροι σὺν αὐτῷ οὐκ ὀλίγοι τὸν βίον

cod. f. 14. a.

honore in honorem provectus, secundum gradus canonesque ecclesiasticos, postquam Hadrianopoleos copiosum gregem diu religioseque paverat, virtutis postremo praemium tulit patriarchalem reginae urbium sedem: quam tamen statim dimittens miro mentis consilio, totus erat cum pacis studioso principe, ad hoc vocatus propter amplificae mentis copiam, et divinarum humanarumque rerum scientiam exercitatissimam: unde tunc suscepto concordiae ecclesiarum proposito, suffragio suo favebat. Neque tunc primum hac in re fervebat, sed ut plurimi noti eius sciunt, et praesertim in ecclesiae dignitatibus constituti, et dum adhuc in minore sede esset, et cum in fastigio patriarchali, rei huius zelum intimamque animi propensionem ostenderat, pro ea decertans ac patiens. Quippe antiquorum sanctorumque virorum, quibus familiaris discipulusve fuerat, auctoritate commotus, ab iisque plenissimam negotii notitiam adeptus, et cum summa persuasione edoctus. Hos inter Hierosolymorum patriarcha Athanasius agnoscebatur, in summo sapientiae sanctitatisque vertice constitutus; qui et omnem operam conciliandae concordiae dabat: namque aetate eius Agarenis latina manu Deo auxiliante devictis, Papae vicarius Hierosolyma ingressus dicere hunc solebat romana lingua legatum: et denique martyrico sanguine vitam finivit in ipso Domini sepulcro vivifico, haud secus quam sacer praeco

1) Quas ob causas Germanus hic patriarchatum deseruerit, disserit non indiligenter Cuperus tract. de patriarchis constantinopolitanis. Eius autem erga Latinos concordiamque studium nunc maxime elucet.

ἀγγελοπρεπεῖς καὶ τὸν λόγον, οὓς καὶ κατονομάσαι διὰ τὸ τῶν λεγομένων μῆκος παρίημι.

κδ'. Τούτοις ἀληθῶς κατ' ἴχνια βαίνων ὁ τῶν θειοτέρων καὶ καθ' ἡμᾶς πρὸς ἅπαν ἄριστος Γερμανὸς, ἄλλως τε καὶ οἴκοθεν συνιέναι τὸ δέον τὰς φρένας ὢν στιβαρὸς, θάτερος ἦν καὶ πρῶτος τῶν τὰ μεγάλα τότε συντρεχόντων τῷ βασιλεῖ ἐφ' ἧπερ ἔσπευδεν ἀπωθήσει τῆς τῶν ἐκκλησιῶν διαιρέσεως. Ὁ δὲ ἕτερος ὁ ἀκροπολίτης Γεώργιος ἦν, μέγας λογοθέτης τὴν ἀξίαν τελῶν, ἀνὴρ τὸν τρόπον εὐθὴς, τὴν γνώμην ἐπιεικής τε καὶ μέτριος, τῇ δὲ καθ' ἕξιν ἐπιστήμῃ τῶν μαθημάτων, καὶ τῇ ἐς ἄκρον τῆς σοφίας ἀφίξει, οὔτινι τῶν ἁπάντων καιροῖς ἐν τοῖς καθ' ἡμᾶς παραχωρήσας τῶν ἴσων βραβείων αὐτῷ, ἀλλὰ πάντας ὑπεραναβηκὼς κράτει φύσεως καὶ παιδεύσεως, ὃς ἔκ τε τῆς ἐπὶ τῇ ὑποθέσει πείρας καὶ δοκιμῆς, καὶ τῆς καθυπερτερούσης τῶν λόγων ὑπεροχῆς πολλὴν αὐτῇ παρεῖχε τὴν ἀρωγήν 1). Προσθήκη γίνεται τούτοις καὶ ὁ θεοκόσμητος Θεοφάνης 2) τῆς Νικαέων ἐκκλησίας ἀληθὴς ἀρχιερεὺς καὶ διδάσκαλος, καὶ πλείστην ὅσην ἐμπειρίαν συνηθροικὼς θείων λόγων καὶ ἱερῶν ἱστοριῶν τε καὶ πράξεων, ὅσα καὶ τῆς θύραθεν παιδείας μὴ ἀμοιρῶν. Οὗτοι συλλήπτορες ὑπῆρχον τῷ κρατοῦντι πρὸς τὸ ζητούμενον· οὗ δὴ λογοπραγουμένου πάν-
cod. f. 14. b. των ἁπλῶς εἰς ἐπήκοον, καὶ τοῦ κατὰ τὴν ἐκκοπὴν τῆς τοῦ Πάπα τῶν ἱερῶν διπτύχων ἀναφορᾶς, τὴν ἀρχὴν ὅπως ἔσχε παρεισφθαρεῖσα κανονικῆς ἀκριβείας ἐκτὸς, καὶ συνοδικῆς διαγνώσεως κατεξεταζομένου προβλήματος, καὶ

Zacharias, sacerdotalibus Deo sic providente vestimentis indutus; una cum aliis haud paucis, vita et sermone angelicis hominibus, quos narrationis prolixitatem vitans, nominare omitto.

24. Horum vestigiis vere insistens optimus undequaque inter egregios Germanus noster, aliunde etiam ad cognoscendam aequitatem mente sua praevalidus, primus in eorum numero erat qui imperatori magnis in rebus subserviebant, postquam hic de auferenda ecclesiarum divisione cogitare coepit. Alter erat Acropolita Georgius, magni logothetae dignitate praeditus, vir recti moris, piae modestaeque sententiae, solidarum autem disciplinarum notitia exquisitaque sapientia nemini temporum nostrorum palmam cedens, immo omnes ingenii et doctrinae facultate superans: qui tum argumenti huius peritia et experientia, tum summa litteraturae praestantia, multum scopo huic momentum attulit. His accedebat divinis donis ornatus Theophanes, nicaenae ecclesiae verus praesul atque magister, plurima cumulatus divinarum litterarum sacrarumque historiarum et actuum scientia, et ne profana quidem eruditione carens. Hi fuerunt imperatori in agitanda quaestione adiutores: de qua illo in publico auditorio rationem simpliciter exigente, et de Papae ex sacris missae diptychis deletione, quando et quomodo praeter canonicum ius facta fuisset; synodice demum cognitionis ventilato problemate; id firmiter princeps amplexus est, ideoque ad unionem

1) Hic est Georgius Acropolita, cuius extat historia a capta per Latinos Constantinopoli usque ad Michahelem Palaeologum: quae quidem historia nondum tum composita fuisse videtur, quandoquidem eius non meminit Metochita. Eiusdem extat in actis concilii lugdunensis II. iusiurandum, nomine imperatoris in ipso concilio prolatum, de Michahelis consensione in omnibus fidei romanae.

2) De hoc legatur Allatius contra Hottingerum p. 475.

τούτου στερρῶς τοῦ κράτορος δραττομένου, καὶ παρὰ τοῦτο πρὸς ἑνότητα συνελθεῖν τῇ ῥωμαίων ἐκκλησίᾳ πάντας ἐκκαλουμένου κατὰ λόγον οἰκονομίας τρισὶν ἐπὶ κεφαλαίοις, ΠΡΩΤΕΙΩ, ΚΑΙ ΤΗΙ ΕΚΚΛΗΤΩΙ, ΚΑΙ ΤΗΙ ΕΝ ΤΑΙΣ ΙΕΡΑΙΣ ΑΓΙΣΤΕΙΑΙΣ ΑΝΑΜΝΗΣΕΙ ΤΟΥ ΑΥΤΗΣ ΠΡΟΕΔΡΕΥΟΝΤΟΣ 1)· ἔτι καὶ τὸ ἐντεῦθεν συμβάλλον τῇ κοσμικῇ νηνεμίᾳ ποιουμένου περὶ πολλοῦ.

κε΄. Ἦσαν μὲν οὐκ ὀλίγοι καὶ ἄλλοι τὸ δέον συνορῶντες τῆς πραγματείας, καὶ καλῶς τὰ περὶ τούτου συνδιασκεπτόμενοι τῷ νοΐ· οἱ δέ γε κατ' ἐξαίρετον ἐξαυτῆς καὶ διαγνόντες, καὶ τοῦ ἔργου γεγονότες ὁλοσχερῶς, δύο τῶν τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου τὰ πρῶτα φερόντων ἐφάνησαν, ὧν ὁ μὲν εἷς ἀρχιδιάκονος 2) ὢν τὸ πρωτεῖον εἶχεν ὡς ἐπίπαν ὁλόκληρον· θάτερος δὲ τὸν τοῦ ἀναγνώστου διέπων βαθμὸν, ἦν ἄλλως συγκαταλεγόμενος τούτῳ καὶ συντιμώμενος, ἄμφω τὴν σοφίαν οὐκ ἀγεννεῖς, παιδεύσεως ὅσα τῆς ἐν διαφόροις μαθημάτων ἰδέαις θεωρουμένης ἱκανῶς μετασχόντες, καὶ γνώσεως πλοῦτον κτησάμενοι, τὴν ἐκ τῆς φύσεως ἐπιτηδειότητα δεξιοὶ, τὴν ἐκ τῶν ἐπιστημῶν ἀσφαλεῖς, τὴν ἐξ ἀμφοτέρων σθεναροὶ καὶ ἀπροσδεεῖς· πλὴν τούτῳ τῷ μέρει συμβαίνοντες τὰ πολλὰ, τό γε κατὰ γνώμην καὶ τὴν προαίρεσιν ἀσύμβατοι μάλα πεφύκασι καὶ ἀσύμφωνοι· ὁ μὲν γὰρ ὁ πρωτοδιάκονος τὸν εὐθῆ τρόπον φιλήσας βρεφόθεν, καὶ τούτω συναυξηθεὶς, τοῦτον ἔστερξε καὶ στέργει δι'

cum ecclesia romana redintegrandam cunctos vocavit, iuxta regulam tribus comprehensam capitibus, quae sunt PRIMATUS, APPELLATIONES, ET COMMEMORATIO ROMANI PONTIFICIS IN SACRIS MYSTERIIS; cum insuper plurimi faceret proventuram hinc mundanae quieti utilitatem.

25. Erant sane non pauci alii, qui actûs aequitatem agnoscebant, eamque egregie mentis suae acumine pervidebant. Qui tamen ilico et sic iudicarunt et operam omnimodam contulerunt, duo fuerunt ex sacro regio clero praecipui, quorum unus archidiaconus inter ceteros erat facile princeps: alter lectoris gradum tenens, priori iam aliunde devinctus et honoris socius; ambo doctrina satis instructi, quia variis disciplinis bene imbuti, scientiaeque copia abundantes, ingenii denique dexteritate pollentes, bonis artibus suffulti, utrimque validi, et nullius indigentes. Quamquam vero hac in parte plerumque consoni, mentis tamen sententia et proposito magnopere dissidebant. Namque archidiaconus recti moris a puero amans, et in eo adultus, eundem hunc omni in re firmiter retinebat, et adhuc retinet, eoque constan-

1) Haec tria diserte capita proponit Michahel imp. apud Pachymerem lib. V. 20. Sed et plura alia leguntur in authenticis actis concilii lugdunensis II, et quidem in ipsa imperatoris ad Gregorium ·X· epistola. Iam vero de rom. Pontificis in canone commemoratione iuvat heic non aeque omnibus cognita Flori lugdunensis recitare verba ex eius missae expositione; quod egregium opusculum integritati redditum fuit ope regii codicis vaticani perveteris a Martenio vet. monum. T. IX. Ibi ergo col. 612. post alia circa eandem sententiam dicta, sic Florus. *Constat, sicut beatus papa Pelagius docet, ab universi orbis communione separatos esse, qui qualibet dissensione inter sacra mysteria apostolici Pontificis memoriam secundum consuetudinem non frequentant.* Saeculi photiani homo Florus fuit; unde apparet, contra Graecos eum praecipue loqui, qui Papam e suis diptychis non semel irati expulerunt. Quamobrem, ut de re non levi, haud absque hoc articulo, pax et communio duarum ecclesiarum sub Michaële Palaeologo coaluit.

2) De hoc archidiacono, et de subsequente Cyprio, Pachymeres lib. V. 12.

ὅλου· Τούτῳ χαίρει καὶ σύνεστι, πνεῦμα εὐθὲς τοῖς ἐγκάτοις ἔχων ἐγκαινιζόμενον, καὶ πνεύματι ἀληθείας γλῶσσαν καὶ διάνοιαν στηριζόμενος· οὗ καὶ τὴν ἐφεξῆς ἀρετὴν παραστῆσαι, τὸν ἄζυγα βίον ὅπως αἱρετισάμενος ἀρχῆ-
cod. f. 15. a. θεν, ῥυθμίσας ἔχει τὰ κατ' αὐτὸν ἐς ἀρίστην διαγωγὴν αἰδέσιμον καὶ αὐτοῖς τοῖς τοῦ κόσμου ῥαγεῖσιν ἁπαξαπλῶς, ἄλλης ἂν εἴη λογικῆς ἐργασίας ὑπόθεσις.

κς΄. Ὁ δὲ καὶ ἔστιν οὗτος ὁ Κύπριος, ὁ νῦν τὸ πατριαρχικὸν ἀξίωμα τυραννῶν, περὶ οὗ προϋποκρουσάμενος ἀνωτέρω, καὶ ἔτι πολλαχοῦ τῆς ἡμεδαπῆς ἐπιμνησθείην γραφῆς, καθόσον ἐστὶν ἧκον τῇ ταύτης μεταχειρίσει· οὐ τὰ τῆς αὐτοῦ κακίας ἐξακριβούμενος, τοῦτο γὰρ μείζονος ἢ τὸ παρὸν ἐγχειρήματος, δυστροπίαις ἦν κεχρημένος καὶ ὑπουλότησιν, ἀφ' οὗ τὰ ἐνταυθοῖ κατειλήφει τὴν ἀλωπεκὴν περιβεβλημένος, καὶ τὸν λύκον ἔσωθεν ὑποκρύπτων· ἔχων τὸ λανθάνειν καὶ ἄλλως, τῶν ἡμετέρων ὁρίων οἷα νόθον κυοφόρημα καὶ οὐ γνήσιον· ἑκατέρω δ' ὅμως, ἵνα καὶ αὖθις τὸν λόγον ἐπαναλήψωμαι, ἐπὶ τῇ ἐκκλησιαστικῇ συζητήσει συνδεδραμήκατον ἐς ταυτὸν, καὶ τὴν οἰκονομίαν ἤστην, ὑπὲρ ἅπαντας συνιστῶντες διαλεκτικαῖς ὁμιλίαις, καὶ λογογραφικῶν ἐπιχειρημάτων ἐκθέσεσιν· ὁ μὲν διανοησάμενος τὸ ἔργον ὡς ἀγαθὸν εὐθύτητι συνειδήσεως, καὶ ταύτῃ τὸ παράπαν ἐξηκολουθηκώς, καὶ παρὰ ταύτην τούτου ὑπερμαχῶν, καὶ οὐ διά τι τὸ σύνολον ἕτερον· ὅπου γε καὶ μετά τι διάστημα καιρικὸν ἀναγκασθεὶς οὐμενοὖν κατὰ γνώμην οἰκείαν τὸ τοῦ χαρτοφύλακος πρεσβεῖον ἐδέξατο, καὶ ἀκούσιον εἰσέδυ τοῦτο λειτούργημα, μόνην ὑπακοὴν καὶ βασιλικὸν ἀνύων ἐπίταγμα. Ὁ δὲ καὶ αὐτὸς οὕτω τὰ περὶ αὐτοῦ διαγνοὺς, οὐ μὴν παρὰ τὴν διάγνωσιν ταύτην ὡς ἐκεῖνος ἀντεχόμενος

ter delectatur, rectum habens in visceribus spiritum, et spiritu veritatis linguam mentemque confirmatam gerens: cuius et reliquam virtutem exponere (nam et caelibatum a primordiis adoptavit, et vitam suam venerandam etiam inter saecularia dissidia servat) alterius elaboratae orationis argumentum erit.

26. Alter vero hic est Cyprius, qui nunc patriarchalem dignitatem tyrannice tenet: de quo pauca in antecessum loquar, multo deinde plura in scripto meo memoraturus, quatenus huic suscepto argumento congruet. Nec vero nequitiam eius accurate narrabo; id enim praesente proposito maius est; sed quomodo versutiis usus sit et simulationibus, ex quo vulpina apud nos pelle sibi circumposita, lupum interius celat: tenebricosus et alioquin homo, quia regionis nostrae nothus partus non genuinus. Ambo hi videlicet, ut iam sermonem resumam, circa ecclesiasticam controversiam conspirabant, prudentemque compositionem urgebant, hanc apprime suadentes dialecticis sermonibus et scriptarum disputationum editionibus. Et prior quidem, negotium id pro suae conscientiae rectitudine bonum iudicans, et huic conscientiae prorsus adhaerens, ac idcirco rem propugnans, nullo sane alio sibi scopo proposito: etenim brevi posthinc transacto intervallo coactus, contra propriam sententiam chartophylacis munus admisit, et invitus hoc officium adiit, soli obedientiae regioque praecepto obsequens. At ille alter, etsi in eadem deliberatione socius, non tamen sub eadem ac ille consideratione his partibus adhaerebat. Quid enim habet hic commune cum con-

ὑπὲρ τούτου· τί γὰρ αὐτῷ καὶ τῇ ἐκ τοῦ συνειδότος ἀληθείᾳ κοινὸν εἰς ἐνέργειαν; ἤ τι κοινὸν αὐτῷ καὶ τῷ ὅλως ἀντέχεσθαι ὑπὲρ ἀγαθοῦ; ἀλλ' ὡς δή τινος πραγματείας ἐπὶ περιποιήσει δόξης οἰκείας, τῆς ἐκκλησιαστικῆς ταύτης δεδραγμένος ἐστὶν ὑποθέσεως, ὡς ὁ χρόνος ἀπήλεγξε τοῦτον, καὶ τὰ σκαιῶς αὐτῷ τολμηθέντα, φεῦ, ἀνοσιουργήματα· τότε μὲν ἄλλως μεταχειρισαμένῳ τὰ κατ' αὐτὴν, ἡνίκα πρώτως κεκίνητο, καθὼς ἦν ὁ καιρὸς συνεργῶν εἰς τὸ σπουδαζόμενον, νῦν δ' αὖθις ἀπεναντίας ἐκείνοις, ὡς ὁ καιρός ἐστιν ἀπαιτῶν, ἵνα τὴν ἣν ἐκ τῆς πολυμόρφου καὶ ποικίλης ταύτης μεταχειρίσεως, ἐφ' ἑνὶ τῷ cod. f. 15. b. ὑποκειμένῳ τυραννήσας ἔχει τιμὴν, ἐπισυστήσειεν ἑαυτῷ· ὁ διὰ ταύτην θείους νόμους τε καὶ κανόνας, καὶ μυστηρίων ἱερῶν παραδόσεις, καὶ πατρικὰ διδάγματα καὶ θεσπίσματα τῆς οἰκείας ὀπίσω θέμενος συνειδήσεως, καὶ τοῦ καταφρυάττεσθαι τούτων μηδαμῶς ὁ πάντολμος ἀφιστάμενος· τέως δ' οὖν ἀμφότεροι τηνικαῦτα κοινωνοῦντες ἐδείκνυντο πρὸς ἀλλήλους, καὶ ἀλληλενδέτῳ καθωρῶντο συνδούμενοι σχέσει, καὶ τοῦ σκοποῦ τῷ αὐσονάρχῃ συνεφαπτόμενοι, καὶ τὴν εἰς τοῦτο σπουδὴν γενναίαν εἰσφρέροντες.

κζ'. Ὁ δὲ τῆς Κωνσταντίνου τότε πατριαρχικῶς προστατεύων, Ἰωσὴφ οὗτος ἦν, ἀνὴρ μοναδικὴν πολιτείαν ἐπὶ πλείστοις ἔτεσιν ἐξασκήσας, καὶ τὸ πρᾷον πλουτήσας καὶ προσηνὲς, ἀντιφωνῶν πρὸς ταῦτα καὶ ἀντιφθεγγόμενος κατεφαίνετο· ὃν καὶ ἄλλα προσηκόντως ἐπαινῶν καὶ ἀποδεχόμενος, ἓν τοῦτο μόνον οὐκ ἐπαινῶ, ὅτι τὸ ἄγειν λαχὼν, ἄγεσθαι μᾶλλον ᾑρεῖτο, καὶ ταῦθ' ὑπὸ γυναικὸς, τὸ κατορθοῦν τοιαῦτα διὰ βίου παντὸς τιθεμένης μελέτημα· ἥ τις αὐθομαίμων τοῦ τὴν ἁλουργίδα τότε περικειμένου τυγχάνουσα, Εὐλογία 1) ταύτῃ τὸ ἐκ τοῦ ἐπαγγέλματος ὄνομα, καὶ τὸ δραστήριον κεκτημένη καὶ

scientiae veritate in suis actibus? Aut quid est eidem commune cum rei bonae prosecutione? Etenim ceu instrumentum quoddam ad gloriam sibi comparandam ecclesiasticum hoc negotium suscepit, ut tempus postea coarguit, et heu patrata ab ipso perversa opera: quippe tunc aliter rem tractavit, cum primum commota fuit, nempe prout tempus ei procurationi favebat: nunc vero contra, quia tempus postulat ut multiforme variumque suum expromat ingenium, ad hoc tantummodo incumbit ut tyrannicam sibi dignitatem adipiscatur; cuius gratia divinas leges et canones, sacrorum mysteriorum traditiones, patrum doctrinas atque statuta, infra suam recti conscientiam habet, et ea re gloriari audacissimus iste non desinit. Ergo hi duo interim videbantur inter se consentire, mutuoque affectus vinculo adstricti, et imperatoris scopo favere, et huic negotio strenuum studium impendere.

27. At vero qui tunc Constantinopoleos patriarcha erat Iosephus, vir in monastica vita plurimis annis versatus, mansuetus atque affabilis, huic tractatui contrarius repugnansque apparebat: quem ego hominem etsi merito in ceteris laudo et commendo, in hoc tamen uno non laudo, quod cum agere ex proprio officio deberet, agi potius volebat, et quidem a femina, quae rebus huiusmodi se implicare per omnem vitam studuerat: quae cum esset purpurati principis soror (Eulogiae huic nomen erat post monasticam professionem) actuosam constantemque vim tum natu-

1) Pachymeres lib. V. 14.

στάθηρὸν ἀπό τε διαθέσεως φυσικῆς, ἀπό τε τῆς εὐγενοῦς ἀναγωγῆς καὶ παιδεύσεως, δεινὰ ἐποιεῖτο, εἰ μὴ τὸ πᾶν αὐτῇ περιάγοιτο, ὡς μὲν τοῦ κυριεύοντος αὐταδέλφῃ πανθ' ὅσα κοσμικὰ καὶ τῆς βασιλείας, ὡς δὲ μοναχῇ τὰ τῆς ἐκκλησίας καὶ ὅσα πνευματικά· τῷ μέν τοι πρώτῳ τῶν ἑκατέρων συμφερομένη ἐπὶ πολὺ, καὶ τὰ κατ' αὐτὸ συνδιαιτῶσα καθόσον εἰκὸς, οἷα τῷ αὐτοκασιγνήτῳ συνοῦσα, καὶ τῶν φροντίδων συνεπιλαμβανομένη, συνέσεως ἀγχινοίᾳ, καὶ ἀνδρικῇ φρονήσεως δεξιότητι· ἐπείπερ εἰς τὸ καθόσον ἠβούλετο περιφέρειν προήχθη· καὶ μάλιστα τὰς ἐξ αὐτῆς ἐξότου βασιλείους ἀνεψιὰς ὁ κρατῶν cod. f. 16. a. μεγάλοις καὶ εἰς ἀρχὰς ἰδίας θεωρουμένοις συνήρμοσε, καὶ παρ' αὐτοῦ πᾶν τὸ εἰς μεγαλεῖον αὐτῶν ἧκον, καὶ διανοουμένη καὶ προθυμουμένη παντοίως ἀποπληροῦν, ὡς ἴσασιν οἱ εἰδότες, οὐ παρεχωρεῖτο πέρα τοῦ δέοντος, οὐ γὰρ ἦν τοῦτο τῆς ἐκείνου μεγαλονοίας καὶ γενναιότητος, ἀποδιΐσταται τοῦ τοιούτου παρὰ τὴν ἀποτυχίαν τῆς τοιαύτης ὁλικῆς προθέσεως ἑαυτῆς, καὶ μὴ ὅ τι καὶ δράσειεν ἕτερον ἔχουσα, τὴν οἰκονομουμένην τότε τῶν ἐκκλησιῶν ἑνοποιὸν συνδρομὴν λαμβάνει τοῦ αὐθομαίμου πρὸς ἐναντίωσιν, ἄλλως τε καὶ πρὸς οὐ μικρὰν ὑπόπτωσιν ἀφορῶσαν τῶν εἰρημένων παίδων αὐτῆς· ἔνθέν τοι καὶ τὰ πλήθη κατὰ τῶν Λατίνων ἐπιῤῥεπῶς ἔχειν εἰδυῖα διὰ τὴν πρόληψιν, πολλὴν ἐντεῦθεν συσκευάσαι σύγχυσιν συνορᾷ· καὶ τοῦ πρώτου δεόντως ἀπειπαμένη, διὰ τοῦ δευτέρου τῆς περιαγωγῆς φημὶ τῶν πνευματικῶν ἀνύσαι διαγινώσκει τὰ μεγάλα πρὸς τὸν σκοπόν· ἀμέλει καὶ τὸν ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου, ὃν ὁ λόγος ἀντικαταστῆναι πρὸς τὴν τελουμένην συνέλευσιν τῶν ἐκκλησιῶν προεσήμηνεν 1), αὐτὴ πρὸς τοῦτο στεῤῥῶς ἐνισχύσασα, πείθει τελευταῖον ἀραῖς ἐγγράφοις ἐμπεδῶσαι φρικώδεσι 2), μὴ τῆς τοιαύτης ἀποστῆναι

raliter sortita, tum etiam a nobili liberalique institutione; haec, inquam, mire excandescebat, nisi omnia ad placitum eius agerentur, ut germanae principis, mundana omnia in regno; ut monachae, res ecclesiae et spiritalia quaelibet. Et horum quidem priori (id est principi) diu fuit ut par erat concors et contubernalis, utpote fratri, et curas eius participavit, mentis acumine, et virilis ingenii dexteritate; ex quo fiebat, ut quo illa vellet, hic facile adduceretur; praesertim ex quo tempore illius regias consobrinas imperator magnis et in dignitate constitutis viris copulavit; et quidquid a principe ad illarum amplitudinem provenit, ab ipsa omnino excogitatum curatumque fuit, ut sciunt periti. Sed enim quia ipsa ab officii debito discedere non sinebatur (neque enim id principis magna ac praenobilis indoles tulisset) omisit hunc, quandoquidem se videbat universae rei obtinendae spe frustrari: nec quid praeterea ageret habens, eam quae tunc tractabatur ecclesiarum unionem, praesumit tamquam fratri adversam, nec modico fore detrimento iis qui filii eius dicebantur. Aliunde populi quoque in Latinos pronum odium sciens propter praeiudicia, magnam hinc confusionem invehere adgreditur. Et omisso ut oportuit primo, per secundum id est per spiritalium hominum seductionem, magna conficere scopi sui gratia deliberat. Scilicet patriarcham, quem fama erat coniunctioni ecclesiarum obstare, ipsa in hoc firme corroborat, postremoque ei persuadet, ut dato horrendo in scri-

1) Pachymeres lib. V. 12. — 2) Idem Pachymeres lib. V. 16.

γνώμης τὸ σύνολον, ἕως ἂν οὐδ᾽ ἀπὸ Χριστοῦ, ὡς ἂν καί τισιν αὐτοῦ λέξεσι χρήσωμαι· ϖαρὰ καὶ τῶν συνθηκῶν οὗτος τοὺς ὅρους τηρῶν διέμεινεν οὕτω τῆς ἐνστάσεως ἐξεχόμενος.

κη΄. Καὶ ἵνά τι τῶν πολλοῖς, ἀλλ᾽ οὐ πᾶσιν, ἀποκρύφων ἀποκαλύψω· εἴπερ ἡ πρὸς ἅπαν τὸ δοκοῦν ἑαυτῇ βαθυγνώμων αὕτη γυνὴ, μὴ προκατασχέσθαι τὸν τοιοῦτον τηλικαύταις ἐγγεγραμμέναις ἐξασφαλίσεσι διεμηχανήσατο, πρὸς τὸ εἰρηνικώτερον ἔνευσεν ἂν, καὶ τὴν δηλωθεῖσαν οἰκονομίαν προσήκατο, φύσει τὸ ϖρὸς τοῦτο συννεύειν φιλῶν, ἔτι τε οὐκ ὀλίγας ἔχων εἰς τόδε τὰς ἀφορμὰς, καθὼς αὐτὸς ἑτέροις ἐν ἑτέρῳ τόπῳ καὶ καιρῷ, ἐμοὶ δὲ τῷ ϖεριωνύμῳ τῆς Περιβλέπτου σεμνείῳ διατρίβων ἐξέφηνεν εἰωθότι· καὶ γὰρ ἐξ ἐπιλογῆς αὐτοῦ τε, καὶ τοῦ κραταρχοῦντος ἐκεῖσε σχολάζειν ϖρὸς ὑϖηρεσίαν cod. f. 16. b. τῶν ὧν ἔτι ϖατριαρχικῶς οὗτος ἐνήργει τὴν ἀϖόβασιν, ὅϖῃ λήξει τοῦ ἔργου καραδοκῶν, ἐν μιᾷ μόνος μόνῳ μοι ἐντυγχάνων ἔκ τινος τῶν λόγων παρεμπλοκῆς εἰρηκέναι προάγεται, ὡς εἴπερ τοῖς ζῶσιν τῶν τινες ὧν οἶδα γερόντων συγκατελέγοντο, ὑπερβαλλόντως ἂν πρὸς τὸ παρὸν συνεκρότουν τῆς ἐκκλησιαστικῆς ἑνώσεως σπούδασμα, τὸν Βλεμμίδην 1) ἐκ τούτων κατ᾽ ὄνομα ἐπειπὼν, τόν τε προστάντα τῆς Ἐφεσίων μητροπόλεως Νικηφόρον, καὶ τὸ πατριαρχικὸν εἰληφότα κλέος μετέπειτα 2), καὶ ἑτέρους αἰνιξάμενος ἀνωνύμως τῶν περιφανῶν, καὶ μεγάλων ἀρχιερέων, καὶ πλατὺν τούτοις ἔπαινον ἐπιμαρτυράμενος, τοῖς ἐξ ὀνόματος καὶ μᾶλλον διαγγελθεῖσι δυσὶν, ἐν αὐτοῖς τε πληροφορεῖσθαι βεβαιωσάμενος· κἀμοὶ μετὰ τῆς προσηκούσης πρὸς αὐτὸν αἰδοῦς

ptis iureiurando, numquam se a sententia sua promittat haud secus quam a Christo, ut aliqua etiam ipsius verba usurpem, recessurum. Hoc pacto inito, patriarcha intra illius fines se continens, tractatui apprime resistebat.

28. Atque ut nonnulla multis quidem sed non omnibus ignota revelem; nisi certe haec, inquam, opinioni suae tuendae non levis ingenii mulier patriarcham eiusmodi scriptis promissionibus irretivisset, is quidem ad pacifica consilia spectaturus erat, et praedictum tractatum admissurus, cum suapte natura ad eum proclivis, tum non pauca argumenta habens, sicut ipse aliis alio loco, et mihi ipsi dum in insigni Peribleptae monasterio degeret significavit, cum ibi et ego, ipsius simul et principis iussu versari solerem ob expedienda eiusdem, qui adhuc patriarcha erat, negotia. Illic igitur in operis cessatione suspensus, quadam die solus soli mihi occurrens, nescio qua sermonis connexione ductus ad hoc devenit ut diceret, quod si in vivis adhuc numerarentur quidam sibi noti senes, hi summo utique studio ecclesiasticam unionem urgerent: et in his nominatim Blemmidem appellavit, et Ephesiorum metropoleos praesulem Nicephorum, qui deinde patriarcha fuit, et alios quosdam tacitis nominibus innuebat illustres magnosque episcopos, quibus amplissimas laudes largiebatur; sed duobus illis potissimum nominatis, de quorum sententia non dubitare se aiebat. Ibi me, cum ea qua par erat erga eum reverentia,

1) Blemmidae pro dogmate latino extant tractatus duo in Allatii Graecia orthodoxa. Orationem eius praestantem sub titulo *qualem oporteat esse regem*, ad Theodorum Lascarim imp. ipsius alumnum, edidimus nos olim ex codice vaticano. — 2) Hic Arsenio abdicanti successit.

ἀποκριναμένῳ· καὶ πῶς ἡ σὴ πολλὴ ἁγιότης τῇ τούτων γνώμῃ οὐ σύνεστιν, ἀλλ' ἀντιδιατίθεται παντελῶς, οὓς οὕτω καὶ ταῦτα τῇ ψυχῇ περιφέρει διὰ πολλοῦ θειασμοῦ καὶ σεβάσματος; ἐκεῖνος εὐθὺς ὡς εἰώθει μὴ τὰ πολλὰ τῇ διανοίᾳ ἐχεμυθεῖν, ἁπλοϊκῇ διαθέσει νοὸς ἀνθυπήνεγκεν, ὡς οὐ δύναμαι τὸ παράπαν συνδραμεῖν ἐκείνοις πρὸς ταῦτα παρὰ τὴν φθάσας ἐξεθέμην ὑπόσχεσιν ἔγγραφον, τῆς προλελεγμένης συνθήκης μνησθεὶς, καὶ ὅρκον κατονομάσας αὐτήν· ἐκείνου ταῦτα φιλαλήθως, εἰ καὶ μὴ κατὰ τὸ πάντη τῶν λέξεων ἀπαράλλακτον, ἀλλά γε δὴ κατὰ τὸ τῆς ἐννοίας ἀκριβὲς καὶ ἀπαραποίητον· κἀκ τούτων οἷον τι πόρισμα κἀκεῖνο συναναφαίνεται, ὅπερ ἀμυδρῶς ἀνωτέρω προϋπηγόρευσα, ὡς καὶ τοῖς ὑπὲρ τὰ πλήθη κατὰ διάφορον γνώμης ὁρμὴν ἐγεγόνει τὸ δυσανασχετῆσαι καὶ ἀντιπνεῦσαι πρὸς τὴν τῆς ἐκκλησιαστικῆς ταύτης παραδοχὴν ὑποθέσεως· ἰδοὺ γὰρ ἐκ τῶν προσεχῶς διαλειφθέντων προσ-
cod. f. 17. a. ώπων ἔχῃ ἂν ὁ νουνεχὴς ἀριδήλως συναγαγεῖν ὡς καὶ ἑτέροις αὖθις παρ' ἑτέρας αἰτίας, καὶ κατὰ διάφορον κίνησιν τῆς ψυχῆς ἐπηκολούθησε τὸ ἀντίδοξον, κἂν ὁ λόγος διὰ τὸ μῆκος παραιτεῖται πάντα διαρθρῶσαι λεπτομερῶς· ἀλλ' οὗτοι μὲν οὕτω.

κθ'. Ὁ δὲ τοῦ ἔργου καὶ τῆς βασιλείας καθηγεμὼν, καθημέραν βασανιζομένου καὶ διαλευκαινομένου τρανότερον ἐκ τῶν παρηκολουθηκότων ἀρχῆθεν παρὰ πάντα κανόνα καὶ θεσμὸν ἐκκλησιαστικὸν, ὡς ἄνωθεν ἡ ἱστορία, ἣν ἡμεῖς συμπτύξαντες προδιεμορφώσαμεν τὰς ἀποδείξεις παρίστησιν ἐναργεῖς, ἐπεδίδου μᾶλλον καὶ ἀντελαμβάνετο κραταιότερον· ὡς δὲ καὶ τῶν ἀρχιερέων οἱ μὲν ἀπὸ πρώτης ὅ φασιν εἰσβολῆς ἀρίστως ἐπιβαλόντες τῷ ζητουμένῳ, οἱ δὲ μετὰ λογοπραγίαν οὐ πολλοστὴν τὰ κατ' αὐτὸ συνιέντες, οἱ δὲ καὶ πει-

respondente: cur ergo tua magna sanctitas horum sententiae non congruit, sed iis omnino contradicit, quos in animi sui penetralibus tantopere veneratur ac suspicit? Ille vero statim, ut solebat pleraque mente sua non celare, simplici animi motu respondit, haud plane se posse cum illis hac in re conspirare, propter eam, quam fecerat, scriptam promissionem: praedictum scilicet pactum memorans, quod etiam iurisiurandi vocabulo nuncupabat. Haec ille, etsi non ad litteram, sed tamen exacte ad sensum et absque ulla mutatione. Atque hinc illud quoque consequitur, quod subobscure antea innuebam, nonnullis etiam extra plebem pro diverso animi sui motu contigisse ut huic ecclesiastici negotii conclusioni repugnarent ac resisterent. Ecce enim ex memoratis proxime hominibus prudens lector perspicue arguere poterit, alios quoque alias ob causas extitisse, qui ob varium animorum suorum instinctum contrarias partes secuti sunt: nostra vero oratio, prolixitatem vitans, cuncta minutatim enucleare renuit. Sic se igitur isti habuerunt.

29. At enim qui operi et imperio simul praeerat, post quotidianum examen et elucidationem clariorem ex antiquis apud omnem canonem statutumque ecclesiasticum documentis (ut historia quam nos contrahentes deformavimus evidenter demonstrat) magis progrediebatur, firmiusque insistebat. Postquam vero et episcoporum alii quidem primo ut aiunt impetu huic proposito adhaeserunt; alii vero post non multam verborum disceptationem consenserunt; alii denique credentes illis qui

σθέντες τοῖς οὕτω συνετῶς ἐπικρίνασιν, ἀσπάσασθαι τὴν οἰκονομίαν προείλοντο, καὶ τοῖς ἐπ' αὐτῇ κυρωθεῖσιν ἐγγράφως συνέθεντο· καὶ ἡ πρὸς τὴν ῥωμαϊκὴν ἐκκλησίαν πρώτη πρεσβεία πέρας ἐλάμβανε, κἀκεῖθεν ἐπανελθοῦσα τὰς μετ' ἐκείνων καταλλαγὰς διεμήνυε, γίνεται τῷ αὐσοναρχοῦντι καὶ τοῖς τῷ ἱεραρχικῷ λαμπρυνομένοις σεμνώματι σκέψις βαθεῖα καὶ πεῖρα, καὶ μελέτη συχνὴ, τὸν ἀσυγκρίτῳ παραθέσει καθάπαξ ὑπερέχοντα πάντας ἐνιδρυνθῆναι θρόνῳ τῷ πατριαρχικῷ, ἐπείπερ ὁ προρρηθεὶς οὕτω συμφωνῆσαι προέφθη τῷ κράτορι· ὡς εἴπερ τὸ γεγονὸς οἱ τῆς πρεσβυτέρας Ῥώμης προσδέξαιντο, καὶ τούτου τελεσθέντος οἱ πρέσβεις ἐπαναζεύξαιεν, ἰδιάσαι καθ' ἑαυτὸν, καὶ τὸν τοῦ λαοῦ λαβεῖν προστασίαν ἀνθέτερον· οὗ δὴ κινουμένου, ὁ πρὸς ἅπαν ἱερατικὸν ἀπαράμιλλος πλεονέκτημα, καὶ χαρισμάτων διδασκαλικῶν ὡς ἐπίπαν περίπλεως, ὁ τηνικαῦτα χαριτώνυμος χαρτοφύλαξ, ὥς εἴ τις ἡλιοειδὴς ἄλλος ἀνὴρ τῶν ἡμετέρων μέσον λογάδων ἐδείκνυτο· ὃν καθιστορῆσαι μὲν κατὰ τὴν ἐκ παιδικῆς ἡλικίας ἀγωγὴν, ὅπως ἐξ αὐτῆς λόγον καὶ ἱερωσύνην ἔσχετο ἐπιτήδευμα, καὶ πνοὴν ταῦτα καὶ βίον ἄντικρυς ἔκρινε, καὶ ζηλωτὸς εἴπερ τις ἐν τούτοις τῶν κατ' ἄμφω διαπρεψάντων ἐγένετο, τοῖς ὑπερφυέσι τοῦ τῶν ἀμφοτέρων ἑνὸς προτερήμασι, κοσμήσας θάτερον ἀξιοπρεπῶς, ἱερωσύνην μὲν τοῖς τοῦ λόγου κατὰ πᾶν εἶδος αὐτοῦ, λόγον δὲ τοῖς τῆς ἱερωσύνης κατὰ πᾶν ἀκραιφνὲς ἰδίωμα ταύτης, τοῖς πολλοῖς ὡς ἀληθῶς δυσκατόρθωτον, ὧν κεφάλαιον ἡ εὐθύτης ἐστὶν, ἣν ἐνστερνισάμενος ἔχει τῶν παρ' ἡμῖν ὡς οὐδεὶς, ἄλλης ἂν εἴη λογογραφικῆς διαπλάσεως ἀποτέλεσμα· ὃ δὲ ἐπὶ τῇ προκειμένῃ τῶν ἐκκλησιῶν ὑποθέσει τετελεκὼς ἀρχῆς ἀπ' ἄκρης ἐφάνη, ἣν κορωνίδα τῶν αὐτῷ προσόντων καλῶν, γεγονέναι θεὸς ᾠκονόμησε, τοῦτο δώσω τῷ λόγῳ. cod. f. 17. b.

sapienter ita censebant, tractatum approbare decreverunt, et cum ita definientibus subscripserunt. Cumque iam prima ad romanam ecclesiam legatio peracta fuisset, et illinc reversa factam cum Romanis reconciliationem nunciasset; tunc ab imperatore aliisque hierarchica dignitate fulgentibus, gravissima deliberatio et exploratio et continua conquisitio fit, ob imponendum patriarchali sedi hominem qui omnes incomparabiliter superaret; quandoquidem ille praedictus (Iosephus) ita cum imperatore pactus fuerat, ut si tractatum senior Roma probaret, et eo concluso legati redirent, ipse privatus fieret, et alius populi regimen acciperet. Ergo eo remoto, ille qui omni sacerdotali virtute incomparabilis erat, doctrinae donis affatim plenus, Iohannes tunc chartophylax, ceu quidam solari luce splendens vir, in praelatorum nostrorum coetu visus est. Porro huius historiam a puerili usque aetate contexere, quomodo exinde litteris et sacerdotio studuerit, ibique spiritum suum vitamque locaverit, fervidusque illorum imitator fuerit, qui utraque in parte excellebant, unius praestantiâ, alterius excellentiam exornans, sacerdotium scilicet litteris, vicissimque litteras eximiis sacerdotis virtutibus (quod revera multis difficile accidit; namque harum virtutum caput est accurata rectitudo, quam in suo pectore defixam prope nemo apud nos habet); haec, inquam, alterius lucubrationis materia erunt. Quod vero ad praesens ecclesiarum negotium homo hic plane natus iam inde

affatim: sufficiently, abundantly (Alb: mjaftë)
ceu: as, like as, just as

λ΄. Πρὸς τοῖς ἄλλοις ὁ μέγας οὐ χρησταῖς ὑπονοίαις περὶ τῶν Λατίνων προειλημμένος, θερμὸς ἦν ζήλῳ τῷ κατ᾽ αὐτῶν· καὶ δὴ τὸ κατ᾽ ἀρχὰς τῶν εἰς σπονδὰς εἰρηνικὰς μετὰ τούτων ἱκέσθαι λόγων ἐξιχνιαζομένων ἀποδυσπετῶν ὡρᾶτο πρὸς ταῦτα σφοδρῶς, καὶ ἀναβαλλόμενος, οὔπω σκέψεσιν ὁποίαις μεθύστερον περὶ τούτων δοὺς ἑαυτὸν, καὶ παντοίαις καὶ ἀνεξισώτοις ἀνερευνήσεσιν, ἀλλὰ μόνῃ τῇ προλήψει συνυσχημένος· κἀπειδὴ πρὸ τῶν ἄλλων προσεκαλεῖτο, τὸ ὑπερέχον ὑπὲρ πάντας οἷα πλουτῶν, τὰ τῆς πολυπραγμονουμένης τότε διασαφῆσαι καταλλαγῆς, εἰ μὴ ἀπᾴδοντα τῷ ὀρθῷ, τὸ δοκοῦν αὐτῷ κατά τινα τρόπον, οὐκ ἀπώκνησεν ἐπὶ τοῦ μέσου διατρανῶσαι, μετὰ τῶν ἑτέρων ἐνόντων αὐτῷ πολυειδῶν πλεονεκτημάτων, καὶ τὸ παρρησιαστικὸν καὶ γενναῖον αὐχῶν, ἀποτρόπαιον συμβῆναι Ῥωμαίοις ἐπιβοώμενος· σφάλλεσθαί πως περὶ τὸ σέβας τούτους ὑποτοπάζων, ἐκ τῆς ἧς ἔφημεν οἱονεί πως κοινῆς ὑπολήψεως τῇ χρονίῳ διαμάχῃ ταῖς ἁπάντων σχεδὸν ἐνσκεδασθείσης ψυχαῖς· κἀπὶ τούτῳ διανιστάμενος μέχρι καὶ αὐτοῦ τοῦ πολλὰ ὑποστῆναι τῶν ἀλγεινῶν· οὐ μὴν εἰς ὁμολογουμένην αἱρεσιωτῶν συμμορίαν ἀπάγων, εἰ καὶ τὰ κατ᾽
cod. f. 18. a. αὐτὸν οἱ διαβάλλοντες ἄλλως ἢ καὶ τοῦτο φθάνει λεχθὲν διεφήμισαν (ὡς οὐδὲ τῶν πρὸ ἡμῶν τινὲς ἀντικαταστάντων αὐτοῖς οὕτως ἀπαρνήσασθαι ἀπετόλμησαν, κἂν οἱ μὲν τούτων σφοδρότερα καὶ μείζω τὰ τῆς οὐκ ἀγαθῆς ὑπονοίας ἢ καὶ ἐπιτιμίας εἶχον περὶ αὐτῶν)· ἧς ἄρα μοίρας καὶ ὁ πολὺς οὗτος τὸν ζῆλον ἐτύγχανεν ὤν· οἱ δὲ μέσα καὶ πρὸς τὸ εἰρηνικὸν μᾶλλον, ἢ τὸ μάχιμον ῥέποντα· οἱ δὲ καὶ σμικρά τινα πάνυ [1]), καὶ τὴν πρὸς τὸ ἑνωτικὸν ἑτοί-

a primordiis apparuerit, et quod hanc dotem tamquam coronidem haerentium illi virtutum Deus esse voluerit, id ego tradere litteris adgrediar.

30. Praeter alia hic magnus haud bonis erga Latinos opinionibus praeoccupatus, zelo adversus eos fervebat: cumque coeptum est agitari sermones de pacifico cum illis ineundo foedere, hic contra indignari vehementer videbatur, et moras nectere; necdum his pervariis ambiguisque quaestionibus considerationem impenderat; sed praeiudicio tantum occupatus manebat. Iam vero cum ante alios vocatus fuit, utpote summa prae ceteris doctrina pollens, ut laboriosam illam reconciliationem explanaret, nisi forte a recto aliena ipsi aliquatenus videretur, non est cunctatus in publico, praeter reliquas haerentes ei multifarias dotes, confidentiam quoque elatumque animum prae se ferre, piaculum clamans supervenisse Romanis; errare eos in religione suspicans, ex communi ut diximus praeconcepta opinione, quae ex diuturna contentione omnium prope animis obrepserat: atque in hoc tantopere repugnabat, ut molestias quoque multas pertulerit: non quod in manifestam illos haereticorum sectam coniiceret; (quamvis accusatores nonnulli aliter quam diximus de eo diffamaverint; prout nec ante nos quisquam Romanorum adversarius id negare ausus est; quamquam iidem graviores atque maiores non rectae sententiae suspiciones et animadversiones circa illos gererent). Itaque in hac hominum classe noster quoque magnus zelum suum exserebat. Interim aliis moderata, et pacem magis quam bellum foventia, placebant: alii minuta quaedam esse iudicabant, et quae unionem

1) Apud Pachymerem lib. V. 11. episcopi graeci communi suffragio declarabant, additamentum sym-

μην ἔχοντα συγκατάνευσιν· καὶ τοῦτο πάντως οὐκ ἄλλοθεν, ἢ ἐκ τοῦ μὴ τὴν ἀληθῆ περὶ αὐτῶν δόξαν τοῖς οὕτω διακειμένοις ἐνεῖναι, ἢ μίαν καὶ ἁπλῆν καὶ οὐ πολυσχιδῆ καὶ διάφορον κέκτηται τὴν διάγνωσιν· εἰ δὲ καὶ ἐκ τοῦ μὴ ἀποφανθῆναι τὰ περὶ τούτων συνοδικῶς ἐρεῖν τις ἐθέλει, πειθοίμην ἂν ἔγωγε· καὶ τίνα πρὸς τοῦτο ἅπερ οἱ νῦν ἀπὸ κοιλίας ἐρεύγονται, καὶ ἀδεῶς δρᾶν ἀπαυδιάζονται· πλὴν οὕτω μὲν ὁ τοιοῦτος προδιατεθειμένος ἀπαίσια τὰ τῆς οἰκονομίας ἡγεῖτο, καὶ οὔμενουν ὅλως παραδεκτά, κἂν μυρία τις ἐπάξῃ τούτῳ καὶ ἀνύποιστα τὰ δεινά, μὴ τῶν δογματικῶν λόγων τὸ ὀρθὸν ἐχόντων καὶ ἀκλινές.

λα΄. Ἐπεὶ δὲ μόλις ἐπῆλθεν αὐτῷ κατά τινα συγκυρίαν παλαιᾷ τινι βί- How Beccus changed his mind
βλῳ ἐγκύψαι συλλογῆς πεπληρωμένῃ πατρικῶν θεολογιῶν 1), ἐξ ὧν τελεώτερον ἑώρα τὸν ἐπὶ τῇ τῶν ἐκκλησιῶν συνελεύσει συνασπισμόν, οὐκ ἀνῆκεν ἑαυτὸν πρὸς μικρὰν ἄνεσιν ἀπιδεῖν, οὐχ ἑτέρᾳ τινὶ συμμερισθῆναι μερίμνῃ, ἀλλὰ πᾶσαν θεολογικὴν τῶν πατέρων βίβλων συναγωγήν, πάσας δογματικὰς τούτων παραδόσεις ἀθροίσας, ταύταις ἑαυτὸν δίδωσιν ὁλικῶς, καὶ πανημερίοις τούτων ἀνελίξεσιν ἐνσχολάσας, καὶ παννυχίοις μελέταις προστετηκώς, εὑρίσκει μᾶλλον ἐντεῦθεν καταφανῆ, καὶ μεγάλην τὴν ἐπὶ τῇ δηλωθείσῃ πραγματείᾳ συγκρότησιν· εἶθ' οὕτω καὶ τὴν ἱστορίαν ἄνωθεν ἀκριβῶς ἀνιχνεύσας, cod. f. 18. b.
καὶ τὸ πᾶν ἐπιμελῶς κατοπτεύσας ἀπαθέσι νοὸς ὀφθαλμοῖς, ὡς ἅπερ ὁ πα-

potius suaderent: quae omnia haud aliunde eveniebant, quam quia vera de Romanis sententia animis ita affectis non inerat; quae videlicet unam simplicemque, non variam multiplicemque, habet notionem. Quod si quis mavult dicere, hanc perplexitatis causam fuisse, quia nihil adhuc synodice de ea re constitutum erat, adsentiar et ego. Quaedam denique et hodierni tamquam a ventre eructant, temereque agere audent. Interim noster hic ita affectus, detestabilem esse tractatum autumabat, et omnino non admittendum, quantumlibet quis intoleranda quoque mala ei impingeret; nisi res dogmatica recte se haberet et immobiliter.

31. Sed enim casu cum postea incidisset in veterem quendam librum, plenum sylloge theologicarum ex patribus auctoritatum, ex quibus liquidius agnoscebat concordiae ecclesiarum defensionem, non est passus vel minimum otiari, aut aliis curis distrahi, sed quicquid theologicorum librorum ex patribus erat, congerens cunctasque horum dogmaticas traditiones conglobans, harum studio se totum dedidit, totosque dies his pervolutandis insumens, et nocturnis etiam meditationibus incumbens, manifestiorem adhuc comperit erga praedictam tractationem favorem. Mox et antiquam

boli a se non reprehendi quasi falsam doctrinam aut impiam; verum tantummodo id repudiari ne quid novi, ut putabant, fieret.

1) Dicit volumen χρήσεων id est auctoritatum ex ss. bibliis, sed praecipue ex patribus, coacervatarum. Ea late collectione utuntur idem Ioh. Veccus aliique auctores apud Allatii Graeciam orthodoxam, et nunc idem paulo post faciet Metochita noster; quo fit ut eaedem saepe auctoritates, vario tamen ordine et usu, apud praedictos occurrant. Parem collectionem, falso Iacobitarum dogmati accommodatam, vidimus in codice vaticano, et pro re nata alibi recitavimus. Item et editi a nobis Anastasius presbyter *de rectis dogmatibus*, et Leontius atque Iohannes *de sacris rebus*, nobilissimi auctores, ad hoc fere collectionum genus pertinent.

τριαρχεύσας Φώτιος ἠθετήκει, τὴν ἔριν οἱ μετ' ἐκεῖνον χρόνου πολλῷ διαστήματι βουληθέντες ἀναμορφώσασθαι, λαβόντες αὖθις ἀνεκαλέσαντο, καὶ κατὰ διαδοχὰς ἕτεροι μετ' αὐτοὺς εἰληφότες ὡς ἐπὶ ὁμολογουμένοις τοῖς ληφθεῖσιν ἐπὶ παραδοχῇ, καὶ μὴ πυρὶ καθυποβληθεῖσι, τὰ τοῦ σχίσματος ἐκραταίωσαν, κἀκ τῆς καιρικῆς ὁσημέραι παραῤῥοῆς κρατυνόμενα, μετατίθησι τὸν ζῆλον ὑπὲρ τοῦ παῤῥησιάσασθαι τὴν εἰρήνην μέσον τῶν πρωτευόντων ἐν χριστωνύμοις ἀμφοτέρων ἐθνῶν, καὶ μέγα καὶ ὑψηλὸν λογίζεται καὶ οὐράνιον, εἰ μηδαμῶς τοῦ λόγου τῆς εὐσεβείας λυμαινομένου, μεταξὺ Ῥωμαίων τε καὶ ἡμῶν καταλλασσομένων, καὶ σπενδομένων ἀδελφικῶς, διδασκαλικαῖς τῶν ἐπὶ θεολογίᾳ διαλαμψάντων πατέρων εἰσηγήσεσι καὶ διαταγαῖς, κἂν τοῖς ἐθίμοις ἀπαραποιήτων μενόντων, τὸ τῆς ὁμογνωμοσύνης ἀγαθὸν ἐπιβραβευθείη, καὶ ἡ ἐπὶ κακῷ ἐνσκήψασα πάλαι διαλυθείη διχόνοια· καὶ ἦν τοῦτο τὸ ἑξῆς σπουδὴν οἰκείαν ποιούμενος.

λβ. Ἐν ᾗ καὶ πρὸ τῶν ἄλλων, τό γε νῦν ἔχον ἐκεῖνο κατιδεῖν ἄξιον, ὅπερ οἱ κατὰ τοῦ ἀνδρὸς εὑρεσιλογοῦντες ὥς τι καὶ αὐτὸ τῶν ἰσχυροτάτων ἐπάγουσι φάσκοντες, πῶς ἄρα, κλεινὸς ὢν ἐπὶ σοφίᾳ καὶ περιβόητος, οὐκ ᾔδει καὶ πρώην, ἡνίκα τὰ τῆς ὑποθέσεως ἀπωθεῖτο, τὰ πρὸς σύστασιν αὐτῆς ἀφορῶντα θεολογικὰ τῶν πατέρων ῥητά, ἀλλὰ τότε μὲν πολλῇ τῇ παῤῥησίᾳ χρησάμενος, ταύτην ὡς παντελῶς ἀπόβλητον ἀπετρέπετο; μεθύστερον δὲ τὰ τοιαῦτα πατρικὰ δόγματα διερευνησάμενος εἰδέναι διαγορεύει, καὶ ἐξ αὐτῶν ἔχειν αὐτὴν τὸ εὐπαράδεκτον διατείνεται; μέντοι γε καὶ οἱ ὥς τινα ταῦτα τῶν ἀκαταγωνίστων ἀντιτιθέντες, οὐκ ἀπαρνήσονται ὡς καὶ τῶν παρ' αὐτοῖς οἱ περὶ λόγους περικλεεῖς τῶν θεολογικῶν χρήσεων οὐκ ὀλίγας ἐπὶ τῇ πολυ-

historiam accurate scrutans, imperturbatisque mentis oculis contuens, quomodo nempe quae patriarcha ipse Photius aboleverat, ea deinde illi qui discordiam post multum temporis intervallum instaurare volebant, in medium rursus detulerint; et alii aliis succedentes tamquam certa ea habuerint, neque igni tradita schismatis acta apud se retinuerint, temporumque lapsu confirmata putaverint; noster, inquam, zelum suum ad pacem inter duas primarias Christianorum gentes animose revocandam convertit: et grande ac sublime, et caeleste opus existimavit, si minime laesa religionis rectae doctrina, inter Romanos et nos reconciliatos et fraterne compectos, ex magisterio meliorum in theologia patrum, doctrinis et constitutis, ritibus ceteroqui invariatis, concordiae bonum stabiliretur, et funesta quae iamdiu obrepserat dissensio auferretur. Atque hac in re posthinc mente tota defixus erat.

32. Interim et illud observandum est, quod huius hominis calumniatores ceu validissimum quid intorquent, dicentes: quomodo hic tam sapientia inclytus et celebratus, antea nescivit, quo tempore tractatui repugnabat, theologica patrum dicta quae unionem spectabant? quomodo tunc multa fiducia utens, hanc ut omnino repudiandam aversabatur? postea vero easdem has patrum sententias scrutatus, concordiam hanc se cognovisse admittendam contendit? Atqui isti, qui hoc veluti inexpugnabile argumentum adferunt, non negabunt, homines apud ipsos quoque litteratura claros, theologicas nunc primum haud paucas auctoritates cognovisse, dum

πραγμοσύνῃ τῆς ῥηθείσης ἔγνωσαν ὑποθέσεως, ἃς οὐκ ᾔδεισαν πρὸ αὐτῆς· καὶ τί τὸ ἐξ ὧν ἀντιθέασι κέρδος, εἰ τὸ ἴσον αὐτοῖς εὑρεθήσεται; εἰ μή που κέρδος εἶναι νομίσαιεν τὴν τῶν φθασάντων γνωσθῆναι σφίσι θεολογικῶν διδαγμάτων παρατροπὴν ἐκ τοῦ καταφανοῦς τῆς ἐννοίας εἰς σημασιῶν ἐπιθολώσεις, καὶ ἑτερότητας, μόνον εἰ κατορθῶσαι δυνηθεῖεν τὸ σπουδαζόμενον· ἀλλ' ἡ τούτου θεωρία τοῖς ἐφεξῆς ἐντελεστέρα γενήσεται· νῦν δὲ οὐδὲν ὄφελος, ἐξ ὧν καταθρασύνονται τοῦ ἀνδρὸς οὗτοι· καὶ γὰρ ὥσπερ ἡνίκα κατὰ Ῥωμαίων ἐσφάδαζεν οὐχ ὑποτρέσας ὤφθη τὴν αὐτῷ δοκοῦσαν ἀλήθειαν μεγαληγορῆσαι διάτορον τῇ διαλεφθείσῃ προλήψει κεκρατημένος, οὕτω μετὰ τὸ διαγνῶναι τὸ τῆς προκειμένης πραγματείας ἀπαρεμπόδιστον ἐξ ὧν ὤφθη μεταλλεύσας πολλῶν καὶ μεγάλων, καὶ οὐμενουν ἀξίων ἀποκρυβῆς, ἰθυτενῶς ἦν κατέχων τὸ τῆς διαγνώσεως ἀκραιφνὲς, καὶ μὴ ὑποπτήσσων, μήτε μὴν τὰ πρὸς ἀποδοχὴν τοῦ πλήθους μεταδιώκων, ἀλλ' αὐτὸ τὸ διαγνωσθὲν εἰς ἀλήθειαν φανερωθῆναι ποθῶν, ὅσα πρὸς τῷ ἀλωβήτῳ κεκτημένον καὶ τὸ λυσιτελὲς, καὶ τοῦτο τοῖς πολλοῖς λέγειν πρὸς ἀρέσκειαν προτιμώμενος, ὃ δὴ καὶ πρὸ τῆς πατριαρχείας διαγγέλλων ὑπῆρξε καὶ συνιστῶν εὐθύτητι διαθέσεως. cod. f. 19. b.

λγ'. Ἐπεὶ δὲ καὶ ὁ καιρὸς τοῦτον ἐκάλει τὸ πατριαρχικὸν ὑπερέχον ἀναλαβέσθαι λειτούργημα, καὶ τὰ τῆς ψήφου γέγονεν ἐπ' αὐτῷ, ὡς προδιειληφότες ἐνεχαράξαμεν, ἐκ κοινῆς δηλαδὴ συμφωνίας τοῦ τῶν ἀρχιερέων πληρώματος, καὶ τὰ λοιπὰ πάντα προέβη, κατὰ τὴν τῶν ἱερῶν καὶ θείων κανόνων ἀκρίβειαν, ἡ χειροθεσία, ἡ τελεσιουργία, ἡ εἰς τὸν ἱερὸν θῶκον ἐνίδρυσις, καὶ ὅσα τούτων τελειωτικὰ καὶ τῆς χάριτος, διανίσταται μὲν νηφαλίως

huius negotii tractatio ferveret, quas antea non perviderant. Quid igitur hac sua obiectione lucrantur, si res eadem apud ipsos item usuvenit? Nisi forte lucrum esse arbitrantur, earum, quas nuper agnoverunt, theologicarum doctrinarum distortionem a perspicua rei notione ad significatuum obscurationes et corruptiones, dummodo scopum suum adsequi possint. Verumtamen de hac re disquisitio in sequentibus accuratior fiet. Nunc nihil proficiunt, dum haec Iohanni audacter obiiciunt. Etenim sicut antea Romanis vehementer iratus, minime timidum se praebebat, sed veritatem, quam putabat, magna voce et clamosa praedicabat, supradicto praeiudicio occupatus; sic item statim ac sensit propositae tractationis aequitatem, ex iis multis magnisque argumentis, et celari minime dignis, quae nuper scrutando cognoverat, rectà ad veri disquisitionem tendebat, nihil timens, nec plebis gratiam captans, sed rem cognitam in veritatis lumine poni desiderans, quicquid videlicet cum rei sanitate utilitatem quoque conferret; idque multis dicere omisso placendi studio malebat, prout etiam ante patriarchatum profiteri ac tueri secundum animi sui rectitudinem consueverat.

33. Postquam vero eum tempus ad patriarchale ministerium suscipiendum vocavit, et suffragia in eum convenerunt, ut in superioribus diximus, ex universali episcoporum consensu; et postquam reliqua omnia canonico rigore sunt peracta, manuum impositio, consecratio, et in sacra sede repositio, et quotquot alia sacramenti huius sunt propria; statim ille vigilanter ad omne debitum pastorale officium

πρὸς πᾶσαν τὴν ἀνήκουσαν αὐτῷ ποιμαντικὴν ἐργασίαν καὶ διδασκαλικὴν διεξαγωγήν, καὶ πνευματικὴν ἑτέραν ἐπιστροφήν· περὶ πλείστου δὲ ποιεῖται καὶ
cod. f. 19. a. τὴν περὶ ἧς ὁ λόγος μέριμναν τῶν ἐκκλησιῶν ἀμφοτέρων, κυριώτερον δ' εἰ-
* II. Cor. XI. 28. πεῖν ἁπασῶν κατὰ Παῦλον τὸν θεοκήρυκα *· εἴπερ ἀμφοῖν καὶ αἱ λοιπαὶ συλλαμβάνονται, καὶ εἰς καθολικωτέρας ταύτας αἱ κατὰ μέρος πᾶσαι πανταχόθεν ἀνάγονται 1), καὶ τὸ πρὸς ἑνωτικὴν ἀλληλουχίαν ἑκατέραν ἑδραιωθῆναι τοῦ παντὸς ἀξιοῖ· ἔνθέν τοι καὶ τὰ κατασπουδασθέντα οἱ ταῖς συχναῖς ἀναμοχλεύσεσι τῶν γραφῶν προτείνει τοῦ μέσου, καὶ λόγους ὅλους συντίθησιν ἐξ αὐτῶν, κἀκ τῶν αὐτοῦ ἐμπεριεχομένων πατρικῶν θεσπισμάτων, καὶ θεολογικῶν ἑρμηνειῶν, καὶ διασαφήσεων, τὴν τῶν δύο γενῶν ἕνωσιν ὡς ἀγαθὸν παριστᾷ, καὶ ὡς ἀσπαστὸν δεικνύει καὶ ἀξιοπαράδεκτον· καὶ μηδὲν ἐμποδὼν ἐντεῦθεν εἶναι τῇ ἀληθείᾳ διασαφεῖ τοῖς οἰκείοις ἀμφοτέρων τηρουμένων ἐθίμοις, καὶ κατὰ τὸ τῆς ἐννοίας συνεχομένων εἰλικρινές· καὶ ἃ μὲν ἐπὶ τούτῳ συνεγέγραφει θεμελίοις ὡς ἀσφαλέσι, τοῖς θεοειδέσι διδασκάλοις ἐπερειδόμενος, πάρεισιν ἄρα διαμεμενηκότα 2), καὶ ὁ βουλόμενος ἀῤῥεπεῖ κριτηρίῳ τοῦ συνειδότος κατεξετάσαι, γνοίη ἄν, ὁποῖα καὶ οἷς τισιν ἐνστηρίζονται, κἂν ἡ κακία τῶν κατ' αὐτοῦ χαιρεκάκων ἕρμαιον λαβοῦσα, καὶ τὸ προκατειλῆφθαι τὰ πλήθη καθ' Ἰταλῶν, μεγάλα εἰς ἐξουδένωσιν καὶ διαβολὴν τοῦ ἀνδρὸς ἐσκαιώρησεν, ὅπως τὲ σφίσι τὰ σκαιουργηθέντα ἐπισυσταῖεν, ἀφανισμῷ παραδοῦναι τὰ συγγραφέντα οἱ προεθυμήθη καὶ ἔσπευσε, καὶ προσέτι τοῖς καθ' ἡμέραν ἐφευρισκομένοις ἐπὶ ῥαδιουργίᾳ καὶ παντοδαπῇ κακώσει δεινοῖς εἰς τοῦτο σπεύδει καὶ διαμιλλᾶται διηνεκῶς.

dep: to strive earnestly

semet intendit, ad doctrinalem instructionem, et spiritalem quamlibet occupationem. Sed et plurimi momenti aestimavit hanc de qua loquimur duarum ecclesiarum, vel ut verius dicam, omnium, veluti sacer praeco Paulus, curam: siquidem his duabus ecclesiis reliquae etiam continentur, atque ad has tamquam generaliores, ceterae omnes singillatim undique reducuntur; et ab unionis concordia, stabiliri omnia iudicabat. Propterea et sententiam suam crebris, ut ita dicam, sacrarum scripturarum vectibus in medium adductis sustentat, et integras orationes ex his componit; et cognitis ab se patrum sententiis et theologicis interpretationibus et explanationibus, duarum nationum unionem ceu bonam optabilemque demonstrat, et nihil esse veritati contrarium declarat, suis utrique conservatis ritibus, et retenta puritate sententiae: quae denique de hac re scripsit, ea authenticis mirificisque doctoribus stabilit. Ecce illa prostant; et qui volet aequabili conscientiae criterio ipsa perpendere, profecto agnoscet, quae et quibus innitantur. Quamquam malignorum contra patriarcham perversitas, ansa arrepta ex populi adversus Latinos praeiudicio, magna molitur ad viri accusationem atque perniciem: et ut sua maleficia consistant, exitio tradere editas ab eo scripturas studet et satagit; et praeterea novis

molitur: sets astir — to destruction — has its hands full

1) Recte, nam quidquid rei christianae in orbe est, a duabus principalibus manat ecclesiis romana et graeca; dogmata nimirum, ritus plerique etc.



2) Multa Vecci reapse scripta supersunt in Allatii Graecia orthodoxa. Nos quoque reliquias alias in codd. vat. vidisse meminimus.

λδ'. Ἵνα δὲ τὸ λοιπὸν καὶ ἡμεῖς ὅπως ἀρχῆθεν εἴχομεν γνώμης εἰς ταῦτα, καὶ ὅπως διετέθοιμεν ἐφεξῆς, καὶ πέρας τίσι καὶ ποίοις λόγοις δογματικοῖς καὶ διδάγμασι θεοσόφοις τῶν ἐπὶ θεολογίᾳ κλέος μέγιστον ἀπενεγκαμένων πατέρων ἐνασμενίσαντες· τὰ τῆς ὑποθέσεως εὖ προσηκάμεθα, παραστήσωμεν· ὡς ἂν ταύτῃ καὶ ἡ ἐκ τῶν τοιούτων λόγων ἀπάρτι προτεθείη διάγνωσις, ἄνωθεν cod. f. 20. a. ἐροῦμεν, ὡς οἷόν τε βραχυλογήσαντες. Λαμβάνει κἀμὲ τῆς ἐκκλησιαστικῆς ταύτης πραγματείας ἡ κίνησις κατ' ἀρχὰς ἐπιδοιαζόμενον οἱονεί πως αὐτῇ καὶ ἀμφιβαλλόμενον δι' αἰτίας ἅσπερ καὶ ἕτεροι τῶν μὴ σφοδρότερον κατὰ Λατίνων τραχυνομένων, ἀλλὰ μόνον τηρούτων, τὸ ὡς ἔσχε γεγονὸς ἐπ' αὐτοῖς εἰς διάστασιν· τῶν δέ γε σφῶν ἕνεκα λόγων ταλαντευομένων ἑκάστης ἡμέρας, καὶ πρὸς τοῖς ἀεὶ τελουμένοις τούτων μέσον τε καὶ ἡμῶν εἰς ἐμπρέπουσαν κοινωνίαν ὁμοφρονοῦσι πᾶσι χριστιανοῖς· καί τινων παρενειρομένων μόνοις καθηκόντων ἱερωμένοις, ὡς ὁ δεῖνα πατριάρχης Μανουὴλ καθέστηκεν οὗτος, ὁ καὶ πρώην μνημονευθεὶς, μετὰ τῆς ὑπ' αὐτὸν ἱεραρχικῆς τῶν ἀδελφῶν ὁμηγύρεως τοὺς ἀπὸ τῆς νήσου Σικελίας τῇ Νικαέων ἐπιδημήσαντας μοναχοὺς, καὶ παρ' ἐπισκόπων Ἰταλῶν χειροτονηθέντας συνιερατεύειν τοῖς ἡμετέροις ἐδέξατο, καὶ τὴν εἰς τοῦτο προτροπὴν σφίσιν ἔγγραφον ἐποιήσατο. Καὶ ὡς ὁ ἐν πατριάρχαις ἀοίδιμος πρὸ αὐτοῦ καὶ συνάμα τῇ ἁγιωσύνῃ τόν τε βίον καὶ τὸν λόγον πολυΰμνητος Γερμανὸς, τοῖς ἐν τῇ Κύπρῳ τὸν ἱερατικὸν ἀποπληροῦσι κατάλογον, τὴν ἀπαιτουμένην ὑπακοὴν θέσθαι τῷ Ῥωμαίων προέδρῳ συνοδικῶς ἐνετείλατο. Ἔτι τε ἕτερος ἐπ' αὐτῷ τοιοῦτον ἕτερον πεπραχέναι καιροῖς ἰδίοις ἐγνώρισται· και ἄλλος αὖ ἄλλο τῶν, ἃ πολλὰ καὶ παρὰ πολλῶν πατριαρχικῇ κλεϊζομένων

quotidie commentis, improbitate ac omnimoda malitia imbutis, ad hoc tendit atque connititur.

34. Age vero quaenam fuerit nostra quoque ab initio sententia, et quo deinceps animo affecti fuerimus, et denique quibus qualibusque dogmaticis dictis theosophisque doctrinis patrum in theologia summam gloriam adeptorum acquiescentes, susceptum tractatum libenter admiserimus, in reliquis referemus: atque ut sic ab his quoque sermonibus ex hoc tempore proponatur disquisitio, rem altius repetemus, maiori qua fieri poterit brevitati servientes. Invenit me quoque ecclesiastici huius negotii commotio initio dubitantem ac veluti titubantem, ob easdem causas qua ceteri, qui non tantopere Latinis erant infensi, sed eam retinebant tantummodo, quae reapse existebat, ab illis secretionem. Ceteroqui ponderabam quotidianos inter illos ac nos sermones et actus, qui concordiam debitam inter omnes christianos suadebant. His nonnulla adnectebam, quae sacerdotes proprie spectabant; velut ille se gessit patriarcha Manuhel, quem et antea memoravimus, cum suo sacerdotali fratrum coetu, quum venientes de insula Sicilia Nicaeam monachos ab episcopis italis ordinatos, ut sacerdotio cum nostris fungerentur admisit, atque hanc ipsis facultatem scriptam tradidit. Item inclytus ante eum, et praeter sanctitatem, vitae genere ac litteratura valde celeber Germanus, iis qui in Cypro sacerdotum albo adscripti fuerant, mandavit cum sua synodo, ut romano antistiti debitam obedientiam praestarent. Sed et alium in re simili ita egisse propriis temporibus, exploratum est: et alium rur-

μεγαλειότητι χρόνου διαφόροις παραῤῥοαῖς ἐνηργήθησαν· ἐξ ὧν οὐκ ὀλίγοις
καὶ ἡ διὰ γραφῶν εἰσέτι πίστις ἐμφέρεται. Τούτων γυμναζομένων οὕτω καὶ
διευκρινουμένων ἐπὶ τοῦ μέσου τρανῶς, οὐ καινὸν εἶναι διενοεῖτο μοι στέρξαι
cod. f. 20. b. καὶ τὴν ἐν τοῖς ἱεροῖς διπτύχοις τοῦ Πάπα κατὰ τὸ ἀρχαῖον ἔθος ἀναφοράν·
καὶ λοιπὸν εἴ τι τῶν ἐπ' αὐτῇ ζητηθέντων κεφαλαίων εἰς εἰρηναίας σπονδὰς,
τῆς κοινωνίας οὕτως ἀμφοῖν ἐνεργουμένης πραγματικῶς· οὐκοῦν καὶ ταῦτα
στέρξας καὶ ἀσπασάμενος, ὡς τοῖς τοῦ πατριαρχεύσαντος Φωτίου μετέπειτα
τὰς ὄψεις ἐπέβαλον, καὶ τὸ πυρίκαυστον ἐκείνων ἔγνων, καὶ ὅσα μοι τούτοις
διείληπται, ἐναγκαλίσασθαι μᾶλλον ἐπηυξήθη μοι τὰ πρὸς ἕνωσιν ἀποχρών-
τως, μαθόντι τὴν ὅπως παρεισέδυ τῶν σκανδάλων ἐπιφορὰν ἐκ φιλαρχίας ἀρ-
ξαμένην, καὶ εἰς λόγους ἐκκορυφωθεῖσαν φιλονεικίας μαχίμου καὶ ἔριδος· ἐξ
ὧν καὶ τὸ προσεσχηκέναι τοῖς τῶν πατέρων ῥήμασιν ἀναχθεὶς, τούτοις τελεώ-
τερον ὁδηγεῖσθαι πρὸς τὴν εἰρήνην ἐγνώρισα· τούτοις καθαρώτερον ἑωράκειν
πρὸς αὐτὴν ἀνάγεσθαι τὸν αἱρούμενον· τούτοις κατειλήφειν ἑδράζεσθαι τὸν
ἐθέλοντα· οἳ δὴ καὶ παρίτωσαν ἄρτι καὶ λεγέτωσαν τὰ αὐτῶν, ὅπως γνοῖεν
οἱ μεθ' ἡμᾶς παρ' ὧν ἡμεῖς διεγηγερμένοι, καὶ οἷς ἀριδήλως ἐρηρεισμένοι
τὰ τῆς ἑνωποιοῦ μοίρας ἐπρεσβεύσαμεν καὶ πρεσβεύομεν· καὶ πέρας, ὅπῃ πρὸς
ταῦτα τοῖς λογικώτερον ἀντικαταστάσιν ἐξεκυλύσθη τὸ ἐθελόκακον.

λε'. Πρῶτος μὲν οὖν Ἀθανάσιος ὁ πολὺς (ἵν' ἐκ τοῦ τῶν ἱερῶν δογμάτων
πρώτου θεμελίου, καὶ ἀῤῥαγοῦς χρυσέους εὐτυχεῖ θαλάμῳ κατὰ τὸν εἰπόν-
* Cant. III. 10 τα * κίονας ὑποστήσωμεν) ἐν τῷ λόγῳ ὃς ἐπιγέγραπται ἔλεγχος ὑποκρίσεως τῶν
περὶ Μελήτιον καὶ Εὐσέβιον, οὗ ἡ ἀρχὴ, ἄνθρωπος καθ' ὁμοίωσιν θεοῦ γέγονε,
φησίν· "ἣν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι μὴ

sus aliud, quae multa a multis in gradum patriarchalem sublimatis diversis temporibus acta sunt; a quibus non pauci testimonium quoque scripto exaratum impetrarunt. His ita examinatis et publica in luce diiudicatis, nihil iam novi mihi visum est, si admittatur in sacra quoque diptycha Papae iuxta priscum morem commemoratio; et si quid reliquum est controversorum capitulorum, ad pacificam conciliationem deducatur, communione sic utriusque gentis pragmatice effecta. Porro haec eo libentius admisi, postquam Photii patriarchae rebus mentem intendi, et illam combustionem cognovi, et quotquot alia mihi comperta fuerunt; tunc magis mihi cupiditas crevit ad unionem accedendi, praesertim gnaro quod scandalorum invectio ex ambitione coeperit, et in verba rixosa eruperit contentionis atque discordiae. Unde ego patrum dictis adhaerere compulsus, ab his denique ad pacem me deduci cognovi; ab his purius vidi me ad illam trahi spontaneum; ab his intellexi meam confirmari voluntatem. Isti ergo (patres) in medium prodeant; et propriam sententiam dicant, ut posteri nostri agnoscant quibusnam nos excitati, et quibusnam aperte confisi, unionis partes secuti sumus et sequimur: postremo quomodo iis, qui subtilius his rebus contradicebant, abstersa sit voluntaria malitia.

35. Primus itaque praestans Athanasius (ut ex primaria et immobili sacrorum dogmatum basi aureas beato thalamo, ut ait ille, columnas subiiciamus) in sermone qui inscribitur reprehensio simulationis Meletii et Eusebii, qui incipit: homo ad

„ προοδικῶς ὂν ἐκ Θεοῦ δι' υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς λέ-
„ γουσιν.„ Ἐν ᾗ ἐκτίθεται διαλέξει ὀρθοδόξου καὶ μακεδονιανοῦ, φησίν· „ἐὰν
„ οὖν δειχθῇ τῆς αὐτῆς εἶναι φύσεως καὶ Θεότητος τῷ υἱῷ καὶ τῷ πατρὶ τὸ cod. f. 21. a.
„ πνεῦμα, τὸ ἐξ αὐτοῦ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐκχυθὲν, καὶ προσκυνητὸν
„ ἀποδειχθήσεται. „ Ὁ τὴν θεωρίαν οὐρανομήκης μέγας Βασίλειος ἐν ἑνὶ τῶν
κεφαλαίων, οὗ ἡ ἐπιγραφὴ, διὰ τί μὴ καὶ τὸ πνεῦμα υἱὸς τοῦ υἱοῦ, φη-
σίν· „ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ πλῆ-
„ θος ἄπειρον νομισθῇ, υἱοὺς ἐξ υἱῶν ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευ-
„ θεῖσα. „ Καὶ μετ' ὀλίγα· „ διὰ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ πνεῦμα εἶναι,
„ τρανῶς ἐκήρυξεν ὁ ἀπόστολος λέγων *· Τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ ἐλάβομεν· * I. Cor. II. 12.
„ καὶ τὸ δι' υἱοῦ πεφηνέναι, σαφὲς πεποίηκεν, υἱοῦ πνεῦμα ὀνομάσας αὐτὸ,
„ καθάπερ Θεοῦ· καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ πνεῦμα ὡς
„ τοῦ ἀνθρώπου.„ Ὁ τὴν κλῆσιν ἁρμοζόντως τοῖς ἔργοις λαχὼν Γρηγόριος ὁ
Θαυματουργὸς ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ, ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστο-
λικῆς ὁμολογίας, οἱ τὸν υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, φησίν· „ἀγεννήτου μὲν
„ ὄντος τοῦ πατρὸς, γεννηθέντος δὲ τοῦ υἱοῦ ἐκ πατρὸς, τοῦ τε πνεύματος ἐκ
„ τῆς οὐσίας τοῦ πατρὸς δι' υἱοῦ ἀϊδίως ἐκπεμφθέντος. „

λϛ'. Ἀλλὰ τί ταῦτα τάχα ἂν εἴποιεν, οἱ τῶν ἡμῖν ἐχθραινόντων ἀντι-
ποιούμενοι, πρὸς τὴν ἣν ἔθεσθε μετὰ Ῥωμαίων καταλλαγὴν, ἐκπορεύεσθαι
κἀκ τοῦ υἱοῦ κηρυττόντων τὸ πνεῦμα τὸ ἅγιον; ὦ βέλτιστοι, ἡμεῖς ἐκ τοῦ πα-
τρὸς ἐκπορεύεσθαι τὸν παράκλητον δόγμα παραδεδομένον εἰδότες καὶ στέρ-
γοντες ὡσαύτως ἐξ αὐτοῦ φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν καὶ πηγάζειν, καὶ

similitudinem Dei factus est, ait. « Erat autem impossibile in Trinitatis gloria Spiritum glorificari, si non procederet ex Deo per Filium, sed creatura Dei esset, » ut isti dicunt. » Tum in dialogo orthodoxi cum macedoniano ait. « Si ergo demonstrabitur eiusdem esse naturae ac divinitatis cum Filio et Patre Spiritum, qui » ex ipso Patre per Filium profusus est, is adorabilis quoque et colendus comprobabitur. » Ille autem qui contemplatione usque in caelum adsurgit magnus Basilius in uno capitulorum, cui titulus, cur non etiam Spiritus sit filius Filii, ait. « Non quod non sit ex Deo per Filium, sed ne Trinitas multitudo infinita reputetur, » si filios ex filiis, ut inter homines usuvenit, habere eam suspicemur. » Et paulo post. « Quamobrem quod ex Deo quidem sit Spiritus, manifeste praedicavit aposto» lus dicens : Spiritum, qui ex Deo est, accepimus. » Et ex Filio effulsisse, perspi» cuum fecit dicendo ipsum Filii Spiritum, quemadmodum Dei; et mentem Christi « appellando; uti et Dei Spiritum, quemadmodum hominis. » Qui agnomen operibus suis conveniens sortitus est Gregorius thaumaturgus in sermone, cuius est initium: infestissimi et ab apostolica confessione alieni, qui Filium ex non extantibus ortum dicunt, sic ait. « Cum ingenitus sit Pater, genitus sit Filius ex Patre, et Spiritus ex » Patris substantia sit per Filium sempiternaliter emissus. »

36. At enim quid haec (dicent fortasse adversantes inimici nostri) ad illam quam cum Romanis fecistis conciliationem, qui ex Filio quoque Spiritum sanctum esse praedicant? O optimi! Nos quod ex Patre procedat Paraclitus, dogma esse

ἀναβλύζειν, καὶ ὅσα λοιπὰ τοῖς θεολόγοις ἀνδράσιν εἰς παράστασιν ἐλήφθη
τῆς ἐκ πατρὸς ἀϊδίου προόδου τοῦ πνεύματος, εἴτ᾽ οὖν ὑπάρξεως, ἢ καὶ ἐκ-
φάνσεως· οὐδὲ τὸ διὰ τοῦ υἱοῦ φυσικῶς ὑπάρχειν, ἀγνοούμενον ἡμῖν ἐγεγό-
νει, ἀλλὰ καὶ τοῦτο πρὸς τῶν θεοσόφων πατέρων μυηθέντες τρανῶς, ἔτί τε
τὸ δἰ αὐτοῦ προϊέναι καὶ προχεῖσθαι, καὶ ὅσα τοιαῦτα τὴν δἰ υἱοῦ δηλοῦσι
cod. f. 21. b. τοῦ ἁγίου πνεύματος ἀΐδιον πρόοδον, εἴτ᾽ οὖν ἔκφανσιν, ἢ καὶ ἐκπόρευσιν,
ἠσπασάμεθά τε καὶ ἀσπαζόμεθα· καὶ πρὸς τῶν αὐτῶν θείων διδασκάλων ἐν-
τεῦθεν ὁδηγηθέντες, εἰρηνεῦσαι μετὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας ἠρετισάμεθα,
οὐχ ὅσιον κρίναντες, ἐν οἷς ἡ τῆς σημασίας εἰλικρίνεια τὸ σύφωνον παριστᾷ,
διαμάχεσθαι· εἰ γὰρ τὸ δἰ υἱοῦ φυσικῶς καὶ οὐσιωδῶς ὑπάρχειν τὸ πνεῦμα
τὸ ἅγιον κατέχοντες ἀσφαλῶς, οὐ παρ᾽ ἑνὸς ἢ καὶ δύο τῶν θεηγόρων τῆς
ἀληθείας ὑφηγητῶν θεολογηθὲν, ἀλλά παρὰ πάντων ἁπλῶς· εἶτα συντρέχειν
τῷδε τὸ παρὰ Ῥωμαίοις, ὡς ἔφημεν, κηρυττόμενον, πρὸς τῶν αὐτῶν διδαχ-
θέντες, τὸν φίλιον προειλόμεθα, τί τῶν ἀτόπων διεπραξάμεθα; Οἶδα μὲν
οὖν οἶδα, ὡς πολλῶν ἂν ἡμῖν δεήσει λόγων πάσας κατὰ μέρος διαλαβεῖν τὰς
τῶν πατέρων φωνὰς, αἳ τὸ δἰ υἱοῦ συνιστῶσι σαφῶς, καὶ τὰς ἐπ᾽ αὐταῖς ἀν-
τιθέσεις, ὅσαι τὸ κατ᾽ ἀρχὰς παρὰ τῶν ἀντιδιατιθεμένων ἐπιπλακεῖσαι κατήρ-
γηνται· ἐφ᾽ ᾧ καὶ τὸ διελθεῖν ὁλικῶς ἀμφοτέρας ἀφέντες, ἐκείνας τό γε πα-
ρὸν τῶν χρήσεων διαληψόμεθα, τὰς αὐτολεξεὶ κεκτημένας τὸ ἐκπορεύεσθαι·
τοῦτο γὰρ ἴσασι πάντες ἀεὶ περιζήτητον εἶναι τοῖς πρὸς ταῦτα διαγωνιζομέ-
νοις, ἅτε προφάσεις πάσας περιαιροῦν διαφόρων ἑρμηνειῶν, καὶ μόνην ἀποί-
κιλον καὶ ἁπλῆν φυσικῆς καὶ οὐσιώδους ὑπάρξεως παριστάνον σαφήνειαν· εἰ

scientes, pariterque admittentes ex ipso esse naturaliter et substantialiter, et scaturire ac derivare, et quotquot alia vocabula theologi homines usurpant de aeterna Spiritus ex Patre processione, sive existentia, sive etiam effulsione; ne illud quidem ignoramus, quod per Filium (nempe id quoque a theologis patribus liquido edocti) idem proveniat et effundatur; et quotquot huiusmodi vocabula sancti Spiritus denotant aeternam progressionem sive effulsionem, admisimus admittimusque; iisdemque divis magistris ducibus, pacem cum romana ecclesia elegimus; haud pium esse iudicantes, ubi significatûs perspicuitas concordiam suadet, illic depugnare. Nam, si ut per Filium naturaliter et substantialiter existere Spiritum sanctum tute credamus, id non ab uno vel duobus divinorum veritatis interpretum dictum theologice est, sed ab omnibus; cumque huic consentiat, id quod Romani praedicant, ut diximus, nos quidem ex patrum magisterio amicitiam cum illis amplectendo, quid absurdi egimus? Scio equidem scio, longis opus fore sermonibus, si cuncta singillatim patrum enumerare velimus dicta, quae processionem per Filium comprobant; simulque contradictiones apponere quae iam inde ab initio ab adversariis excogitatae sunt et elaboratae. Quamobrem utrasque simul omittentes, illas in praesenti tantum auctoritates recitabimus quae stricte ad litteram continent processionem. Hoc enim omnes sciunt conquisitum ab iis semper fuisse qui de hac re decertarunt, ceu praetextum quemlibet perimens diversarum interpretationum, solamque non variam sed simplicem naturalis et substantialis existentiae sistens notionem: quamvis eam nunc

καὶ νῦν εἰς ὁμωνυμιῶν καὶ τοῦτο συγχύσεις οἱ ἀπεναντίας περιτρέψαι διενοήθησαν, τὴν ἐντεῦθεν ἀντιπαλαμωμένην σφίσιν ἀλήθειαν συνορῶντες, καί τισιν ἐφευρέμασι διανοίας οἰκείας παρακρούσασθαι μηχανώμενοι· ὃ καὶ ἐκφαντικώτερον τοῖς αὐτῷ καταλλήλοις τόποις εἰρήσεται· νῦν δ' αὐτὰς ἐπὶ λέξεων θετέον τὰς προσεχῶς ὑποσχεθείσας ῥήσεις τὰς πατρικάς.

λζ'. Αὐτίκα τοίνυν ὁ κατὰ φερωνυμίαν μέγιστος Μάξιμος, ἐν οἷς ἑρμηνεύει τί δῆτα βούλεται τῷ προφήτῃ Ζαχαρίᾳ ἡ χρυσῆ λυχνία, καὶ τὸ ἐπ' cod. f. 22. a. αὐτῇ λαμπάδιον, καὶ οἱ λύχνοι, φησί· "τὸ γάρ πνεῦμα τὸ ἅγιον ὥσπερ φύ- < PG 90.672 C „ σει κατ' οὐσίαν ὑπάρχει τοῦ πατρός, οὕτω καὶ τοῦ υἱοῦ κατ' οὐσίαν ἐστὶν, „ ὡς ἐκ τοῦ πατρὸς οὐσιωδῶς δι' υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενος.„ Ὁ τὴν δογματικὴν ἐπιστήμην ἀγακλυτὸς Ἰωάννης ὁ δασμασκόθεν, ἐν τῷ τρισκαιδεκάτῳ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων· "τὸ δὲ πνεῦμα τὸ ἅγιον ἡ ἐκ- „ φαντορικὴ τοῦ κρυφίου τῆς θεότητος δύναμις τοῦ πατρὸς, ἐκ πατρός ἐστι δι' „ υἱοῦ ἐκπορευομένη.„ Ὁ θεῖος Ταράσιος ἐν τῇ πρὸς τοὺς ἀρχιερεῖς, καὶ ἱερεῖς Ἀντιοχείας, Ἀλεξανδρείας, καὶ τῆς ἁγίας πόλεως ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, πολλαῖς καὶ μεγάλαις προνοίαις κύριος ὁ θεὸς τοὺς τῶν ἀνθρώπων βίους διευθύνων τε καὶ διεξάγων, μετὰ πολλὰ καὶ ἕτερα φησίν· "καὶ εἰς τὸ πνεῦμα τὸ „ ἅγιον, τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ θεὸν εἶναι γνω- „ ριζόμενον.„ Αὕτη ἡμῖν τρίπλοκος συμμαχία πρὸς ἀποτροπὴν τῶν ἰδίαις ἐπινοίαις καὶ θηρολεξίαις κεχρημένων, καὶ φανέρωσιν τοῦ παντὸς ζητήματος ἀναντίῤῥητον. Καὶ ἦν ἂν μακάριον ἀληθῶς, εἴ γε ταύτας καὶ τὰς εἰς τοῦτο φερούσας λοιπὰς τῶν θεολόγων φωνὰς ἁπλαῖς ἐννοίαις δεχόμενοι, καὶ πρὸς τῶν τοιούτων ἔπειτα διδασκόμενοι, σύμφωνον ὅπως πρὸς ταῦτα τὸ ΕΞ ΑΜ-

inter homonymias confundere ac pervertere tentant, quia hinc iugulantem ipsos veritatem exsurgere cernunt; ideoque nonnullis mentis propriae commentis declinare illam nituntur; quae res evidentius propriis in locis dicetur. Nunc ipsas ad litteram ponere oportet promissas dudum patrum auctoritates.

37. En itaque ille idoneo nomine appellatus Maximus, ubi explanat quid apud prophetam Zachariam significet aureum candelabrum, et imposita illic lucerna, et candelae, ait. « Nam sanctus Spiritus sicut suapte natura substantialiter Patris » est, sic etiam Filii substantialiter est, quatenus ex Patre substantialiter per ge- » nitum Filium ineffabiliter procedit. » Dogmatica scientia clarus Iohannes damascenus in tertio decimo theologicorum suorum capitulo. « Spiritus vero sanctus, qui » arcana deitatis manifestans virtus Patris, ex Patre est per Filium procedens. » Divus Tarasius in sua ad episcopos et presbyteros Antiochiae, Alexandriae, et sanctae civitatis epistola, quae incipit: multis magnisque providentiae curis dominus Deus hominum vitam regens et prosequens; ibi, inquam, post alia multa dicit. « Et » in Spiritum sanctum, qui ex Patre per Flium procedit; quem ipsum pariter Deum » esse cognoscimus. » Haec nobis triplex auxiliarium foederatio adest, ob repellendos eos qui propriis animi motibus et vocabulorum captationibus utuntur, atque ad totius demum quaestionis invictam resolutionem. Atque utinam hae ceteraeque theologorum dictiones eodem pertinentes, simplici animo ab istis admitterentur!

ΦΟΙΝ, ὃ Ῥωμαῖοι διαγορεύουσιν, ἀριδηλότερόν γε καὶ μάλιστα παρ' ἑνὸς τοῦ τῶν ἔγγιστα διαληφθέντων τριῶν, ἐξ ὧν οὗτος πρὸς Μαρῖνον ἐπιστέλλει Κύπρου πρεσβύτερον, οὐ μόνον μεθ' ἡμῶν, ἀλλὰ καὶ μετὰ τῶν ὧν ἡμεῖς εἰς ἑνότητα συνελθεῖν διετέθειμεν, εἰρηνεύειν ἠβούλοντο· ποῦ γὰρ εἰς συγκρότησιν τοῦ οὕτω διατεθῆναι καθαρώτερον ἢ σαφέστερον τῶν ὧν ὁ τοιοῦτος διαλαμβάνει πρὸς τὸν δηλωθέντα πρεσβύτερον, ὡς ἂν τὰ τοῦδε τῶν ἄλλων προανακρούσωμαι; καὶ τί φησι; "τῶν τοῦ νῦν ἁγιωτάτου Πάπα συν-
,, οδικῶν, οὐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις, οἱ τῆς βασιλίδος
cod. f. 22. b. ,, τῶν πόλεων ἐπελάβοντο· δυσὶ δὲ μόνοις, ὧν τὸ μὲν ὑπάρχει περὶ θεολο-
,, γίας, ὅτι τε εἶπεν ἐκπορεύεσθαι κἀκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· τὸ δ'
,, ἄλλο περὶ τῆς θείας σαρκώσεως ὅτι περ γέγραφε δίχα τὸν κύριον εἶναι
,, τῆς προπατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον· καὶ τῷ μὲν πρώτῳ συμφώνους
,, παρήγαγον χρήσεις τῶν ῥωμαίων πατέρων· ἔτι δὲ Κυρίλλου Ἀλεξανδρείας
,, ἐκ τῆς πονηθείσης εἰς τὸν εὐαγγελιστὴν αὐτῷ Ἰωάννην ἱερᾶς πραγματείας·
,, ἐξ ὧν οὐκ αἰτίαν τὸν υἱὸν ποιοῦντας τοῦ πνεύματος σφᾶς ἑαυτοὺς ἀπέ-
,, δειξαν· μίαν γὰρ ἴσασιν υἱοῦ καὶ πνεύματος τὸν πατέρα αἰτίαν, τοῦ μὲν
,, κατὰ τὴν γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν, ἀλλ' ἵνα τὸ δι' αὐτοῦ
,, προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον
,, παραστήσωσι.,, Ποῦ τούτων ἁπλοϊκώτερον εἰς παραδοχὴν ὅλως, ἢ διαυγέστερον; ὁ πάμμεγας οὗτος πατὴρ, ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα διαῤῥήδην βοᾷ, καὶ τῶν ἐξ ἀμφοῖν ἐκπορεύεσθαι φθεγγομένων, αὐτὸς οὕτως ἀντέχεται κραταιῶς, καὶ ὑπεραπολογεῖται στεῤῥῶς· καὶ ἣν ἂν ὡς ἔφην

et harum consonantiam cum illa EX AMBOBUS quam Romani pronunciant, a patribus condiscentes, clarius tamen ab uno praesertim trium illorum traditam quos nuper nominavimus (est enim hic qui ad Marinum Cypri presbyterum scribit) non nobiscum solum, sed et cum illis quibuscum nos coalescere decrevimus, pacem vellent conservare! Quid enim clarius aut evidentius ad concordiam suadendam, quam illa quae iste ad praedictum scribit presbyterum, ut verba eius prae ceteris ac primo adscribam? Quid ergo ait? « Hodierni sanctissimi Papae synodicas litteras ne-
» quaquam cum totidem, quot scripsistis, capitulis regiae urbis clerus recepit; sed
» cum duobus tantummodo, quorum alterum theologicum est, quod nempe dicit
» procedere etiam ex Filio Spiritum sanctum; alterum est de incarnatione, in quo
» scribit, fuisse absque originali peccato Dominum in humanitate. Et priori quidem
» capitulo consonas proferebant romanorum patrum auctoritates, itemque Cyrilli
» alexandrini ex elaboratis ab eo in evangelistam Iohannem sacris commentariis; ex
» quibus ostendebant non se facere Filium Spiritûs causam; etenim unam esse sciunt
» Filii et Spiritus causam Patrem; illius quidem per generationem, huius autem
» per processionem; sed ut vocabulum declararent processionis, et hunc substantia
» coniunctum planeque similem adsererent. » Quid hac dictione simplicius, et assensu dignius aut splendidius? Summus hic pater ex Patre per Filium procedere Spiritum sanctum aperte clamat; et iis qui ex ambobus procedere dicunt valide patrocinatur, fortiterque eos defendit. Et utinam quidem, ut dixi, secundum aliorum

μακαριστὸν, εἰ κατὰ τὰ τῶν ἑτέρων πατέρων καὶ ταῦτα δὴ τὰ τούτου θεοκρότητα λόγια, ἃ πρὸς ἕνα καὶ τὸν αὐτὸν ἐκείνοις ἀποτείνεται νοῦν, τὸ μῖσος οἱ ἀντικαταστάντες μεταμεῖψαι πρὸς διαλλαγὰς φιλίους προῄρηντο· πέπεισμαι γὰρ ὡς εἰ πρὸς τοῦτ᾽ εἶχον ἐπιῤῥεπῶς, οὐκ ἂν ἐναργεστέρων ἐδεήθησαν λόγων εἰς ἁπλῆν καὶ ὁμολογουμένην ἀληθείας ἀνάπτυξιν.

λη΄. Ἐπεὶ δὲ τὸ πρὸς τοιοῦτόν τι ἐπιδεῖν ὅλως σφίσιν ἀβούλητον, τὸ γὰρ ἀντίθετον περισπούδαστον, τὸ μὴ μόνον ἡμῖν ἐκπολεμῶσαι τοσοῦτον ἔθνος χριστιανικὸν ἀκατάλλακτα, ἀλλὰ καὶ τοὺς οἰκείους κατ᾽ ἀλλήλων ὁπλίσασθαι, καὶ παρὰ ταῦτα οὐκ ἀδυσώπητον τὸ τὰς ἐκφαντικωτέρας τῶν λέξεων διαστρέφειν, ἑτέρων τε τὸν κατάδηλον νοῦν συνθολοῦν, καὶ πρὸς τὸν οἰ- cod. f. 23. a. κεῖον μεταλλάττειν σκοπὸν τὴν σφετέραν ὡς ἂν κακίαν ἐκπλήσαιεν, φέρε τῆς ἰδίας ἡμεῖς προθέσεως ἐξεχόμενοι ἁπλοικῶς καὶ ἀπεριέργως ἐκ τῶν ἐπιλοίπων, καὶ ἔτι τῆς ἐκκλησίας προβόλων τῶν κοινῶν ἡμῶν διδασκάλων καὶ κηδεμόνων, τοῖς προρηθεῖσι δείξωμεν ἀκολούθως σύνδρομον ταῖς αὐτῶν θεοσόφοις ὑψηγορίαις τὸ παρὰ Ῥωμαίοις ΕΞ ΑΜΦΟΙΝ πρεσβευόμενον· δείξωμεν δὲ τὴν τοῦ υἱοῦ μεσιτείαν ἐπὶ τοῦ μέσου παραγαγόντες, καὶ αὐτὸν μὲν τὴν ἐκ πατρὸς φυσικὴν καὶ ἀΐδιον πρόοδον προσεχῶς καὶ ἀμέσως, δι᾽ αὐτοῦ 1) δὲ τὸ πνεῦμα τὸ ἅγιον ἔχειν γνωρίσαντες, δόγμα τοῖς θεοφόροις πατράσιν ἀρχῆθεν δογματισθὲν, καὶ διευκρινηθὲν καθαρῶς, οὐκ οἶδα δ᾽ ὅπως τοῖς νῦν ἀθετούμενον· οὐ γὰρ ἀπεικός μοι διαπορεῖσθαι καὶ τεθηπέναι πρὸς οὕτω φανερᾶς θεολογίας ἀθέτησιν, ἣν ἔδει τοὺς ἀθετοῦντας δι᾽ οὐδὲν ἕτερον ἢ τὸ μὴ ἐντεῦθεν ἀναφανῆναι τὴν μετὰ Ῥωμαίων ὁμόνοιαν εὐπαράδεκτον, ἐπείπερ

patrum dicta, et huius quoque divina effata, quae ipsimet ad unum eundemque sensum dirigunt, odium suum adversarii in amicam conciliationem vertere voluissent! Confido enim, quod si huc animum inclinassent, evidentiore oratione non indigerent ad simplicem confessamque veritatis explicationem.

38. Nunc quia isti nihil omnino hac in re discere volunt, nam contraria sententia plane placet; nempe ut non solum implacabiliter inimicam nobis faciant talem tantamque christianam gentem, sed et nostros inter se armatos committant; propterea-que non pudet eos clarissima dicta pervertere, et aliorum quoque perspicuorum sensum obscurare, atque ad proprium scopum pertrahere, ut suam expleant malitiam; age sis proposito nostro insistentes, simpliciter ac sine ullo artificio ex reliquis item ecclesiae optimatibus, communibusque nostris magistris et curatoribus, praedictis adversariis ostendamus, recte congruere cum illorum theologicis praedicamentis illud quod Romani adfirmant EX AMBOBUS. Demonstremus autem Filii mediationem interponentes; et ipsum quidem naturaliter et sempiternaliter ex Patre provenientem contigue et immediate: per Filium autem existentiam sortiri Spiritum sanctum cognoscimus; dogma scilicet antiquitus a divis patribus pronunciatum et pure expositum, sed nescio quomodo a neotericis abolitum. Non enim absum a dubitando ac demirando de tam manifesta theologiae abolitione, quam factam oportet a deletoribus haud aliam ob causam, nisi ut hinc constaret, concordiam cum Romanis

1) Videtur scribendum δι᾽ υἱοῦ.

οὐκ ἔχουσι πατρικαῖς χρήσεσιν ἀπελέγξαι, κἂν μυρίας τούτων στρεβλώσεις ἐπιτεχνάσωνται, ἀνθελέσθαι τὸ δι' ὃ ταύτην ἀθετεῖν κατεπείγονται· ἀλλ' οὐδὲν σφίσι, καὶ τῇ κατὰ θεὸν εἰρήνῃ κοινὸν, ἅπαξ κατ' αὐτῶν δὴ τῶν διειλημμένων, καὶ τῶν οἰκείων ἀναῤῥιπίσασι πόλεμον· ἡμεῖς δ' ὅτι μοι τὰ διαγγελθέντα πέφυκεν ἀκραιφνῆ, τοὺς ἀκραιφνεῖς τούτων κήρυκας παραστήσομεν, οἳ καὶ προηγουμένως τὸ πρὸς τὸν πατέρα τοῦ υἱοῦ προσεχές τε καὶ ἄμεσον σαφηνίσουσιν· εἶθ' οὕτω καὶ τὸ ὑποσχεθὲν ἐφεξῆς.

λθ'. Ἡ στεῤῥὰ τοιγαροῦν βάσις τῆς εὐσεβείας, ὁ κλεινὸς καὶ μέγας Βασίλειος ἐν τῷ δευτέρῳ τῶν πρὸς Εὐνόμιον, οὗ ἡ ἀρχὴ, ἐν τοίνυν τοῖς περὶ τοῦ θεοῦ τῶν ὅλων λόγοις, φησίν· " ἀρχὴ μὲν τοῦ πατρὸς οὐδεμία, ἀρχὴ
cod. f. 23. b. ,, δὲ τοῦ υἱοῦ ὁ πατήρ· μέσον τούτων οὐδέν· πῶς οὖν οὐκ ἦν τὸ ἐξ ἀρχῆς, ,, ὁ μηδὲν ἔχων προεπινοούμενον ἑαυτοῦ, εἰ μὴ τὸν ἐξ οὗ ἔχει τὸ εἶναι, οὐ ,, διαστήματι ὑπερέχοντα ἀλλὰ τῇ αἰτίᾳ προτεταγμένον; εἰ τοίνυν ἀΐδιος ἡ τοῦ ,, υἱοῦ κοινωνία πρὸς πατέρα καὶ θεὸν ἀναπέφανται, τῆς διανοίας ἡμῶν ἀπὸ ,, τοῦ υἱοῦ δι' οὐδενὸς κοινοῦ πρὸς τὸν πατέρα χωρούσης, ἀλλ' ἀδιαστάτως ,, τῷ πατρὶ τὸν υἱὸν συναπτούσης, ὁ μηδενὶ μέσῳ διοριζόμενος, τινὰ ἔτι ,, παρείσδυσιν καταλίπῃ πονηρᾷ αὐτῶν βλασφημίᾳ;,, Ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, ὅσον ἠνίασε πρότερον φήμη λυπηρὰ, φησίν· " εἰ ,, γὰρ ἀνώτερον θεοῦ τὸ πνεῦμα, οὐκ ἐκ τοῦ θεοῦ· εἰ δὲ ἐκ τοῦ θεοῦ, ,, πῶς πρεσβύτερόν ἐστι τοῦ ἐξ οὗ ἐστιν; ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότε- ,, ρον· οὐδὲν γὰρ μέσον υἱοῦ καὶ πατρός.,, Ὁ τηλεφανὴς τῶν Νυσσαέων φωστὴρ Γρηγόριος ὁ πολὺς ἐν ὀγδόῳ τῶν πρὸς Εὐνόμιον λόγῳ, οὗ ἡ ἀρχὴ,

minime esse probandam; quandoquidem eam nequeunt patrum auctoritatibus improbare, etiamsi sexcentis fidiculis ad eam convellendam nitantur. Sed enim nihil commune his cum pace Dei, quandoquidem contra eos quos diximus, et contra suos bellum susceperunt. Nobis autem quoniam ea sunt vera, veraces eorumdem praecones coram sistemus, qui in primis Filii cum Patre immediatum nexum ostendent. Deinde et reliqua promissa faciemus.

39. Igitur firma illa religionis basis, magnus et inclytus Basilius, in secundo adversus Eunomium sermone, cuius est initium: in sermonibus ergo de omnium Deo, ait. « Patris quidem principium nullum, principium vero Filii Pater, inter » hos nihil medium. Quomodo ergo non fuerit ille a principio, qui nihil habet » excogitabile ante se, nisi illum a quo existentiam habet, non distantia temporis » superantem, sed causae tantum ratione praepositum? Si ergo sempiterna apparet » Filii cum Patre coniunctio, mente scilicet nostra a Filio nullo interposito medio » ad Patrem conscendente, et inseparabiliter Patri Filium copulante; qui nullo in- » termedio disterminatur, quam relinquet horum malae blasphemiae rimam? » Item in epistola ad canonicas, quae incipit: quantum primo molestiae attulit tristis fama, dicit. « Si enim antiquior est Deo Spiritus, iam non est ex Deo. Quod si non » ex Deo, quomodo antiquior est illo a quo est? Sed ne Unigenito quidem prior » est; nihil enim inter Filium ac Patrem medium est. » Longe relucens Nyssenorum luminare praestans ille Gregorius in octavo adversus Eunomium sermone, cuius est

τὰ μὲν οὖν ἰσχυρὰ τοῦ Εὐνομίου τοιαῦτα, φησίν· "οὐδὲ γὰρ ἡ ἄμεσος αὕτη „ συνάφεια ἐκβάλλει τὴν βούλησιν τοῦ πατρὸς, ὡς κατά τινα φύσεως ἀνάγ- „ κην ἀπροαιρέτως τὸν υἱὸν ἐσχηκότος.„ Καὶ μετά τινα· "ἄμεσός ἐστιν ἡ τοῦ „ υἱοῦ πρὸς τὸν πατέρα συνάφεια, καὶ οὐκ ἐξωθεῖται ὑπὸ τῆς ἀδιαστάτου „ συναφείας τὸ βούλημα, τὸ τῇ ἀγαθῇ φύσει ἐκτὸς ἐνυπάρχον.„ Ὁ θεοῤῥή- μων καὶ θεσπέσιος Κύριλλος ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ πρώτου τῶν θησαυ- ρῶν, φησίν· "γεννᾷ ὁ πατὴρ τὸν υἱὸν ἀμεσιτεύτως.„ Εἰς τὸ ῥητὸν τὸ, οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην· "ἀμέσως καὶ „ προσεχῶς ἐστιν ὁ υἱὸς ἐν θεῷ καὶ πατρί.„ Εἰς τὸ ῥητὸν τὸ, πάντα δι' αὐτοῦ ἐγένετο· "συνεῖναι δὲ τῷ υἱῷ τὸν πατέρα νοοῦμεν, διὰ τὸ ἀπαράλλακτον „ τῆς οὐσίας· καὶ τὸ ἄκρως προσεχές τε καὶ ἄμεσον αὐτοῦ, πρὸς τὸ ἐξ αὐ- „ τοῦ φυσικῶς προελθόν.„ Ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν· "ἑπόμενοι τοίνυν „ τῇ τῶν ἱερῶν πίστει γραμμάτων, καὶ οἱονεὶ τὴν ἀτριβῆ τοῖς σοφοῖς ἁμα- „ ξιτὸν διαστείχοντες, δύναμιν τοῦ θεοῦ καὶ πατρὸς αὐτὸν εἶναι λέγομεν „ τὸν υἱὸν, ἀμέσως τε ἅμα καὶ προσεχῶς.„ Οὗτος ἡμῖν ἔρανος ἐκ πολλῶν cod. f. 24. a. οὐκ εὐαριθμήτων εἰς τράνωσιν τοῦ ἐκ πατρὸς τὸν υἱὸν ὑπάρχειν ἀμέσως καὶ προσεχῶς.

μ'. Ἑπόμενον δ' ἂν εἴη τὸ πανσθενὲς πνεῦμα δι' υἱοῦ δεῖξαι τεθεο- λογημένον, ὡς προεθέμεθα· καὶ τοῦτο πάντως ἀναμφίλεκτον ἐξ ὧν γραφικῶν χρήσεων ἀνωτέρω προδιειλήφαμεν. Ἐκεῖνο δὲ τούτοις κατάλληλον εἰς διάσκε- ψιν, εἰ προσεχῶς καὶ τὸ πνεῦμα διηκρινημένον ἐστὶν ἐκ τοῦ πατρὸς, καὶ μη- δὲ διαφέρει προσεχῶς εἰπεῖν τε καὶ δι' υἱοῦ, ὃ τοῖς ἐναντιουμένοις δοκεῖ,

initium: et valida quidem Eunomii argumenta haec sunt, ait. « Neque enim haec im- » mediata coniunctio excludit Patris voluntatem, quasi naturali quadam necessitate » absque libera voluntate filium habuerit. » Et paulo post. « Immediata est Filii cum » Patre coniunctio; neque tamen excluditur ab hac inseparabili copula voluntas, quae » bonae naturae ab extra inest. » Deiloquus venerandusque Cyrillus in uno capitulo- rum primi thesaurorum libri, ait. « Generat Pater Filium immediate » Tum ad illud dictum: hoc erat in principio apud Deum, in explanatione evangelii Iohannis «imme- » diate, inquit, et proxime Filius est in Deo et Patre. » Et ad dictum: omnia per ip- sum facta sunt «coëxistere autem cum Filio Patrem intelligimus, propter substantiae » paritatem, et propter summam immediatamque cum proveniente ex se naturaliter » cohaerentiam. » In sexto cum Hermia dialogo: « sequentes itaque sacrarum scri- » pturarum fidem, et quasi vehiculari sapientium viae insistentes, Dei patris vir- » tutem ipsum dicimus esse Filium, proxime inquam et nullo intermedio. » Haec nobis symbola confit ex multis nec facile numerabilibus auctoritatibus, ob osten- dendum quod ex Patre proxime et immediate Filius sit.

40. Nunc sequitur ut omnipotentem Spiritum per Filium divinitatis esse com- potem, uti proposuimus, demonstremus: quod quidem indubitabile fit ex illis Scri- pturae auctoritatibus, quas iam superius retulimus. Illud autem his est consenta- neum, ut consideremus, num immediate Spiritus quoque ex Patre esse intelligatur, nihilque differat si immediate dicatur etiam per Filium, quod adversariis videtur.

ἀλλ' οὐκ ἂν ἄμφω συνέλθοιεν· εἰ δὲ μὴ δότωσαν οὗτοι, ἢ ἀμφότερα τινὶ τῶν θεηγόρων εἰρημένα ἐπὶ τοῦ πνεύματος, ἢ αὐτὸ δὴ μόνον τὸ προσεχῶς εὑρημένον, ὥσπερ σάφα λελεγμένον ἐστὶν ἐπὶ τοῦ υἱοῦ, καὶ ἡμεῖς ὑποκύψομεν, μηδὲν ἄλλο ἢ τὰ τοῖς θείοις διηρμηνευμένα πατράσιν ἐνστερνιζόμενοι, ὅλως δὲ μὴ ἔχοντες δοῦναι τὸν, ἢ ἄμφω, ἢ ἰδίᾳ τὸ ἕτερον τὸ προσεχῶς δογματίζοντα, ὅτι μηδέ τινι τῶν ἁπάντων διηγορευομένον ἐστί· τὸ γὰρ λοιπὸν ἀναμφίβολον· ἵνα τί πρὸς οὕτω δήλην ἀλήθειαν ἀντιβαίνουσιν; ὅταν δὲ πρὸς τῷ μὴ δύνασθαι τὸ παράπαν τὴν ἑκατέρων εὑρεῖν ἐπὶ τοῦ πνεύματος συμπερίληψιν, μήτε μὴν ἰδιαζόντως τὸ ἕτερον δηλονότι τὸ προσεχῶς, καὶ τὸ διάφορον τούτων παρὰ τῶν ἁγίων διατρανούντων ἀκούοντες συνιέναι οὐ πείθονται, ἆρ' οὐ κατὰ τῆς ἀληθείας μεμήνασιν; ἀλλ' ἡμεῖς τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου μαθόντες, τὸν υἱὸν δηλαδή· τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ θεῖον πνεῦμα καὶ παναλκὲς, διαφορὰν ἀμφοῖν τοῦτο, κατὰ τὸν εἰρηκότα θεοπνεύστως οἴδαμεν καὶ πιστεύομεν, καὶ οὔποτ' ἂν φαίημεν ἀδιάφορον· κἀπειδὴ τόδε διωμολογημένον ἐστὶν, οὐκ ἀμφίβολον πάντως ὡς ἡ ΔΙ ΥΙΟΥ φωνὴ φυσικῆς ἔχει δήλωσιν μεσιτείας ἐπὶ τῇ ἐκ πατρὸς ἐκπορεύσει τοῦ

Cod. f. 24. b. πνεύματος, καὶ ὁ εὐγνωμονῶν εἴσεται παρευθὺς, καὶ μακρὰν ἔσεῖται τοῦ ἀντιφέρεσθαι. Οἱ δέ γε δι' ὅλου στέργοντες τὸ ἀντικαθίστασθαι καὶ τὴν φυσικὴν τήνδε μεσιτείαν, καὶ τὸ εἰλικρινὲς προσέτι τῆς τάξεως ἀπαρνεῖσθαι οὐκ ἀναβάλλονται, ἃ πρὸς τοῖς ἔγγιστα διευλυτωθεῖσι μιᾶς καὶ τῆς αὐτῆς ὄντα σειρᾶς, καὶ τοῖς θεοφόροις ἐπὶ τῆς Τριάδος εἰλημένα θεοπρεπῶς, τὴν ὅπως ἔχουσι πρὸς ἄλληλα τὰ πρόσωπα σχέσεως φυσικῆς καὶ ἐκφάνσεως παριστῶσι διαύγειαν· οἱ δὲ μὴ χρῆναι λέγειν ἐπὶ τῆς Τριάδος τάξιν, φασὶν ὡς

Atqui nequaquam ambo haec concurrunt. Quod si isti non concedant, vel utrumque scilicet ab aliquo divinorum patrum de Spiritu fuisse dictum, vel immediatum solum comperiri, prout manifeste dictum est de Filio, et nos fasces submittimus, quippe qui nihil aliud quam quod a divis expositum est patribus, admittimus; nec ullum prorsus exhibere possumus, qui vel utrumque vel seorsum alterum, immediatum definiat, quia nemo prorsus id docuit. Nam reliquum indubitatum est. Cur ergo adversus tam perspicuam veritatem incedunt? Quia vero non queunt omnino utriusque invenire in Spiritu complexionem, neque seorsum alterum id est immediatum; et horum differentiam a sanctis explanatoribus audientes nolunt intelligere, nonne omnino adversus veritatem insaniunt? Nos vero immediatum ex primo edocti, Filium scilicet; ex primo autem immediato divinum omnipotentem Spiritum: differentiam scilicet amborum esse hanc, iuxta illud ab inspirato viro dictum, scimus et credimus, neque unquam id indifferens esse dicemus. Et quia hoc in confesso est, omnino fit indubitatum, dictionem PER FILIUM naturalis habere mediationis notionem in Spiritus a Patre processione. Et qui aequo animo sit, id statim agnoscet, atque ab adversando longe aberit. At vero ii qui contradicendi studiosi sunt, tum hanc naturalem mediationem, tum praeterea ordinis evidentiam negare non cunctabuntur; quae praeter cetera proxime explicata, quae eiusdem seriei sunt, et ab inspiratis patribus Deo digne tractata, quomodo personarum naturalis relatio

ὑπὲρ τάξιν οὔσης τε καὶ νοουμένης ἁπλῶς, καὶ πολλὰ τὰ ἐντεῦθεν πλάττουσιν ἄτοπα.

μα'. Ἡμεῖς δὲ πρὸς μὲν τὴν τοῦ υἱοῦ μεσιτείαν ἀρκοῦντα διαλαβόντες ἐξ ὧν προδιαχαράξαμεν, τὸ φωτοφανὲς καὶ ἔτι ταύτης παρακατιόντας ἐκθήσομεν· νῦν ὅ τι ἂν εἴποιμεν περὶ τάξεως οὕτως ἀποσοβουμένης διαφανῶς, εἰ τὸ πρὸς αὐτὴν ὑπεροχικῶς ἔχειν τὴν ὑπερκειμένην Τριάδα λαμβάνοντες, τάξιν ἐπ' αὐτῆς ἐντεῦθεν οὐδοπωσοῦν παραδέχονται, τί καὶ πρὸς πᾶν ἕτερον ἐπ' αὐτῆς καὶ λεγόμενον καὶ νοούμενον δράσαιεν, ἐπειδὴ πρὸς πάντα τὸ ὑπερεξῃρημένον αὐχεῖ, καὶ οὐκ ἔστιν οὐδὲν τῶν ἡρμοσμένων αὐτῇ θεολογικῶς, πρὸς ὃ μὴ ἐστί τε καὶ λέγεται καθὸ ὑπεροχήν; ἆρα καὶ τῶν ἁπάντων ἀργίαν καταψηφίσονται; καὶ εἰ τοῦτο, πάντως ἂν πρὸς τοῖς ἄλλοις, καὶ αὐτό τὸ θεὸν εἶναί τε καὶ ὀνομάζεσθαι τὴν ὑπερφυῆ Τριάδα περιαιρήσωσιν· ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐδὲ γὰρ τὸ ὑπερανῳκισμένον αὐτῆς πρὸς ἅπερ ἐστί τε καὶ λέγεται, ἤδη σφῶν ἀναίρεσιν ὑποτίθησιν· ἀλλ' ὅτι μὲν ἔστι θεὸς ἡ Τριὰς τρανῶς ὁμολογεῖται καὶ καταγγέλλεται, ὅτι δ' ὑπὲρ πάντας τοὺς ὁπωσδήποτε τῇ Γραφῇ λεγομένους θεοὺς, καὶ ὑπέρθεος ὀνομάζεται, καὶ ὅτι μὲν ἐστὶν οὐσία καὶ φῶς, λαμπρῶς ἀνακηρύττεται καὶ πιστεύεται, ὅτι δ' ὑπὲρ πᾶσαν οὐσίαν καὶ φῶς ἅπαν αἰσθητόν τε καὶ νοητὸν, καὶ ὑπέρφως ἀνυμνεῖται καὶ ὑπερούσιος. Καὶ τούτων διδάσκαλος ἀψευδὴς ὁ οὐρανοφάντωρ καὶ σοφὸς Διονύσιος, (cod. f. 25. a.) ὃς τὰ περὶ τῶν τοιούτων γράφων λεπτομερῶς, τὰς ἀποφάσεις ἐπὶ θεοῦ καὶ στερήσεις ὑπεροχικὴν ἔμφασιν ἔχειν θεολογεῖ· "φῶς, φησὶ, καὶ οὐ φῶς, „ ὡς ὑπέρφως ὑμνολογούμενος· ζωή τε καὶ ἄζωος, ὡς ὑπὲρ ζωὴν εὐφημού-

et effulsio se habeat declarant. Illi autem negant oportere in Trinitate ordinem dici, ceu quae sit supra ordinem et ita prorsus intelligatur: et hinc absurda multa confingunt.

41. Nos vero ad Filii mediationem stabiliendam satis argumentorum ex iis, quae diximus, habentes, effulsionem quoque huius progredientes exponemus. Nunc quid dicamus de ordine tam manifeste excluso, si ii qui superiorem cuilibet ordini Trinitatem esse praesumunt, ordinem nullum idcirco admittunt? Quid vero censebunt de qualibet alia re, quae in Trinitate dicatur vel cogitetur, quandoquidem illa rei omni superior est; nullumque eius theologicum attributum vel est vel de ea praedicatur, quod nonnisi superlativo sensu intelligatur? Num ergo abolenda omnia decernent? Quod si fiat, praeter cetera, ipsam quoque divinitatem et esse et dici in supernaturali Trinitate vetabunt. Sed non ita hercle res se habet: neque enim eius sublimitas supra omne quod est et de ea praedicatur, horum attributorum extinctionem suadet. Nam quod Deus sit Trinitas, pure confitemur et praedicamus: quia vero supra omnes est, qui quomodocumque in scripturis dicuntur dii, hypertheos appellatur. Et quod sit substantia et lux, clare praedicatur et creditur; quia vero supra omnem substantiam omnemque lucem sensibilem et intelligibilem est, superlucida decantatur et supersubstantialis. Rerum harum verax magister est, caelorum interpres sapiensque Dionysius, qui de his subtiliter scribens, adfirmationes in Deo itemque negationes eminentem emphasim habere theologice dicit. «Lux, inquit, et non lux; ceu luce supe-

„ νος.„ Οὕτω καὶ τάξιν οἴδαμεν ἐπ' αὐτοῦ, καὶ τὸ ὑπὲρ τάξιν ὁμολογοῦμεν· ὥσπερ καὶ παρελάβομεν· καὶ ὅτι μέν ἐστιν αὕτη, καὶ λέγεται παρ' ἡμῶν καὶ πιστεύεται· ὅτι δ' ὑπὲρ πᾶσαν τὴν καθ' ἡμᾶς, καὶ ὑπὲρ τάξιν εἶναι τὸ θεῖον ἀνακηρύττεται· οἱ δὲ φύσεων ὑπεροχὰς, καὶ μειώσεις, καὶ προβιβασμοὺς ἐντεῦθεν χρόνων, καὶ ὑποβιβασμοὺς ἐπιπλέκοντες, ἐπιπλεκόντων καὶ διαβαλόντων ὡς βούλονται. οὐ φροντὶς μετὰ τῶν ταῦτα παραδόντων οὕτω φρονεῖν καὶ παῤῥησιάζεσθαι.

μβ'. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; αὐτῶν παρόντων αὐτόχρημα ταῖς οἰκείαις φωναῖς καὶ διασαφούντων ἐπὶ τῆς ὁμοουσίου Τριάδος τὰ περὶ τάξεως; ἐξ ὧν ὁ τὴν γλῶτταν χρυσοῦς ἐν μιᾷ τῶν ὁμιλιῶν αὐτοῦ, τῇ εἰς τὸ ῥητὸν τοῦ Ἀβμαὰμ τὸ λέγον, θὲς τὴν χεῖρα σου ἐπὶ τὸν μηρόν μου, τάδε φάσκει περὶ αὐτῆς· "λέγεται γὰρ μὴ ἔχειν τάξιν ἡ Τριὰς, οὐχ ὡς ἄτα-
„ κτος, ἀλλ' ὡς τάξιν ὑπερβαίνουσα.„ Ἡ κρηπὶς τῶν δογμάτων, ὁ τῆς ἀθανασίας ἐπώνυμος, ἐν τοῖς πρὸς Σεραπίωνα φησί· "τοιαύτην δὲ τάξιν καὶ φύ-
„ σιν ἔχοντος τοῦ πνεύματος πρὸς τὸν υἱὸν, οἵαν ὁ υἱὸς ἔχει πρὸς τὸν πα-
„ τέρα, πῶς ὁ κτίσμα τοῦτο λέγων, οὐ τὸ αὐτὸ περὶ τοῦ υἱοῦ ἐξ ἀνάγκης
„ φρονήσει;„ Ἐν τῇ πρὸς αὐτὸν περὶ τοῦ ἁγίου πνεύματος ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, τὰ γράμματα τῆς σῆς ἱερᾶς διαθέσεως ἀπεδόθη μοι ἐν τῇ ἐρήμῳ, φησί·
" καὶ γὰρ εἰ διὰ τὴν πρὸς τὸν πατέρα τοῦ λόγου ἑνότητα οὐ θέλουσιν εἶ-
cod f. 25. b. „ ναι τῶν γενητῶν αὐτὸν τὸν υἱὸν, διά τι τὸ πνεῦμα τὸ ἅγιον τὸ τὴν αὐτὴν
„ ἔχον ἑνότητα πρὸς τὸν υἱὸν, ἣν αὐτὸς ἔχει πρὸς τὸν πατέρα, κτίσμα λέ-
„ γουσι; καὶ ἠγνόησαν ὥσπερ μὴ διαιροῦντες τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς,
„ σώζουσι τὸν ἕνα θεὸν εἶναι, οὕτω διαιροῦντες ἀπὸ τοῦ λόγου τὸ πνεῦμα,

» lebratus: vita simul et non vita, ceu supra vitam commendatus.» Sic et ordinem in eo confitemur, sicut et traditione accepimus: et quod sit et dicatur, a nobis creditur; quia vero supra omnem humanum ordinem est, ideo Deus supra ordinem praedicatur. Qui autem naturarum sublimitates et deminutiones, ideoque et temporum incrementa et decrementa nectunt, nectant sane et obiiciant prout volunt: non est cura nobis cum ita docentibus sentire pariter et audere.

42. Sed quid opus est plura dicere, cum ilico occurrant qui propriis vocabulis ordinem in consubstantiali Trinitate demonstrant? Quos inter chrysoglossus in una homiliarum suarum ad illud Abrami dictum: pone manum tuam super femur meum; haec de praedicto ordine ait. « Dicitur enim non habere ordinem Trinitas, non quod sit inordi-
» nata, sed quia ordinem superat.» Dogmatum basis, qui ab immortalitate nomen habet in capitulis ad Serapionem ait. « Talem autem ordinem naturamque quum Spiritus
» relate ad Filium habeat, qualem Filius ad Patrem, quomodo qui Spiritum creaturam
» dicat, non idem de Filio necessarie iudicet? » Et in epistola ad eundem de Spiritu sancto, quae incipit: sacrae tuae amicitiae epistola tradita mihi fuit in deserto, ait.
« Nam qui propter unitatem Verbi cum Patre, nolunt ipsum Filium esse facturam,
» cur Spiritum sanctum, qui habet eandem cum Filio unitatem, quam cum Patre
» Filius, creaturam dicunt? Et ignorant, quod sicut non dividentes a Patre Filium,
» unum Deum esse conservant, ita si dividant a Filio Spiritum, iam non servant

,, οὐκέτι μίαν τὴν ἐν Τριάδι θεότητα σώζουσι.,, Καὶ μετὰ πολλά· “ ἑνὸς γὰρ
,, ὄντος υἱοῦ τοῦ ζῶντος λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγια-
,, στικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις γε
,, ἐκ πατρὸς λέγεται ἐκπορεύεσθαι· ἐπειδὴ παρὰ τοῦ λόγου τοῦ ἐκ τοῦ πα-
,, τρὸς ὁμολογουμένου ἐκλάμπει καὶ ἀποστέλλεται, καὶ δίδοται· ἀμέλει ὁ
,, μὲν υἱὸς παρὰ τοῦ πατρὸς ἀποστέλλεται, ὁ δὲ υἱὸς τὸ πνεῦμα ἀποστέλλει.,,

μγ. Ὁ τὸν ἀπορρήτων ὑφηγητὴς μέγας Βασίλειος, ἐν τῷ ἑπτακαιδεκάτῳ
τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίων φησίν· “ ὡς τοίνυν ἔχει ὁ υἱὸς πρὸς τὸν
,, πατέρα, οὕτω καὶ τὸ πνεῦμα πρὸς τὸν υἱὸν, κατὰ τὴν ἐν τῷ βαπτίσματι
,, παραδεδομένην τοῦ λόγου σύνταξιν· εἰ δὲ τὸ πνεῦμα τῷ υἱῷ συντέτακται,
,, ὁ δὲ υἱὸς τῷ πατρὶ, καὶ τὸ πνεῦμα τῷ πατρὶ δηλονότι.,, Ἐν τῷ ὀκτω-
καιδεκάτῳ τῶν αὐτῶν κεφαλαίων· “ ἓν δὲ καὶ τὸ ἅγιον πνεῦμα, δι' ἑνὸς τῷ
,, ἑνὶ πατρὶ συναπτόμενον.,, Καὶ μετά τινα· “ ἡ τοίνυν ὁδὸς τῆς θεογνωσίας
,, ἀπὸ ἑνὸς πνεύματος, διὰ τοῦ ἑνὸς υἱοῦ, ἐπὶ τὸν ἕνα πατέρα.,, Ἐν τῷ
τρίτῳ τῶν ἀντιρρητικῶν φησίν· “ ὡς γὰρ ὁ υἱὸς τάξει μὲν δεύτερος τοῦ πα-
,, τρὸς, ὅτι ἀπ' ἐκείνου, καὶ ἀξιώματι ὅτι ἀρχὴ καὶ αἰτία τῷ εἶναι πα-
,, τέρα αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσοδος καὶ προσαγωγὴ πρὸς τὸν θεὸν
,, καὶ πατέρα, φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης ἐν ἑκατέρῳ μία· οὕ-
,, τω δηλονότι καὶ τὸ πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποβέβηκε τὸν υἱὸν τῇ τάξει
,, καὶ τῷ ἀξιώματι, οὐκέτι ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρχον φύσεως.,, Ἐν
τῇ πρὸς Γρηγορίον τὸν ἀδελφὸν ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, ἐπειδὴ πολλοὶ τὸ
κοινὸν τῆς οὐσίας ἐπὶ τῶν μυστικῶν δογμάτων μὴ διακρίνοντες, φησὶν· “ ὁ τὸ
,, πνεῦμα νοήσας, αὐτό τε ἐφ' ἑαυτοῦ ἐνόησε, καὶ τὸν υἱὸν τῇ διανοίᾳ συμ- cod. f. 26. a.

» unam in Trinitate deitatem. » Et multis interiectis. « Nam cum sit unus Filius,
» vivens Verbum, unam esse oportet et plenam sanctificantem et illuminantem vi-
» tam, quae est operatio ipsius et donum, quae de Patre procedit; quandoqui-
» dem ex Verbo, quod esse ex Patre in confesso est, effulget et mittitur; Filius
» autem Spiritum mittit. »

43. Mysteriorum enarrator magnus Basilius in decimo septimo ad Amphilochium
capitulo ait. « Sicut ergo se habet Filius ad Patrem, sic etiam ad Filium Spiri-
» tus, secundum traditam in baptismo sermonis syntaxin. Si ergo Spiritus ordina-
» tur cum Filio, Filius autem cum Patre, utique cum Patre etiam Spiritus. » Et in
» octavo decimo eorumdem capitulorum. « Unus autem et sanctus Spiritus per
» unum Filium, uni Patri coniunctus. » Et paulo post. « Via igitur ad Dei co-
» gnitionem, ab uno Spiritu, per unicum Filium, ad unum Patrem. » Tum in tertio
antirrheticorum, ait. « Sicut enim Filius ordine quidem secundus a Patre est, quia
» ab illo est; dignitate item quia principium et causa existendi est illi Pater ip-
» sius, et quia per eum accessio et deductio ad Deum Patrem fit; at vero natura
» non est secundus, quia divinitas in utroque una est. Sic videlicet et sanctus Spi-
» ritus, etsi infra Filium ordine est et dignitate, non tamen ita quasi alienae esset
» naturae. » In epistola ad Gregorium fratrem, quae incipit: quoniam multi com-
munionem substantiae in mysticis dogmatibus non discernunt, ait. « Qui Spiritu in-

„ παρεδέξατο· ὁ δὲ τοῦτο λαβὼν, τοῦ υἱοῦ τὸν πατέρα οὐκ ἀπεμέρισεν· ἀλλ' „ ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν „ κατὰ ταυτὸ συγκεκραμένην ἐν ἑαυτῷ τὴν πίστιν ἀνετυπώσατο· καὶ ὁ τὸ πνεῦ- „ μα μόνον εἰπὼν, συμπεριέλαβε τῇ ὁμολογίᾳ τὸν οὗ ἐστι πνεῦμα· καὶ ἐπειδὴ „ τοῦ Χριστοῦ ἐστὶ τὸ πνεῦμα, καὶ ἐκ τοῦ θεοῦ καθώς φησιν ὁ ἀπόστολος, „ ὥσπερ ἐξ ἁλύσεως ὁ τοῦ ἑνὸς ἄκρου ἁψάμενος, καὶ τὸ ἕτερον ἄκρον συνε- „ πεσπάσατο· οὕτως ὁ τὸ πνεῦμα ἑλκύσας, δι' αὐτοῦ καὶ τὸν υἱὸν καὶ τὸν „ πατέρα συνεφειλκύσατο· καὶ τὸν υἱὸν ἀληθῶς ὅστις λάβῃ, ἕξει αὐτὸν ἑκα- „ τέρωθεν, πῇ μὲν τὸν αὐτοῦ πατέρα, πῇ δὲ τὸ ἴδιον πνεῦμα συνεπαγόμε- „ νον· οὐ γάρ ἐστιν ἐπινοῆσαι τομὴν, ἢ διαίρεσιν, ὡς ἢ υἱὸν χωρὶς πατρὸς „ νοηθῆναι, ἢ τὸ πνεῦμα τοῦ υἱοῦ διαζευχθῆναι.„ Ἐν τῇ πρὸς τὰς κανονικὰς ἐπιστολῇ· “ὥς τε ἡ περὶ τὴν τάξιν καινοτομία, αὐτῆς τῆς ὑπάρξεως ἀθέ- „ τησιν ἔχει, καὶ ὅλης τῆς πίστεως ἐστὶν ἄρνησις· ὁμοίως οὖν ἐστὶν ἀσεβὲς, „ καὶ ἐπὶ τὴν κτίσιν καταγαγεῖν, καὶ ὑπερτιθέναι αὐτὸ ἢ υἱοῦ, ἢ πατρὸς, „ ἢ κατὰ τὸν χρόνον, ἢ κατὰ τὴν τάξιν.„ Ὁ Νύσσης Γρηγόριος ἐν τῷ πρώ- τῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, οὐκ ἦν ὡς ἔοικε τὸ πάντας ἐθέλειν εὐεργετεῖν, φησίν· “ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα „ ἀναχωροῦμεν.„

μδ'. Οὕτω τάξιν ἐπὶ τῆς Τριάδος οἱ θεοειδεῖς πατέρες διετράνωσαν, καὶ παρέδωκαν· καὶ οὐκ ἂν ἔχῃ τις παριδεῖν, ἢ μεταθεῖναι ταύτην τὸ σύνολον· οὐ τὸν υἱὸν προτάξῃ τίς ἂν τοῦ πατρὸς, ἢ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον οὐ δεύτερον τὸ πνεῦμα φαίῃ τις τοῦ πατρὸς, αὐτοῦ δὲ τοῦ πνεύματος τὸν

» tellexit, et ipsum per se intellexit, et Filium simul mente comprehendit. Qui au- » tem hunc adprehendit, a Filio Patrem non separat, sed seriatim secundum or- » dinem, coniunctim secundum naturam trium in una concretam, hic fidem in » semet graphice deformavit. Et qui solum Spiritum nominat, is sua confessione » complectitur etiam illum cuius Spiritus est. Et quia Christi Spiritus est, et ex » Deo, ut ait apostolus, veluti qui catenae unum caput tenet, alterum quoque ca- » put trahit; ita qui Spiritum trahit, per eum et Filium et Patrem simul attra- » hit. Et qui Filium vere adprehenderit, habebit ipsum utrimque, hinc quidem eius » Patrem, illinc autem proprium illius Spiritum simul adunatum. Non enim licet » imaginari divisionem aut separationem, ita ut aut Filius sine Patre intelligatur, aut » Spiritus a Filio seiungatur. » Et in epistola ad Canonicas. « Ita ut ordinis ipsa no- » vitas, existentiam destruat, et universae fidei negatio sit. Aeque ergo irreligio- » sum est, et ad creaturam deiicere, ac illum exaltare supra Filium vel Patrem, » vel tempore priorem dicere aut ordine. » Nyssenus Gregorius in libro I. antirrhe- ticorum adversus Eunomium, cuius initium: fieri, ut videtur, non potest, ut quis de omnibus bene mereri velit, ait. « Ex Patre per Filium ad Spiritum pergimus.»

44. Sic ordinem in Trinitate divini patres declaraverunt atque tradiderunt: neque hunc cuiquam licet negligere aut omnino pervertere; nec Filium aliquis Patri praeponat, aut Filio Spiritum sanctum, neque secundum quis dicat a Patre, neque ipsum Unigenitum a Spiritu; neque omnipotentis Filii prototypum dicat Para-

μονογενῆ· οὐ τοῦ πανσθενοῦς υἱοῦ πρωτότυπον φθέγξοιτο τὸν παράκλητον· εἰ δέ γε τοῦτο μὴ ἔχων ἐρεῖν, ὅτι μὴ κατ' ἀνάγκην ἅπασαν τὸ ἀνάπαλιν· εἶτα κατὰ μόνην ἀπαρίθμησιν εἶναι τὸ τοιοῦτον ἐνσταίη, καὶ τὸ ἀδύνατον ἄλλως ἔχειν, καὶ τὸ καινοτομίαν εἰρῆσθαι τῆς πίστεως κατὰ τοῦτο διϊσχυρίσαιτο καινοφονῶν ἐλεγχθείη καὶ οὕτως· εἴ γε κατ' αὐτὴν δῆτα τὴν ἀπαρίθμησιν ἔστιν ὅτε μετατίθενται τὰ ὀνόματα, καὶ τὸ ἀμετάθετον οὔμενουν ἡ τούτων ἔσχεν ἐκφώνησις, καθώς ἐστι τὸν λόγον πιστούμενος ὁ ἀπόστολος*, οἷς περὶ διαφορᾶς χαρισμάτων καὶ ἐνεργημάτων φιλοσοφεῖ· "διαιρέσεις χαρισμάτων, „ φάσκων, εἰσὶν, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐ- „ τὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς θεὸς ὁ ἐνεργῶν τὰ „ πάντα ἐν πᾶσι.„ Καὶ αὖ ἐκεῖνο συμμαρτυρεῖ *, τὸ "ἡ χάρις τοῦ κυρίου ἡμῶν „ Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου „ πνεύματος·„ καὶ τοιαῦθ' ἕτερα πολλαχοῦ τῆς γραφῆς. Ἡνίκα δὲ τοῖς θεοδιδάκτοις διδασκάλοις σκοπὸς περὶ τῆς πρὸς ἄλληλα σχέσεως τῶν προσώπων, τῆς φυσικῆς συναφείας καὶ ἀλληλουχίας ἐκ τῆς ἀϊδίου σφῶν καὶ οὐσιώδους καὶ ὑπάρξεως διαλαβεῖν, ὅπως τε ἐξ ἑνὸς ἄμφω, καὶ δι' ἑτέρου πάλιν τὸ ἕτερον, οὐκέτι μεταλλαγὴν ἐν τούτοις ἴδῃ τις ὁποσοῦν ἢ μετάθεσιν, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν σύμφασιν καὶ ἀκολουθίαν δογματικὴν τὴν τοῦ υἱοῦ μεσιτείαν αὐχοῦσαν, μηδαμῶς μετακινουμένην ἢ μεταπίπτουσαν· οὐ γὰρ ἂν ἐν σφίσιν εὕρῃ τὶς ὅπου δή ποτε τὸ προσεχῶς καὶ ἀμέσως λελεγμένον ἐπὶ τοῦ πνύματος, ὥσπερ σάφα δεδειγμένον ἐστὶν ἐπὶ τοῦ υἱοῦ, οὐ διὰ τοῦ προσεχῶς τοῦ ζωοποιοῦ δηλονότι πνεύματος τὸν υἱὸν, ὡς δι' αὐτοῦ τὸ θεῖον πνεῦμα καὶ παναλκές· οὐ διὰ τοῦ πνεύματος τῷ πατρὶ συνάπτεσθαι τὸν υἱὸν, ὡς

cod. f. 26. b.

*I. Cor. XII. 4.

*II. Cor. XIII. 28.

clitum. Nisi vero et hoc dicendum est, quod vice versa interdum uti, nulla necessitas cogit: ita tamen ut in sola numeratione id sistat; aliter vero fieri nequeat. Neque haec fuerit in fide novitas; et qui id contendat, ipse novitatis potius coarguetur. Namque in ipsa numeratione pervertuntur interdum nomina, nec vero immutabilis est illorum pronunciatio, cuius rei testis apostolus, dum de gratiarum et operationum diversitate disserit: « divisiones, inquit, gratiarum sunt, idem autem Spiritus. Et di- » visiones ministeriorum sunt, unus autem Dominus. Et divisiones operationum sunt, » idem autem Deus operans omnia in omnibus. Rursusque illud contestatur: gra- » tia domini nostri Iesu Christi, et caritas Dei Patris, et communio sancti Spiritus.» Et alia huiusmodi saepe in scripturis. Verum enim vero quum divinitus edoctis magistris scopus est disserere de mutua personarum relatione, de naturali cohaesione, de mutua aeterna ipsarum et consubstantiali essentia; et quomodo ex una ambae, et per aliam rursus alia, nequaquam iam immutationem in his umquam quispiam videbit, aut transpositionem, sed unam eandemque constanter locutionem et seriem dogmaticam, Filii mediationem exprimentem, minime translocatam neque interversam. Neque enim apud patres comperiet quisquam alicubi vocabula contigue et immediate de Spiritu; quae contra aperte praedicantur de Filio; non videlicet contigue per vivificum Spiritum esse Filium, uti contra dicitur per ipsum Filium esse divinum ac omnipotentem Spiritum: non per Spiritum connecti Patri Filium, uti per Filium

διὰ τοῦ υἱοῦ τὸ ὑπερτελὲς πνεῦμα καὶ ζωοπάροχον· οὐχὶ ὡς τὸ πνεῦμα ἔχει πρὸς τὸν πατέρα, οὕτω καὶ ὁ υἱὸς πρὸς τὸ πνεῦμα· ὥσπερ δὴ τὸ ἀντίστροφον, ὡς ὁ υἱὸς ἔχει πρὸς τὸν πατέρα, οὕτω καὶ τὸ πνεῦμα πρὸς τὸν υἱόν·
cod. f. 27. a. οὐκ εἰκόνα τοῦ πνεύματος τὸν υἱὸν, οὐ πρόσωπον, οὐ δύναμιν, οὐκ ἐνέργειαν, ὥσπερ ταῦτα τὸν υἱὸν τοῦ πατρὸς, τοῦ δὲ υἱοῦ τὸ πνεῦμα· ἐξ ὧν, ἵνα μὴ λέγω καθέκαστα, ὧν πλήρεις αἱ τῶν πατέρων θεηγορίαι, πλήρεις αἱ διδασκαλίαι τούτων αἱ θεοκρότητοι, τὸ ἀμετακίνητον τῆς τοῦ υἱοῦ μεσιτείας, καὶ ἡ φυσικὴ τῶν προσώπων πρὸς ἄλληλα σχέσις, ἥ τε συνάφεια, καὶ ἀλληλουχία, κατὰ τὴν ὑπέρχρονον σφῶν ὀντότητα, καὶ τὸ κοινὸν ὁμοῦ καὶ διάφορον δηλοποιεῖται σαφέστατα.

με΄. Καὶ ἵν' ἐντελέστερον τοῖς τοῦ μάκαρος Νύσσης χρησαίμην, καιρὸς γὰρ ἐπὶ τοῦ μέσου ταῦτα παραγαγεῖν, οὗτος τὰ περὶ αὐτῶν ἐπί τε νοημάτων καὶ λέξεων διηυκρίνησε τυλαυτέσθερον, γράφων οὑτωσὶ πρὸς Ἀβλάβιον· "τὸ ,, ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτια- ,, τὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέ- ,, ρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰ- ,, τίου, καὶ τοῦ ἐξ αἰτίας ὄντος ἄλλην πάλιν διαφορὰν ἐννωοῦμεν· τὸ μὲν γὰρ ,, προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· ὥστε ,, καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ πατρὸς ,, εἶναι τὸ πνεῦμα, μὴ ἀμφιβάλλειν· τῆς τοῦ υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ ,, μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέ- ,, σεως μὴ ἀπειργούσης.,, τούτων τί ἂν εἴη καταφανέστερον τοῦ παντὸς προβλήματος εἰς διάρθρωσιν; Ταῦτα οὐκ ἔστιν ὃς ἂν ἀπαθέσι θεωρίαις ἐνοπ-

plusquamperfectus et vitae dator Spiritus : non quomodo Spiritus se habet ad Patrem, sic et Filius ad Spiritum. Quomodo certe quidem vice versa, sicut Filius se habet ad Patrem, sic etiam Spiritus ad Filium. Non est imago Spiritûs Filius, non figura, non virtus, non vis operans, sicut est Patris Filius, et Filii Spiritus. Ex quibus, ut iam singula omittam, quorum pleni sunt sacri patrum sermones, plenae ipsorum a Deo inspiratae insitutiones, quae nulli mobilitati obnoxiam Filii mediationem, mutuamque naturalem personarum relationem et coniunctionem atque conexionem secundum supertemporalem ipsarum essentiam et communionem simul cum differentia demonstrant.

45. Atque ut plenius beati Nysseni dictis utar ; iam enim tempus est haec in medium proferendi ; hic tum sensibus sum vocabulis accurate disputat ita scribens ad Ablavium. «Naturae paritatem confitentes, causantis et causati differentiam non nega- » mus, qua in re tantummodo alterum ab altero distingui admittemus; unum scilicet » causantem esse credimus ; alterum vero, causatum. Sed causantis, et eius qui ex » causa est, aliam rursus differentiam intelligimus: nam alterum contigue ex primo, » alterum ab eo quod est contigue ex primo: ita ut et unigeniti notio non ambigue in » Filio subsistat; et de exitu Spiritûs ex Patre non dubitetur; unigenito scilicet me- » diationem sibi con servante, quae Spiritum a naturali erga Patrem relatione non » arcet.» Quid his verbis evidentius, ad universum explanandum problema? Haec qui

τρισάμενος ἀμφιδοιάσειεν ὁπωσοῦν, καὶ μὴ ἀρκοῦσαν ἔχειν ἡγήσαιτο τὴν τῶν ζητουμένων φωταύγειαν, τὴν τοῦ υἱοῦ μεσιτείαν τρανουμένην ὁρῶν, καὶ τὴν ἐντεῦθεν τῶν αἰτιατῶν ἀμφοτέρων διαφορὰν, ἵνα μὴ καὶ αὖθις ἐπαναλαμβάνων τὰ περὶ τούτων δόξω παλιλλογεῖν. Ἀλλὰ δεδοίκασι, φασὶν, υἱοῦ μεσιτείαν νοῆσαι ὅλως ἢ παραδέξασθαι, μὴ ποτὲ λάθωσι χρονικὴν ἐντεῦθεν ἔμφασιν παρεισάξαντες ἐν οἷς ἐκ τῆς αἰτίας ἄμφω πεφύκατον τὰ αἰτιατὰ, καὶ τούτων δι' ἑτέρου τὸ ἕτερον, καὶ τὸ ἅμα εἶναι ὀλέσωσι· καὶ ἡ μὲν ἐπίπλαστος αὕτη δειλία, οὐ δι' ἄλλο τι συνεσκευάσθη τοῖς λέγουσιν, ἢ διὰ τὸ σπεύδειν ὑπερβαλλόντως ἀποδιαπομπῆσαι τὴν ἣν ὁ προδιαληφθεὶς θεολογικώτατος Νύσσης διαφορὰν τοῦ αἰτιατοῦ παραδέδωκε, καὶ ἀνερυθριάστως ἔχειν ἑκάτερον τοδὶ μεγαληγορεῖν προσεχῶς, καὶ μηδὲν διαφέρειν προσεχῶς λέγειν καὶ διὰ τοῦ προσεχῶς· εἰς τοῦτο γὰρ τὰ τῆς πτοίας αὐτῆς ἀποτείνεται. cod. f. 27. b.

μς'. Ἡμεῖς δὲ ἐπείπερ εἰς ταῦτα προλαβόντες ἀνώτερον ἀπελογησάμεθα, ἢ μᾶλλον εἰπεῖν δι' ἡμῶν οἱ τῶν θείων λόγων ἐκφάντορες ἀπολελογημένοι, πάνθ' ἁπλῶς περὶ ὧν ὁ λόγος ἔν τε λέξεσι καὶ νοήμασι διεσάφησαν, ἄγε δὴ τοῖς πατράσι ταυτοτρόπως ὑπηρετοῦντες, καὶ τὰς χρονικὰς αὐτῶν ὑπονοίας ὡς ἀνυπάρκτους παντάπασιν ἀπελέγξωμεν, καὶ μηδαμῶς πτοηθῆναι ταύτας κατὰ λόγον εὐθύτητος παραστήσωμεν, ἀλλὰ παρὰ τὴν τοῦ οἰκείου σπουδάσματος σύστασιν· πῶς γὰρ ἄν τις εὐλαβηθῆναι τούτους ἐν τοῖς περὶ θεοῦ τῶν θεοβραβεύτων πλέον τῆς ἀληθείας ὑπερμάχων ἀνάσχοιτο, διαῤῥήδην οὕτως ἐκτιθεμένων τὰ ἐξ ὧν αὐτοῖς τὰ τῆς ὑποστολῆς καὶ δειλίας συσχηματίζεται; εἶτα εἰ τὸ διὰ τοῦ προσεχῶς, ταυτὸν δ' εἰπεῖν δι' υἱοῦ, ὃ τοῖς θεο-

non praeiudicata consideratione spectet, fieri non potest ut ullatenus dubitet, vel non satis illustratam quaestionem iudicet: dum et Filii mediationem elucidatam videt, et eam quae hinc exsurgit causatorum amborum differentiam; ne iam rursus dicta resumens, sermonem iterare videar. Sed hi timent, aiunt, de Filii mediatione cogitare aut omnino eam admittere, ne forte temporalem speciem incaute inducentes, quatenus ex causa ambo causati proveniunt, et horum alterius ex altero originem et coëxistentiam pariter pessum dent. Atqui hic simulatus timor non aliam ob causam a dicentibus excogitatus est, nisi quia enixe student illam causati differentiam excludere quam summus Nyssae theologus tradidit, et quia impudenter iactant, perinde esse si dicatur contigue existere ex aliquo, ac si per aliquem qui contigue existat. Huc enim omnis timor recidit.

46. Nos vero, quoniam superius haec defendimus, vel potius pro nobis divini verbi explanatores tuiti sunt, qui cuncta prorsus, de quibus sermo est, vocabulis et sensibus declaraverunt, age nunc patribus eodem modo obsequentes, et circa tempus istorum suspiciones tamquam vanas coarguamus, atque ut nemini timorem ingerant, quod ad rectum ratiocinium attinet demonstremus, sed tantummodo secundum proprii studii structuram. Cur enim quisquam hos metuere in doctrinis divinis magis velit, quam divinitus inspiratos veritatis defensores, qui tam perspicue illa exposuerunt, unde hi timiditatem metumque confingunt? Deinde si verba «per eum qui contigue» quod idem est ac dicere «per Filium» quod apud divos patres natu-

φόροις εἰς φυσικῆς εἴληπται δήλωσιν μεσιτείας, διαστηματικὴν οὗτοι μή ποτε δοίη παρείσδυσιν ὑποπτήσσουσι· καὶ εἰ ἅμα τῷ υἱῷ τὸ πνεῦμα, πῶς δι' υἱοῦ ἐπαπορούμενοι ἀντεπάγουσιν, ὡς οὐκ ἂν συμβαίη ἀμφότερον, τί μὴ χρονικὰς παρειφθορὰς τὸν ὅμοιον τρόπον δεδίασι καὶ ἐν οἷς ἐκ τοῦ πατρὸς τὸν υἱὸν καταγγέλλουσιν; τί μὴ καὶ ἐν οἷς αὐτὸ δὴ τὸ πανσθενουργὸν καὶ τελειοποιὸν ἐκ τοῦ αὐτοῦ καθεκάστην ἀναγορεύουσι; καὶ εἰ ἅμα τὰ τρία καὶ ὡς ἀληθῶς συναΐδια πιστεύεται καὶ συνάναρχα, τί μὴ ἀμφισβητοῦντες ἀντεπιφέρουσι, πῶς ἐξ ἑνὸς ἄμφω, καὶ ὡς οὐκ ἂν ἑκάτερον συνέλθῃ ἅμα καὶ ἐξ ἑνὸς, τριὰς δηλαδὴ καὶ δυάς; εἰ γὰρ ἐκ τῶν καθ' ἡμᾶς περὶ τῇ ΔΙΑ τοιουτοτρόπως δειμαίνουσι, τί μὴ καὶ περὶ τῇ ΕΚ; ἐπειδή περ ὡς ἐκείνη καὶ αὕ-
cod. f. 28. a. τη τὰς χρονικὰς ἐν ἡμῖν ἐμφάσεις οὐκ ἀποβάλλεται; εἰ δ' αὕτη θεοπρεπέστερον ἐκλαμβάνεται, τί μὴ κἀκείνη οὐκ ἔστιν ὅπως ἡμεῖς διαστολαῖς τοιαύταις ληφθείημεν.

Ps. XIII. 5. μζ'. Οὐ φοβηθησόμεθα φόβον, οὗ μὴ εἴη φόβος ὡς γέγραπται· ἀλλ' ὡς ἐκ τοῦ πατρὸς τὸ μονογενὲς ὁμολογοῦντες ἀπαύγασμα, καὶ ἅμα τῷ πατρὶ ἀχρόνως εἶναι καὶ ἀϊδίως οὐκ ἀπαρνούμεθα, καὶ ὡς ἐκ τοῦ πατρὸς τὸ θεοποιὸν πνεῦμα κηρύττοντες, καὶ τὸ ἅμα εἶναι τῷ πατρὶ οὐκ ἀπαναινόμεθα· οὕτω δι' υἱοῦ τοῦτο φρονοῦντες ἐκ τοῦ πατρὸς, καὶ τὸ ἅμα τῷ υἱῷ ἀχρόνως εἶναι, καὶ συνανάρχως πεφηνέναι καὶ ὁμοτίμως φρονοῦμεν, καὶ οὐμενοῦν ἀποφάσκομεν· εἰ γὰρ ἐπὶ τῶν ἐν ῥοῇ καὶ γενέσει ἅμα εἶναι τοῖς δι' ὧν πεφύκασιν εὕρηται· τὸ ἡλιακὸν ἐν τούτοις λάβε μοι φῶς, διὰ γὰρ τῆς ἀκτῖνος τὸ τοιοῦτον, καὶ συνάμα τῇ ἀκτίνι καθέστηκεν, καὶ σύνδρομον ἔχει τὸ δι' αὐτῆς φυσικῶς εἶναι, καὶ ἅμα συνυπάρχειν αὐτῇ, καὶ οὐδαμῶς θα-

ralis mediationis habet notionem, isti distantiam temporis oggeri suspiscantur; et si una cum Filio Spiritus, quomodo « per Filium » addubitantes opponunt, quasi utrumque non usuveniat? cur temporis obreptiones pariter non timent, in eo etiam dum ex Patre Filium esse profitentur? Quid ni, inquam, et cum ipsum omnipotentem et omnia perficientem, ex eodem tertio quoque verbo depraedicant? Et si tres simul vere coaeterni creduntur pariterque sine initio, cur in sua dubietate non opponunt, quomodo ex uno ambo, et quomodo singuli coaluerint, et ex uno trinitas scilicet et dualitas? Si enim nostrarum rerum exemplo, ob particulam PER ita formidant, quid ni etiam ob particulam EX? quandoquidem ut illa, sic etiam haec, temporis significationes non respuit. Quod si illa ut Deo dignior accipitur, quid ni et hanc sub eadem discretione recipiamus?

47. Ne timeamus timorem ubi non est timor, uti scriptum est; sed tamquam ex Patre unigenitum splendorem confitentes, simul etiam cum Patre intemporaliter esse et sempiternaliter non negemus: et sicut ex Patre divinum Spiritum praedicantes, ipsum esse cum Patre non abnuimus, ita per Filium hunc esse credentes ex Patre, etiam cum Filio intemporaliter esse, et aeque sine initio et pari in honore existimamus, nedum negamus. Nam si quae fluxu aut generatione fiunt, una existere cum gignentibus comperiuntur; verbi gratia in his sume mihi exemplum a luce: etenim per radium haec est, et cum radio coëxistit, et consentaneum ipsi

τέρου θάτερον ἀναιρετικὸν, πῶς οὐκ ἐν τοῖς ἀῤῥεύστοις τοῦτο καὶ ἀνωλέθροις, εἴη ἂν προσφυέστερον καὶ ὑπὲρ πᾶσαν σύγκρισιν ὑψηλότερον; οὕτως οὐχ ἕνα ἢ καὶ δύο τῶν θεοειδῶν διδασκάλων ἰδόντες, ἀλλ' ἅπαντας ἀτεχνῶς, ὅσοις ἡ τῆς θεολογίας χάρις ἐκκέχυται, δι' υἱοῦ τὸ πνεῦμα σαφηνίζοντας τὸ πανάγιον, ἐξ αὐτῶν ἀραρότως καὶ τὴν τούτου τράνωσιν ἔσχομεν, καὶ πανταχοῦ τῆς τοῦ υἱοῦ φυσικῆς μεσιτείας τὸ τοιοῦτον εἶναι χαρακτηριστικὸν ἐμυήθημεν· καὶ οὐ ποτ' ἂν ἄλλως ἢ οὕτως ἐννοεῖσθαι συνθείημεν, ἐν οἷς ὁ πηγασμὸς τοῦ πνεύματος δογματίζοιτο, ἥ τε δόσις καὶ χορηγία, ἡ ἔλλαμψις, ἡ φανέρωσις, ἡ ἀνάβλυσις, ἡ πρόχυσις, καὶ ἡ πρόοδος, καὶ πρὸς τοῖς ἄλλοις ἡ ἔκπεμψις ἡ ἔκφανσις, ἡ ἐκπόρευσις· ὡς γοῦν ἐφ' ἑκάστου τῶν ἀπηριθμημένων λοιπῶν, οὕτω καὶ ἐπ' αὐτῆς δῆτα τῆς ἐκ τῆς ἐκπορεύσεως τὴν δι' υἱοῦ φωνὴν φυσικῆς μεσιτείας οἴδαμεν εἶναι δηλωτικὴν, διάφορον τρόπον ὑπάρξεως τὴν ἐκπόρευσιν· καὶ στέργομεν ἀμφοῖν καὶ στέρξομεν τὴν διαύγειαν, ἐπεί περ οὐχ ἡμετέρας διανοίας ἀνάπλασμα, πατρικῶν μενοῦν γε διασαφήσεων γνώρισμα· καὶ οὐκ ἔστιν ὅπη ἂν ὁπωσδήποτε ἄλλως, ἢ ὡς ἐῤῥέθη τὴν τοῦ πνεύματος ἐκπόρευσιν ἐκληψόμεθα, οὔτε ἐν οἷς ἐκ τοῦ πατρὸς αὖθις θεολογοῖτο, οὔτε ἐν οἷς δι' υἱοῦ καταγγέλλοιτο· ὡς οὐδὲ τὴν ΔΙΑ ἄλλως ἐπί τε πέμψεως καὶ τῶν τοιούτων τινὸς, ἤπερ ἐπὶ τῆς ἐκπορεύσεως, ὅτι μηδέ τινι τῶν θεηγορίαις διαλαμψάντων, τοῖοι ἐπενοήθησαν προσδιορισμοὶ, καὶ ὁμονυμιῶν ὁπωσοῦν ἑτερότητες. Cod. f. 28. b.

μη'. Καὶ εἰ βούλονται, τὰ δοκοῦντα σφίσι καὶ αὖθις λεγέτωσαν οἱ διαφερόμενοι· καὶ εἰ συμβάλλει κακεμφάτως τῷ πατρὶ ὁ υἱὸς ἐπὶ τῇ ἐκπορεύσει

est ut a radio naturaliter sit, simulque existat, nec alterum alterius peremptorium est; cur in iis qui fluxu non fiunt, et in immortalibus, hoc contingere non sit convenientius, et omni comparatione maius? Sic itaque cum non unum vel duos sacrorum magistrorum videamus, sed omnes indubitanter, quicumque theologiae gratiam acceperunt, per Filium adfirmare sanctissimum Spiritum, ex his inquam perspicue et huius accuratam notitiam habemus, et usquequaque Filii naturalem mediationem Spiritui esse singulariter propriam edocemur. Atque ita et non aliter intelligere decrevimus quotiescumque derivati Spiritus dogma proponitur, et donum, et praebitio, et effulsio, et ostensio, et scaturigo, et effusio, et proventus, praetereaque missio, et manifestatio, et processio. Sicut ergo in singulis reliquis, quae enumeravimus, sic in ipsa videlicet processione, dictio « per Filium » naturalis mediationis scimus esse significativam; et diversum esse existendi modum processionem, quoniam haud hoc nostrae mentis figmentum est, sed a patribus tradita nobis notio. Neque usquam licet aliter quam dictum est Spiritus processionem intelligere, neque cum a Patre procedere dicitur, neque cum per Filium adseritur: sicut etiam particulam PER haud aliter intelligimus cum de missione sermo est, aut de similibus, aut de processione; quia nemo deiloquus tales (ut isti volunt) verborum circumscriptiones excogitavit, et extranea homonymiarum vocabula.

48. Porro si volunt, opinionem suam denuo dicant qui dissentiunt, et num indecenter concurrat Filius cum Patre in Spiritus processione, exquirant; quodque

τοῦ πνεύματος ἐρωτάτωσαν, καὶ τὸ ἐντεῦθεν ἀτελῆ ἐκπόρευσιν εἶναι, εἰ δι' υἱοῦ ἐστὶ, προφερέτωσαν· εἰ μὲν οὖν ἡ δι' υἱοῦ ἐκπόρευσις τοῖς τὸν ἄδυτον εἰσδῦσι γνόφον τοῦ πνεύματος ἀριδήλως οὐ διηγόρευται, εἰ αμφοῖν τοῖνδε τοῖν ῥησειδίοιν ὁ νοῦς τοῖς διερμηνεῦσι τῶν θείων οὐ διηρμήνευται, τάχ' ἂν εἰκότως ὁ τῶν προτεθέντων ἀτόπων λόγος τοῖς καὶ τοιαῦθ' ἕτερα συνείρειν ἐθέλουσιν ἐπεπλέκετο· ἐπεὶ δὲ καὶ κατὰ λέξεων καὶ ἐννοιῶν εἰλικρίνειαν τοῖς θεολήπτοις ἀνδράσι διήρθρωται, καθὰ δὴ καὶ εἰρήκειμεν, ποῦ χῶραν ἕξουσιν αἱ τοιαῦται τῶν ἀτόπων ἐπιπλοκαί; καὶ εἰ μὴ μεμηνέναι κατὰ τῶν τῆς ἀληθείας κηρύκων αἱρήσονται, ποῦ δὲ καὶ ἅπερ ἐπάγουσι παραπλήσια, ὡς εἰς ὀρθὴν ἔννοιαν ἐκλαβέσθαι τὰς τοιαύτας τῶν χρήσεων δεῖ, οὐχὶ καὶ τούτων οἴκοθεν, καὶ ἀπ' αὐτῆς προφορᾶς τὸ ἀπαράδεκτον προφανές; οὐχὶ καὶ τούτοις τὰ προσεχῶς εἰρημένα πρὸς ἔλεγχον ἐναργῆ; τί δέ φήσουσιν εἰ τὸν
cod. f. 29. a. ὅμοιον καὶ αὐτοὶ τρόπον περὶ της προόδου τοῦ πνεύματος ἀντερωτηθήσονται; ἆρα καὶ ταύτην ἀτελῆ δώσουσιν ἐκ πατρὸς, ἐπειδὴ δι' υἱοῦ; τί δὲ εἰ καὶ περὶ τῆς προχύσεως, καὶ ἐκλάμψεως, καὶ τῶν τοιούτων ἁπλῶς; ἆρα κἀπὶ ταύταις κατὰ τὴν σφῶν λῆψιν συμβαλεῖται τῷ πατρὶ ὁ υἱός; καὶ τὸ ἀτελὲς ἕξουσι καὶ αὗται κατ' αὐτοὺς ἐκ πατρὸς, ἐπειδὴ δι' υἱοῦ; Ἀλλ' αἱ τοιαῦται τῶν λέξεων οὔ, φασιν, τὴν ἀΐδιον δηλοῦσι τοῦ πνεύματος ὕπαρξιν· καὶ ἔστω τοῦτο καὶ δεδόσθω κατὰ τὴν ἐνοῦσαν σφίσιν ἀρέσκειαν, καὶ νοείσθω ἡ τοῦ πνεύματος πρόοδος κατὰ τὸ αὐτοῖς βουλητὸν, ἡνίκα καὶ οὐσιωδῶς δογματίζοιτο, καὶ ἡ ἔκφανσις ὡς αὐτοῖς θελητὸν ἡνίκα καὶ ἀΐδιος λέγοιτο, τί καὶ οὕτως ἐροῦσιν; ἆρ' ἀτελεῖς φαῖεν ἐκ τοῦ πατρὸς, ἐπειδὴ δι' υἱοῦ; ἢ ἐπὶ μὲν τῶν

inde sequitur, num imperfecta sit per Filium processio, dicant. Quod si ergo processio per Filium, iis qui inaccessibilem Spiritus obscuritatem ingressi sunt, perspicue non fuisset patefacta; si duorum horum vocabulorum sensus a divinis interpretibus non esset explanatus, merito fortasse supradictarum absurditatum series, ab his qui et alia eiusmodi nectere solent, agglomeraretur. Nunc quia et in vocabulis et in sensibus res clarissime a divis viris explanata fuit, prout supra diximus, qui locus superest huiusmodi absurditatum cinno? Et si insanire adversus veritatis praecones pergent, quomodo ea quae haud dissimilia obiiciunt, recto sensu intelligere, tales nimirum sententias, licebit? Nonne harum intrinseca et in ipsis vocabulis repugnantia apparebit? Nonne et alia his consona manifeste reprehensibilia constabunt? Quid autem dicent, si pari modo et ipsi quomodo proveniat Spiritus interrogentur? Num et hanc imperfectam esse ex Patre concedent, quoniam per Filium fit? Quid vero et de profusione, et de effulsione, et his omnino similibus? Num in his quoque secundum illorum opinionem concurret cum Patre Filius, et imperfecta ipsi videbitur dictio « ex Patre » quia « per Filium » est? At haec vocabula, inquiunt, aeternam Spiritus essentiam non denotant. Esto hoc, et concedatur, prout illis placet, et intelligatur Spiritûs progressio ad ipsorum arbitrium, cum substantialis dicitur etiam effulsio, quod est ipsis fundamenti loco, quoniam etiam sempiterna affirmatur, quid ita adhuc dicent? Num dictiones imperfectas dicent « ex Patre » quandoquidem est « per Filium »? Vel ab his quidem imperfectionem arcebunt, in proces-

ἀπώσονται τὴν ἀτέλειαν, ἐπεὶ δὲ τῆς ἐκπορεύσεως καὶ συμπερανοῦσιν ἀναφανδόν; εἰ καὶ ἐν οἷς εὑρίσκοιτο δι' υἱοῦ, ἐκληφθείη καθ' ὃν λόγον οἱ θεορρήμονες αὐτὴν διεσάφησαν; καὶ εἰ τοῦτο νομοθετοῦντες ἂν φανεῖεν ἐν τοῖς περὶ θεοῦ, οὐ δογματικὴν ἀκολουθίαν τηροῦντες, οὔτε μὲν διδασκαλικοῖς κανόσιν ὑπείκοντες, ἀλλ' ἁπλαῖς ἐννοίαις, τούτοις ὑπηρετοῦντες, ἡμεῖς ὡς τὴν ἐκ πατρὸς δι' υἱοῦ τοῦ θείου πνεύματος ἔκλαμψιν τελείαν οἴδαμεν ἐκ πατρὸς, καὶ οὐχ ὅτι δι' υἱοῦ ἀτελῆ, ὡς τὴν δόσιν καὶ χορηγίαν καὶ προσέτι τὴν ἀΐδιον ἔκφανσιν, λόγους δὴ κατὰ τοὺς αὐτοὺς, οὕτω καὶ τὴ ἐκπόρευσιν ὡς παρὰ τῶν θείων διδασκάλων διευλυτώθη, τελείαν οἴδαμεν καὶ πιστεύομεν ἐκ πατρὸς, καὶ δι' υἱοῦ κατεγγέλλομεν· καὶ οὐμένουν τὸ ἀτελὲς παρεισδῦναι ταύτῃ διδόαμεν, μήτε μὴν συμβάλλειν ἐπ' αὐτῇ, κατὰ τὸ τοῖς ἐναντίοις τοῖςδε δοκοῦν, τῷ πατρὶ τὸν υἱὸν ἐνιστάμεθα, ἀλλ' ὅτι τῷ πατρὶ ἀδιαίρετος ὁ υἱὸς, δι' υἱοῦ τελείαν διαῤῥήδην ταύτην κηρύττομεν.

μθ'. Εἰ δέ που καὶ αὖθις ἀντιπροτείνοιεν κατὰ τὸν εἰωθότα τούτοις τρόπον τὸν μάχιμον, ὡς ἐπεὶ καὶ τὸ παναλκὲς πνεῦμα ἀδιαίρετόν ἐστι γεννῶντι cod. f. 29. b. τῷ πατρὶ τὸν υἱὸν, εἴη ἂν καὶ ἡ γέννησις τοῦ υἱοῦ κατὰ τὸν αὐτὸν λόγον διὰ τοῦ πνεύματος, ἀκούσειαν τῆς συνήθους αὐτοῖς κατὰ τῶν θείων γραφῶν τόλμης, καὶ τῆς πρὸς πᾶσαν βλασφημίαν ἐπιῤῥεποῦς ἑτοιμότητος, καὶ ταύτην εἶναι τὴν πρότασιν· οὐ γὰρ ὅτι ἡ πρὸς ἄλληλα τῶν προσώπων ἐμπεριχώρησις τοῖς τρισὶν συνέχει τὸ ἀδιαίρετον, εἴη ἂν καὶ τῷ πνεύματι διὰ τὸ πρὸς τὸν πατέρα ἀδιαίρετον, ὅπερ καὶ τῷ υἱῷ διὰ τοῦτο, ἀλλ' ὅτι τὸ μέσον ἡ φυσικὴ τῆς ὑπάρξεως τῷ υἱῷ τάξις τετήρηκε, τὸ μὲν πνεῦμα τὸ πρὸς τὸν πατέρα ἕξει τὸ ἀδιαίρετον, ὡς διὰ τοῦ υἱοῦ τῷ πατρὶ συναπτόμενον· καὶ βλα-

sione autem manifeste admittent; et ubi legitur « per Filium » eo intelligetur sensu, quem deiloqui ostenderunt? Quod si hoc in divinis firme tenendum isti decreverint, non dogmaticam ratiocinii seriem sectantes, nec didascalicis regulis obsequentes, sed suismet simpliciter cogitatis indulgentes; nos quidem, sicut ex Patre per Filium divini Spiritus effulsionem perfectam novimus fieri ex Patre; et non quia per Filium fit, esse imperfectam, sicut donum pariter, et praebitionem, et denique sempiternam manifestationem, ob easdem rationes; sic etiam processionem, prout a divis magistris exposita est, perfectam scimus et credimus ex Patre, et per Filium fieri praedicamus: nullamque imperfectionem huic intervenire concedimus; neque componere in processione efficienda Patrem cum Filio, sicut adversariis videtur, recusamus; sed quia a Patre inseparabilis est Filius, per Filium diserte hanc fieri praedicamus.

49. Age vero si rursus pro suo litigioso more obiiciant, quod quoniam omnipotens Spiritus inseparabilis est a Patre Filium gignente, erit etiam ipsa generatio Filii, ob eandem rationem, per Spiritum; sciant utique propriam esse ipsorum adversus sacras scripturas audaciae, et ad omnimodam blasphemiam proclivitatis, hanc propositionem. Non enim quia mutua personarum circuminsessio tres facit inseparabiles, idcirco hoc idem Spiritui sancto erga Filium contingit; sed ideo potius quia naturalis ordo existentiae id Filio praestat, ut Spiritus a Patre propterea sit

σφημία λοιπὸν προφανὴς ἡ ἐπινοουμένη παρ' αὐτῶν Γέννησις υἱοῦ διὰ πνεύματος· τῷ δὲ υἱῷ ἡ δι' αὐτοῦ τοῦ παναγίου πνεύματος ἐκπόρευσις, διὰ τὸ πρὸς τὸν πατέρα ἀδιαίρετον, τῆς θεολογικῆς ἀσφαλείας ἔσται πάνυ ἀξίως καὶ ἡ ἀπόδειξις, ἐξ ὧν οἱ τὰ περὶ συναφείας τῆς τριάδος διηγορήσαντες ἀριδήλως ἐθέσπισαν, ὁ μὲν φάσκων· " οὐ τὸ πνεῦμα τῷ πατρὶ τὸν λόγον ,, συνάπτει, ἀλλὰ μᾶλλον παρὰ τοῦ λόΓου τοῦτο λαμβάνει. Καὶ ἐν ἄλλοις· ,, οὐ γὰρ ἐκτός ἐστι τοῦ λόΓου τὸ πνεῦμα, ἀλλ' ἐν τῷ λόΓῳ ὂν, ἐν τῷ θεῷ ,, δι' αὐτοῦ ἐστι· καὶ αὖ ἕτερος· ἓν δὲ καὶ τὸ ἅγιον δι' ἑνὸς υἱοῦ τῷ ἑνὶ ,, πaΤρὶ συναπτόμενον. Καὶ ἀλλαχοῦ πάλιν· πῶς ἂν οὖν χωρίζοιτο τὰ ἀχώρι- ,, σΤα, λόΓος θεοῦ καὶ πνεῦμα ἐκ θεοῦ δι' υἱοῦ;,, Καὶ οὕτως οὐχ ἡ γέννησις διὰ τοῦ πνεύματος, ἀλλ' ἡ ἐκπόρευσις διὰ τοῦ υἱοῦ· καὶ οὕτω τὸ συναφὲς τῶν τριῶν καταφανὲς ὁμοῦ, καὶ τὸ ἀδιαίρετον οὐ μόνον τοῦ πατρὸς πρὸς τὰ ἐξ αὐτοῦ, ἀλλὰ καὶ ἀμφοῖν αὖθις πρὸς ἄλληλα· καὶ γὰρ ὁ πατὴρ τῷ υἱῷ καὶ πνεύματι ἀδιαίρετος, καὶ ταῦτα τῷ πατρὶ ἀδιαίρετα· ἐπειδὴ ἐξ αὐτοῦ ὑπάρχει οὐσιωδῶς, καὶ ἄμφω πρὸς ἄλληλα· ἐπειδὴ θάτερον διὰ θατέρου ἐστὶ, τὸ πνεῦμα δηλαδὴ διὰ τοῦ υἱοῦ.

ν'. Εἰ δέ τις τὸ ἀδιαίρετον ἐθέλων εἶναι σφίσι παρὰ τὸ ὁμοούσιον, εἶcod. f. 30. a. τα τοῦτο οὐ παρὰ τὸν δηλωθέντα τρόπον, ὅτι μὴ τὸ ἀνάπαλιν αὐτὸν παρὰ τοῦτο διϊσχυρίσαιτο, οὐκ οἶδα ὅπως ἂν ὡς ἔχει τηρῆσαι τὸ ὁμοούσιον, οὐκ οἶδα δ' ὅπως αὖθις τὸ ἀδιαίρετον· ὅτι μὲν Γὰρ τῷ ὁμοουσίῳ τὸ ἀδιαίρετον ἕπεται, ὁ ἀμφιβάλλων ἐστὶν οὐδείς· ὅτι δὲ καὶ Τὸ ὁμοούσιον παρὰ τὴν ῥηθεῖσαν θεολογίαν τὴν δι' υἱοῦ δεικνῦσαν τὸ φωταυγὲς πνεῦμα καὶ φωτοπά-

inseparabilis, quoniam per Filium Patri coniungitur. Superest ergo ut manifesta blasphemia sit, excogitata ab istis Filii generatio per Spiritum. Filio autem ea quae fit per ipsum sanctissimi Spiritus processio, propter suam a Patre inseparabilitatem, theologica certitudine digne prorsus adseritur, ex iis quae de cohaerentia Trinitatis divi auctores perspicue definiverunt; alius quidem dicens: « nequaquam Spiritus » Patri Verbum copulat, sed potius a Verbo ille accipit. » Et alibi. « Non enim ex» traneus Verbo est Spiritus; sed in Verbo existens, per illud in Deo est. » Item alius. « Unus autem et sanctus Spiritus per unum Filium uni Patri copulatus. » Et rursus alibi. « Quomodo ergo separabuntur inseparabilia, Verbum Dei, et Spiritus » ex Deo per Filium »? Atque ita non fit generatio per Spiritum, sed processio per Filium. » Sic ergo ex cohaerentia trium, manifesta simul est etiam inseparabilitas, non Patris tantummodo erga provenientes ex se, sed et illorum duorum inter se. Nam et Pater inseparabilis est a Filio ac Spiritu, et hi vicissim a Patre inseparabiles; quoniam ex ipso existunt substantialiter, et hi ambo aeque inter se, quia alterum ex altero est, Spiritus nempe per Filium.

50. Quod si quis inseparabilitatem vult ipsis provenire a consubstantialitate, neque hoc ipsum supradicto modo, quia id vice versa non potest affirmare, haud scio an ita poterit consubstantialitatem servare; nescio item quomodo inseparabilitatem. Quod consubstantialitatem comitetur inseparabilitas, nemo est qui dubitet. Quod autem et inseparabilitas iuxta praedictam theologiam, quae per Filium esse demon-

ρoχον, ἀμφοτέροις ἀκολουθεῖ, καὶ οὐδαμῶς αὕτη παρὰ τὸ ὁμοούσιον, οὐδὲ τοῦτο τοῖς ἀϖαθῶς θεωροῦσιν ἀμφίβολον· εἰ δὲ μὴ δότω, ὁ ἀνθιστάμενος λόγον καθ' ὃν ἑκατέροις τὸ ὁμοούσιον· εἰ μὲν οὖν ὅτι ἐκ ϖατρὸς, ὁμοούσια· ὅτι δὲ ὁμοούσια, διὰ τοῦτο ἡ τοῦ πνεύματος ἐκπόρευσις δι' υἱοῦ· καὶ γὰρ τοῦτο καὶ παρέδωσαν καὶ ἐτράνωσαν, οὔτε τὴν ἀδελφικὴν ἔχουσιν ἐκφυγεῖν ὁμοουσιότητα, καὶ ἀδιάφορον ἕξουσι τὸ ἄμφω λέγειν τὰ ϖρόσωϖα δι' ἑτέρου τὸ ἕτερον· εἰ δὲ τὸ ἀδελφὰ φρονεῖν ἐκδιδράσκοντες, ϖῶς τοῦτο μέγα βοήσουσιν, εἴπερ ἑκάτεροι πρόεισιν ἐκ ϖατρὸς κατὰ διάφορον τρόπον ὑϖάρξεως, εὖ γε σφίσιν εἰρήσεται; ἐστὶ γὰρ τουτὶ ἀληθὲς, καὶ οὕτως ἐστὶν ὁ διάφορος τρόπος ἀμφοῖν· ὥς τε τὸ μὲν γεννώμενον εἶναι, τὸ δ' ἐκϖορευόμενον ἐκ πατρὸς, καὶ τὸ ἐκπορευόμενον εἶναι διὰ τοῦ γεννωμένου υἱοῦ· καὶ τοῦτο γὰρ τῆς διαφορᾶς κατὰ τοὺς σοφοὺς τὰ θεῖα καὶ θεωρητικοὺς τὴν διάνοιαν, εἴπερ μὴ παρέργως ἐστὶ τεθεολογημένον· τὸ μὲν προσεχῶς, τὸ δὲ διὰ τοῦ προσεχῶς εἰς ταύτην δὴ τὴν διαφοράν· οὐ γὰρ ἑτέραν ἐρεῖν τίς τολμήσειεν· ὃ καὶ λέγειν μοι πολλάκις οὐκ ὀκνηρόν· ἐπεὶ τὸ ἀλληλένδετον τὰ τῶν πατέρων ἔχουσι ῥήματα· καὶ λεγομένου ἑνὸς, συνεισάγεται καὶ τὸ ἕτερον, ὡς ὑπὸ τοῦ αὐτοῦ πνεύματος ἐμπνεόμενα· καὶ οὕτως οὔτ' ἀδελφὰ καὶ ὁμοούσια καὶ συμφυῆ καὶ ἀχώριστα καὶ διάφορα προσέτι κατὰ τὴν σφῶν φυσικὴν καὶ ἀΐ- cod. f. 30. b.
διον πρόοδον· καὶ οὔμενουν σύγχυσίς τις ταῖς ἰδιότησιν, εἰ διὰ τοῦ γεννητοῦ τὸ ἐκπορευτόν· καὶ τοῦτο πλέξαντες ἀνθυϖήνεγκαν· εἰ γὰρ οὕτω χώραν ἕξει κατ' αὐτοὺς τὸ τοιοῦτον, πολλῷ ἂν πλέον σχοίη ἐν οἷς ἐκ τοῦ ἀγεννή-

strat splendidum et illuminantem Spiritum, utrosque comitetur, et quod nequaquam haec a consubstantialitate sit, ne id quidem iis qui defaecata mente considerant, dubium est. Quod si vero aliter se habet, reddat adversarius rationem, quamobrem utrisque insit consubstantialitas. Si ergo quia sunt ex Patre, consubstantiales sunt; et quia sunt consubstantiales, ideo Spiritûs per Filium processio est; etenim hoc et tradiderunt et perspicue docuerunt, tum ne fraternam quidem possunt vitare consubstantialitatem; eritque illis indifferens ambas dicere personas aliam ex alia. Quod si de fraternitate cogitare vitant, quomodo hoc elata voce clamabunt, siquidem ambo proveniunt ex Patre diverso existentiae modo, ut merito nos illis dicemus? Est enim hoc verum, et ita se habet diversa amborum ratio; ita ut alter sit genitus, alter procedens ex Patre, et haec processio sit per genitum Filium. Atque haec est differentia iuxta divinarum rerum peritos, et speculatrice mente praeditos: siquidem non perfunctorie in theologia definitum est, illum quidem provenire contigue, hunc autem per illum qui contigue provenit, ut haec differentia habeatur; neque enim aliam quisquam dicere audebit; id quod me saepe repetere non piget. Quoniam hoc reciprocum patrum effata habent; et uno dicto, alterum consequitur, ceu ab eodem Spiritu utrumque inspiratum: ideoque non fratres sunt, sed consubstantiales, connaturales, inseparabiles, diversi tamen quod attinet ad ipsorum naturalem sempiternamque originem: neque ulla confusio proprietatum est, si per genitum existit procedens, ut alicubi cavillantes opposuerunt. Nam si hoc iuxta ipsos contingeret, multo magis id valeret cum ex ingenito affirmatur procedens: sed sicut inde proveniens

του τὸ ἐκπορευτὸν ὡμολόγηται· ἀλλ' ὡς ἐκεῖθεν προϊὸν πνεῦμα πρόεισιν, ᾧ σύνεστιν ἡ ἰδιότης εὐθὺς, ἐκπορευτῶς γὰρ καὶ οὐκ ἀγεννήτως οὔτε μὴν γεννητῶς· καὶ ὡς ἐκεῖθεν αὖ ὁ υἱὸς, υἱὸς πρόεισι, γεννητῶς γὰρ καὶ οὐκ ἀγεννήτως, οὔτε ἐκπορευτῶς, οὕτω καὶ διὰ τοῦ υἱοῦ ἐκπορευόμενον, πνεῦμα ἐστὶ μηδαμῶς τῇ ἰδιότητι συγχεόμενον· ἀλλ' οὕτω μὲν ἀμφοτέροις τὸ ὁμούσιον, καὶ οὐχ ὅτι ἀδιαστόλως ἐκ τοῦ πατρός· ἢ γὰρ ἂν οὕτως ἀδελφικὴ ἦν ἡ ὁμοουσιότης, ὡς ἔφημεν· ἀλλ' ὅτι ἑκατέρου ὄντος ἐκ τοῦ πατρὸς τὸ μὲν υἱὸς, τὸ δὲ πνεῦμα ἐστὶ διὰ τοῦ υἱοῦ ἐκπορευόμενον.

να'. Καὶ τούτων οὕτω θεωρουμένων, πῶς ἂν ὅλως προσεισαχθείη τὸ τῆς ἀντιθέσεως ἕτερον, τὸ, ὅτι ὁμοούσια, διὰ τοῦτο τὸ πνεῦμα διὰ τοῦ υἱοῦ ἐκπεπόρευται, καὶ οὐχὶ κατὰ τὸν δειχθέντα λόγον ἐμφανὲς γένοιτο τὸ ἀντίστροφον, ὅτι διὰ τοῦ υἱοῦ τὸ πνεῦμα, ἄμφω πρὸς ἄλληλα ὁμοούσια; εἶτα εἰ καὶ τοῦτ' αὐτὸ κατεξετασθείη, τὸ ἄτοπον καὶ οὕτως οὐκ ἄδηλον· ἀδιάφορον καὶ γὰρ ἐντεῦθεν φανείη τὸ, ἀμφοῖν τοῖν προσώποιν, θάτερον διὰ θατέρου λέγειν, ὡς προδεδήλωται, διὰ τοῦ υἱοῦ τὸ πνεῦμα καὶ διὰ τοῦ πνεύματος τὸν υἱόν· εἰ γὰρ ὅτι τὸ πνεῦμα ὁμοούσιον τῷ υἱῷ διὰ τοῦ υἱοῦ, ἔσεται καὶ ὁ υἱὸς διὰ τοῦ πνεύματος, ἐπειδὴ τῷ πνεύματι ὁμοούσιος, καὶ οὕτως ἡ παραπληξία σαφής· ἀλλ' ἡμεῖς ὥσπερ σφίσι τὴν πρὸς τὸν πατέρα οἴδαμεν ὁμοουσιότητα διὰ τὸ ἐξ αὐτοῦ εἶναι καὶ λέγεσθαι, καὶ οὐχ ὅτι τῷ πατρὶ ὁμοούσια τὸ ἐξ αὐτοῦ εἶναι πρεσβεύομεν· οὕτω γὰρ ἂν ἐξ ἑκατέρων, καὶ ὁ μὴ ἔκ τινος ὢν ἐκηρύττετο· ἄμφω μὲν οὖν τῷ πατρὶ ὁμοούσια, ἐπειδὴ ἐξ αὐτοῦ πηγάζουσι φυσικῶς· καὶ οὗτος ἀμφοῖν ὁμοούσιος, ἐπειδὴ ἐξ ἑαυτοῦ συμφυῶς ἔχει,

Spiritus provenit, cui sua protinus inest proprietas, etenim processive, non ingenite neque genite. Et sicut inde etiam provenit Filius; genite enim non ingenite neque processive; ita et per Filium procedens Spiritus, proprietate sua cum illo non confunditur; sed sic ambobus inest consubstantialitas, non autem quia sine differentia ex Patre sint; alioqui fraterna esset consubstantialitas, ut diximus; sed cum uterque ex Patre sit, ille quidem Filius est, hic autem Spiritus per Filium procedens.

51. Atque his ita consideratis, quî omnino altera illa obiectio opponetur, nempe: quia sunt consubstantiales, ideo Spiritus per Filium procedit; et non potius iuxta praedictam rationem evidens sit conversum argumentum, quia per Filium est Spiritus, ideo invicem sunt consubstantiales? Deinde, si hoc ipsum consideretur, absurditas pariter non erit ambigua. Indifferens enim hinc quoque appareret ambabus personis contingere, alteram per alteram dicere, ut praemonstravimus; per Filium, Spiritum; et per Spiritum, Filium. Nam si quia Spiritus est consubstantialis Filio, ideo dicitur per Filium, erit et ipse Filius per Spiritum, quia Spiritui consubstantialis est. Atque ita erit insania manifesta. Atqui nos, sicut et illi, amborum consubstantialitatem cum Patre scimus, propterea quod ex illo sunt et dicuntur; non autem quia consubstantiales, idcirco ex Patre dicimus: sic enim ex ambobus diceretur etiam ille qui ex altero est. Ambo igitur sunt Patri consubstantiales, quia de illo naturaliter derivati. Ille autem ambobus consubstantia-

καὶ συναϊδίως ἐκλάμποντα· οὕτω καὶ διὰ τοῦ υἱοῦ τὸ πνεῦμα ὁμολογοῦντες, οὐ παρὰ τὸ ὁμοούσιον τοῦτο, ἀλλ᾽ ὅτι τοῦτο τὸ ὁμοούσιον ἀμφοῖν οἴδαμεν καὶ πιστεύομεν· καὶ οὐκ ἀμφίβολον ἐντεῦθεν ὅπως καὶ καθ᾽ οὓς λόγους τῇ ὑπερφυεῖ Τριάδι τὸ ὁμοούσιον, καὶ παρὰ τοῦτο τὸ ἀδιαίρετον· καὶ ἦ κακίας ἐστὶν ἀπαγόμενος, ὁ μὴ ταῦθ᾽ οὕτως ἀλλ᾽ ἀντιστρόφως ἐκλαμβανόμενος. cod. f. 31. a.

νβ΄. Κἀπειδὴ τοῦτο ἐναργὲς ὑπάρχει καὶ ἀναμφίλεκτον, οὐκ ἐν ἀδήλοις ὁμοίως ἐστὶν, ὡς δι᾽ υἱοῦ τοῦ πανσθενοῦς ἐκπόρευσις πνεύματος, οὐκ ἐλλιπὴς καθέστηκεν ἐκ πατρὸς, ἀλλ᾽ ἀδιαιρέτου τῷ πατρὶ ὄντος, δι᾽ αὐτοῦ τελεία καὶ ἀνενδεὴς γνωρίζεται καὶ κηρύττεται· καὶ εἴ τι δι᾽ υἱοῦ ἐστί τε καὶ λέγεται, λόγοις δὴ τοῖς αὐτοῖς τέλειον καὶ ἀνενδεὲς ἐστὶν ἐκ πατρὸς, καὶ διὰ υἱοῦ πεφυκέναι τρανοῦνται καὶ καταγγέλλεται· καὶ οὐκ ἔστιν ὅπως ἡ δι᾽ υἱοῦ φωνὴ ἄτονόν τι ἢ ἐλλιπὲς προσάψειε τῷ πατρί· οὔτε ἐν οἷς ἡ τοῦ πνεύματος ἐκπόρευσις ὑψηλολογεῖται, οὔτε ἐν οἷς ἡ χορηγία καὶ δόσις, οὔτε μὴν ἐν οἷς τὰ δημιουργήματα· οὐκ ἔστι δ᾽ ὅπως καὶ ἡμᾶς ἐν τούτοις ἀτοπίας κρινοῦσι, διὰ τοῦ υἱοῦ τὸ πνεῦμα, καὶ διὰ τοῦ υἱοῦ τὴν κτίσιν δοξάζοντας· ἀρκέσει γὰρ εἰς ὑπερηγορίαν ἡμῖν ὁ τῶν Νυσσαέων ποιμὴν, καὶ λαμπρὸς καὶ μέγας τῆς ἀληθείας συνήγορος, οὕτω ταῦτα παραδιδοὺς, καὶ τὴν διαφορὰν κατὰ τὸ τρεπτὸν καὶ ἄτρεπτον ἐκτιθέμενος, οἷς ἐν τῷ πρὸς Εὐνόμιον πρώτῳ τῶν ἀντιῤῥητικῶν οὕτω κατὰ ῥῆμα θεολογεῖ· "τὸ πνεῦμα τῷ πατρὶ κατὰ τὸ
„ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ᾽ αὐτοῦ τῷ μὴ πατὴρ εἶναι καθάπερ ἐκεῖ-
„ νος διαχωρίζεται· τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ

lis, quia ex ipso ambo connaturaliter et coaeternaliter effulserunt. Sic etiam cum per Filium esse Spiritum confitemur, non propter consubstantialitatem hoc dicimus, sed quia hanc consubstantialitatem utriusque scimus et credimus. Ideo haud manet ambiguum, quomodo et qua ratione supernaturali Trinitati insit consubstantialitas, unde etiam inseparabilitas confit: grandique improbitate deerrat, qui id non ita sed contrario sensu intelligit.

52. Et quia hoc evidens est et indubitatum, ne illud quidem obscurum manet, quod omnipotentis Spiritûs per Filium processio, haud imperfecta ex Patre est; quia cum Filius inseparabilis a Patre sit, ea per illum perfecta et indeficiens fieri cognoscitur et praedicatur: et si quid per Filium est et dicitur, eadem ratione perfectum et indeficiens est ex Patre, et per Filium existere demonstratur atque annunciatur. Nec dictio per Filium debilitatem ullam aut defectum Patri attribuet, neque cum Spiritûs processio illa sublimis pronunciatur, neque cum is praebitio vel donum dicitur, neque cum creationes nominamus. Neque absurditatem nobis imputare queunt, qui per Filium Spiritum, et per eundem creationem esse dicimus: sufficiet enim nobis ad patrocinium Nyssenorum pastor, et splendidus atque magnus veritatis defensor, ita haec tradens, et differentiam mutabilis ab immutabili exponens, dum in primo antirrheticorum adversus Eunomium sic ad litteram theologice loquitur. « Spiritus
» cum Patre in eo congruens quod creatus non sit, vicissim ab eo differt quod Pater
» sicut ille non sit. Item quatenus increatus est, et quatenus causam suae essentiae

„ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται „ πάλιν τῷ ἰδιάζοντι ἐν τῷ μή τε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι, καὶ „ ἐν τῷ δι' αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι· πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ μονο- „ γενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητα τινὰ πρὸς ταύτην ἔχειν νομισθῇ „ τὸ πνεῦμα, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ πνεῦμα ἀπὸ
cod. f. 31. b. „ τῆς κτίσεως. Τίς οὖν οὕτω τοῦ μεγάλου θεολογοῦντος, κἂν τοῖς ῥηθεῖσιν ὁρίζοντος τὸ διάφορον ἐπὶ μὲν τῶν λοιπῶν ὅσα δι' υἱοῦ ἐστί τε καὶ ὀνομάζεται, οὐδαμῶς ἔμφασιν ἐνδείας τῷ πατρὶ διδόναι ὑποτοπάσειεν; ἐπὶ δὲ τῆς ἐκπορεύσεως λεγομένης, καὶ νοουμένης, ὡς οἱ πατέρες αὐτὴν διεσάφησαν, ἀτονίαν τῷ πατρὶ προσάπτειν καὶ ἀτέλειαν φήσειεν;

νγ'. Πῶς δ' ἂν καὶ δύο αἰτίαι συναχθεῖεν, εἰ ὡς ἐλέχθη τοῖς ἁγίοις, ἡ τοῦ παμφαοῦς ἐκπόρευσις πνεύματος δι' υἱοῦ νοοῖτο καὶ ἀγορεύοιτο; εἰ ἐπὶ τῆς πέμψεως, καὶ τῶν ὅσα κατὰ τὸν οἰκεῖον λόγον εἴρηται δι' υἱοῦ διαρχίας παῤῥησιασθείη σκαιότης, παρεισφθαρείη ἂν ὁμοίως κἀπὶ τῆς δι' υἱοῦ τοῦ παναγίου πνεύματος ἐκπορεύσεως· εἰ δ' ἐπ' ἐκείνων οὐμενουν ἕξει τι τοιοῦτον παρείσδυσιν, πῶς ἂν ἐν τούτοις σχοίη τὸ σύνολον; οὐ γὰρ δὴ ἐπ' ἐκείνων ἡ δι' υἱοῦ ῥῆσις ἀναφοράν ἔχει πρὸς τὸν πατέρα, καὶ τὸ πᾶν ἐκείνῳ τῆς αἰτίας μαρτύρεται, ἐπὶ δὲ τῆς ἐκπορεύσεως τοῦτο ἀποσκευάζεται· τῶν θεολόγων εὑρεθήτω ὁ ταῦτα διαστέλλων καὶ διαιρῶν, καὶ στερκτέα εἴη καὶ ἀπαρέγκλιτα· εἰ δὲ τὸ τριττὸν ἡ ΔΙΑ κεκτημένη τὴν τελεσιουργίαν τὴν ὀργανικὴν σημασίαν, καὶ τὴν φυσικὴν καὶ οὐσιώδη μεσότητα, καὶ κατὰ θάτερον τούτων τὸ ὕστατον δηλαδὴ πανταχοῦ τῷ υἱῷ συνεκφωνουμένη ἐπί τε δόσεως καὶ τῶν ἀλ-

» habet ab omnium Deo, cum Filio congruit; vicissimque ab eo proprietate sua » differt, quatenus haud Unigenitus Patris est; et quatenus per ipsum Filium ef- » fulsit. Rursus quum creaturae per Unigenitum extiterint, ne forte Spiritus com- » mune aliquid existimaretur cum his habere, distinguitur per suam invertibilitatem » atque immutabilitatem a rebus creatis Spiritus. » Quis ergo, magno hoc theologo ita loquente, et differentiam in praedictis constituente, quis inquam in ceteris quidem quaecumque per Filium sunt et appellantur, nullam defectus speciem Patri tribui iudicet; at vero circa eam quae dicitur intelligiturque processio, ut eam patres declaraverunt, debilitatem Patri imputari atque imperfectionem dicat?

53. Cur item duae causae cumulentur, si, ut sancti dixerunt, processio splendidissimi Spiritus per Filium fieri intelligatur et praedicetur? Si circa missionem, et quaecumque peculiari locutione dicta sunt de Filio, duplex principium audeat perversitas invehere, utique pari modo obtruderetur etiam circa sanctissimi Spiritus per Filium processionem. Iam si in illis nihil huiusmodi aditum inveniet, cur in his inquam omnino? Non enim in illis quidem dictio per Filium relationem habet ad Patrem, et huic causam cuncta attestantur; circa processionem autem haec non admittitur. Inveniant hi theologum qui ista distinguat aut dividat, et tunc necessario res admittatur. Tertio demum, si praepositio PER, vim perfectivam et organicam significationem, naturalemque et substantialem mediationem denotat; et si iuxta hunc postremum sensum ubique de Filio pronunciatur; et si a vocabulo doni, et aliorum,

λων τὸ διπλοῦν τῆς ἀρχῆς ἀποπέμπεται, δῆλον ὡς τοῦτ' αὐτὸ πάντως ἐστὶ δεικνυμένη κἀπὶ τῆς ἐκπορεύσεως· ἐπειδὴ κἀνταῦθα κατὰ τοῦτο τῶν σημαινομένων, καθ' ὅπερ ἐν ἐκείνοις δεόντως λαμβάνεται, καὶ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει σαφῆ· καὶ ὡς ἐν ἐκείνοις οὕτω κἀνταῦθα πρὸς τὴν πρώτην αἰτίαν τὰ τοῦ μονογενοῦς ἀναφέρεται. Βασίλειοι καὶ Γρηγόριοι ταῦτα μετὰ τοῦ αὐτοῦ πνεύματος φθέγγονται, οἳ ὡς ἀληθῶς ὁμόφρονες καὶ ὁμόψυχοι· καὶ παρὰ τοῦτο ῥίζα καὶ ἀρχικὸν αἴτιον ὁ πατήρ· καὶ οὐμενοῦν ὅλως cod. f. 32. a. δύο ἀρχαί, εἰ διὰ τοῦ υἱοῦ τοῦ παναγάθου ἡ ἐκπόρευσις καταγγέλλοιτο, καθὼς αὐτὴν ἐπί τε σημασίας καὶ λέξεως οἱ πατέρες παρέδοσαν.

νδ'. Ἐπεὶ γοῦν οὕτω ταῦτα, καὶ ἀληθές ἐστι δόγμα καὶ ἀναντίρρητον τὸ τὴν ἐκπόρευσιν εἶναι τοῦ ζωαρχικοῦ πνεύματος δι' υἱοῦ, τίς ἡ καινοτομία; ποῖα δογμάτων παρατροπή; εἰ τοῦτο κατέχοντες μετὰ τῶν καὶ ἐξ υἱοῦ ταύτην ὁμολογούντων, εἰρηνεῦσαι διενοήθημεν; ἆρα οὐχὶ μύσται καὶ ὀπαδοὶ ἐκείνων ἐσμὲν τῶν μὴ διὰ συλλαβῶν ἦχον ἐγκελευομένων ἀπ' ἀλλήλων διΐστασθαι, τῶν ῥημάτων εἰς ταυτὸν ἔστ' ἂν ἔρχηται ἡ διάνοια; ἆρα οὐχ ἡ μεγαλόφωνος σάλπιγξ τῆς ἀληθείας, ὁ τῆς εὐσεβείας ὑπέρμαχος Ἀθανάσιος, τοῦτο θεοσόφως διηνυκῶς ἐπὶ τῶν αὐτῶν καὶ ταῦτα κρατίστων ἐν χριστωνύμοις ἐθνῶν [1], περὶ ὧν ἡ νῦν σύγχυσις καὶ σκοτόμαινα, λόγοις οἷς σαβελλισμὸς ἐπενοεῖτο καὶ ἀρειανισμὸς, τὰ τῆς φιλονεικίας ἀναπλάσματα, τὴν φορὰν ἐντεῦθεν ἐπέσχε τοῦ συναπορραγῆναι ταῖς συλλαβαῖς τὰ πέρατα· καὶ ὡς ἀσφαλὲς ἡμῖν ἀφῆκε τοῦτο παράδειγμα; οὐχ' ὁ γρήγορος νοῦς, καὶ τῆς θεολογίας ἐπώνυμος διατόρως ὑψηγορῶν ἀποφαίνεται, μηδὲ γὰρ τὸ Ἰουδαίων ἔθ-

principii duplicitas excluditur, patet illam praepositionem id ipsum in processione quoque sonare; quia et heic iuxta eundem significatum, quo in illis, merito accipitur, et primariae causae confessionem manifestam prae se fert: atque ut in illis, ita et heic ad primam causam actio Unigeniti refertur. Basilius atque Gregorius eodem suggerente Spiritu id aiunt, vere concordes atque unanimes. Ideoque radix et originalis causa Pater est; nullatenus vero causae duae, cum per Filium processio optimi Spiritus praedicatur, quemadmodum eam et sensu et vocabulo patres tradiderunt.

54. Quae cum ita se habeant, verumque sit et irrefutabile dogma, quod vivifici Spiritus processio per Filium sit, quaenam heic novitas? quaenam dogmatum subversio? si nos hanc retinentes dictionem, cum illis qui ex Filio quoque eam confitentur, pacem habere decrevimus? Nonne discipuli et adseclae illorum sumus, qui propter verborum sonum vetant invicem dissidere, cum certe idem sensus illarum est? Nonne clamosa veritatis tuba, et rectae fidei summus defensor Athanasius, id mire sapienterque effecit inter duas potentissimas christianas gentes, circa vocabula, quorum causa confusio nunc et tenebrae sunt offusae, cum sabellismus illic et arianismus intelligeretur, quae erant potius voluntariae rixae figmenta? Dissidii inquam cursum inhibuit, ne videlicet verborum causa termini abrumperentur. Nonne vigilans

1) Scilicet Romani ob theologicorum vocabulorum penuriam videbantur interdum a Graecis dissidere; verumtamen sensibus conciliatis, discordia evanuit. De theologicis vocabulis late S. Maximus in epistolis quae inscribuntur mixtim.

νος ἀποβαλεῖν ἄν, εἰ τὴν τοῦ Ἠλειμμένου 1) φωνὴν ἀντὶ τῆς Χριστοῦ πρὸς ὀλίγον ἐπιζητοῦντες, ἠξίουν μεθ' ἡμῶν τάττεσθαι; οὐχ ὁ τὴν ὁμολογίαν ἀπαράμιλλος Μάξιμος σύντροχα τούτοις ὑποτιθεὶς, μὴ ἐν ῥήμασιν ἡμῖν εἶναι τὴν πίστιν, ἀλλ' ἐν πράγμασι παραδίδωσιν; οὐχὶ καὶ ἕτεροι οὐκ ὀλίγοι τῶν θεοκοσμήτων διδασκάλων τὰ αὐτὰ μετὰ τῆς αὐτῆς χάριτος ἐπιτρέπονται; εἰ ταῦτα βέβαια καὶ εἰλικρινῆ, πῶς οὐχὶ μαθηταὶ τούτων ἡμεῖς ἐννοιῶν ἐπὶ συμφωνίᾳ τὴν εἰρήνην μεταδιώξαντες;

νε'. Ἀλλ' οὐχὶ σύμφωνον ταῖς πατρικαῖς ἐννοίαις τὸ, καὶ ἐξ υἱοῦ λέγειν τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· πῶς οὐχὶ σύμφωνον; ἐροίμην ἂν πρὸς
cod. f. 32. b. αὐτούς· εἰ μὲν γὰρ Ῥωμαῖοι τὴν ἐκ ἐπὶ τοῦ υἱοῦ ἐκφωνοῦντες εἰς παράστασιν τοῦ καὶ αὐτὸν ῥίζαν καὶ ἀρχικὸν αἴτιον εἶναι, ὥσπερ ἐπὶ τοῦ πατρός ἐστιν εἰλημμένη λαμβάνουσι, σύμφημι καὶ αὐτὸς, καὶ κοινὴν τὴν μετ' αὐτῶν κοινωνίαν ὁλοσχερῶς ἀπωσόμεθα· εἰ δὲ μόνως ἐπὶ τοῦ πατρὸς οὕτω ταύτην ὁμολογοῦντες, οὐμενοῦν ἐπὶ τοῦ υἱοῦ, ἢ γὰρ ἂν οὕτω καὶ οὐχ υἱὸν ἀλλὰ πατέρα τοῦτον ἐπρέσβευον, καὶ ἐπ' αὐτοῦ τιθέντες αὐτὴν, ὅτι δι' αὐτοῦ τοῦτο φρονοῦσι, τὸ μέσον αὐτὸν εἶναι καλῶς εἰδότες, καὶ θεολογικῶς ἐπιστάμενοι, πῶς οὐχὶ καὶ τὸ ἐκ τοῦ υἱοῦ λέγειν ταῖς πατρικαῖς ἑρμηνείαις καθέστηκε σύνδρομον; ὅτι μὲν γὰρ ἡ ΕΚ ἐπὶ τοῦ ἀντὶ τῆς ΔΙΑ ἐστὶ λεγομένη, καὶ ὁ σὸς ἄρα Καματηρὸς 2) μετὰ τῆς ἀληθείας συμμαρτυρεῖ, οἷς τὸν κατὰ τῶν Ῥωμαίων αὐτῷ πονηθέντα λογικὸν ἄεθλον συνεστήσατο, ἢ μᾶλλον ἰδέαν οἷς ἐκθεῖναι λογογραφικὴν ἐφιλοτιμήσατο· εἰ δέ σοι καὶ πάλιν ἀντιθέσεις ἐπιπλα-

illius viri mens, qui a theologia nomen accepit (Greg. naz.) clarissime clamans edicit, nolle se ne Iudaeorum quidem gentem excludere, si Uncti vocabulum, pro illo Christi parumper sibi concedi postulantes, vellent nobiscum convenire? Nonne et non pauci alii perornati a Deo doctores, eiusdem gratiae impulsu paria suadent? Iam si haec firma et explorata sunt, quid ni nos horum discipuli ob sensuum concordiam pacem sectemur?

55. At non est, inquiunt, consonum patrum mentibus dicere etiam EX FILIO Spiritum sanctum procedere. At cur non sit consonum? ego his responderim. Nam si Romani ita dictionem EX FILIO pronunciant, ut ipsum quoque Filium radicem esse denotent et causam originalem, eo sensu quo de Patre intelligunt, vobis et ego adsentiar, et communionem cum Romanis prorsus respuam. Sed si de Patre tantum ita confitentur, non de Filio; secus iam non hunc esse Filium sed Patrem crederent; Filio autem particulam EX addunt, quia per ipsum fieri processionem credunt, praeclare eius mediationem scientes theologiceque tenentes; nonne locutio EX FILIO patrum doctrinis consona apparet? Nam quod particula EX praeposita FILIO, pro particula PER dicatur, tuus quoque Camaterus veritati consentiens testatur, in eo quod adversus Romanos instituit logico certamine, vel potius certaminis specie, quod scripto ambi-

1) Ita codex, et quidem recte. Verumtamen Allatius ad Iohannis Vecci orationem I. p. 13. incaute interpretabatur *assumpti*, quasi ex εἰλημμένου. Ceterum recte postea idem interpres Allatius p. 35. Et quidem graece apud eum primo recte ἠλειμμένου, secundo mendose ἠλειμένου.

2) Adversus Camateri opus extant animadversiones Ioh. Vecci patriarchae apud Allatium T. II. G. O.

κήσονται, τὴν ΔΙΑ ὅπως οὐ τιθέασιν ἀντεπάγοντι, ἐνὸν ταύτην θεῖναι καὶ ἀπαλλαγῆναι πραγμάτων· ἀλλὰ τὴν ΕΚ ἐκφωνοῦντες ἀντὶ τῆς ΔΙΑ ἐκλαμβάνονται, ἔχῃς ἂν ἀκοῦσαι· καθὼς ἄρα κἀκεῖνοι, ὧν ἐπὶ τοῖς θεοφθόγγοις ῥητοῖς ὁ Καματηρὸς σημειοῦται τὴν τῶν τοιούτων προθέσεων ἀντιπεριχώρησιν· πάντως γὰρ ἐφ' ὧν ἡ ΔΙΑ λόγον φυσικῆς ἐμφαίνει μεσότητος, ἐπὶ τούτων καὶ ἡ ΕΚ οὐκ ἀπροσφυὴς πλὴν παρὰ τὴν ΔΙΑ· ἐπεὶ γὰρ τὸ φῶς, ἐκ τοῦ ἡλιακοῦ δίσκου διὰ τῆς ἀκτῖνός ἐστι, καὶ ἐκ τῆς ἀκτῖνος λέγεται δῆτα· καὶ οὐκ ἀπᾴδον οὕτω λέγειν πέφυκε, καὶ ἀνάρμοστον· ὅμως ὅτι διὰ τῆς ἀκτῖνος, καὶ τοῦτο διατρανῶν ἐστιν ὁ ἐκεῖνο φθεγγόμενος.

νϛʹ. Ὅτι δὲ καὶ τὴν τῶν προθέσεων τούτων πρὸς τὰ ὑπ' αὐτῶν ἀντιμεταποίησιν σημαινόμενα πατρικαὶ χρήσεις στηρίζουσιν, δῆλον ἐντεῦθεν ἐστίν· ὁ τὸν βίον καὶ τὸν λόγον ἰσάγγελος μέγας Βασίλειος ἐν τῷ οὑτωσί πως ἐπιγραφομένῳ περὶ τοῦ παναγίου πνεύματος κεφαλαιώδει λόγῳ πέμπτῳ πρὸς τὸν μακάριον Ἀμφιλόχιον, οὗ ἡ ἀρχὴ, τὰ μὲν δὴ ἐκείνων τοιαῦτα· ἡμεῖς δὲ δείξωμεν ὃ προεθέμεθα, φησίν· "ἤδη δὲ καὶ πρὸς τὰ ὑπ' ἀλλήλων ἐπὶ τῆς ,, θεολογίας σημαινόμενα πολλάκις ἀντιμεθίσταται ἡ ΔΙΑ, καὶ ἡ ΕΚ, ὅταν ἑτέ-,, ρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνει· οἷον ἐκτησάμην ἄνθρωπον διὰ ,, τοῦ θεοῦ, ἴσον λέγων τῷ ἐκ τοῦ θεοῦ. Καὶ ἑτέρωθι· ὅσα ἐνετείλατο Μωϋ-,, σῆς τῷ Ἰσραὴλ διὰ προστάγματος κυρίου. Καὶ πάλιν· οὐχὶ διὰ τοῦ θεοῦ ,, ἡ διασάφησις αὐτῶν ἐστιν;,, ἀντὶ τοῦ ἐκ θεοῦ εἰπεῖν, διὰ τοῦ θεοῦ εἴρηκεν.,, Ὁ θεαυγὴς τῶν θείων διαγγελεὺς Ἀθανάσιος ἐν τῷ κατὰ ἀρειανῶν πρώτῳ λόγῳ, οὗ ἡ ἀρχὴ, αἱ μὲν αἱρέσεις ὅσαι τῆς ἀληθείας ἀπέστησαν ἐπινοήσασαι μανίαν ἑαυταῖς φανεραὶ τυγχάνουσι, φησίν· "ὅταν οὖν εἰς τοῦθ' ἡλικίας ὁ ἄνθρω-

tiose exposuit. Quod si denuo tibi contradicenti opponant, cur PER non ponunt Romani, cum hanc adsciscere particulam possent, atque ita se negotio expedire? velim scias, Romanos dicentes EX, pro particula PER accipere; quemadmodum et illi, quorum in divinis locutionibus Camaterus adnotat harum particularum mutuam vicem. Prorsus enim ubi particula PER naturalis mediationis sensum denotat, ibi etiam EX non absurde, loco dictae PER adhibetur. Nam quia lux ex solari disco per radium fit, ideo etiam ex radio dicitur; neque sic loqui absonum est aut inconveniens, quia per radium fieri is adfirmat, qui sic loquitur.

56. Quod autem et harum particularum in suis significatibus commutationem, patrum auctoritates adfirment, hinc fiet manifestum. Ille vita et verbis par angelis Basilius in ea, quae inscribitur de sanctissimo Spiritu, compendiosa oratione quinta ad beatum Amphilochium, cuius initium: et illorum quidem haec sunt; nos vero quod proposuimus demonstrabimus, ait. «Iam enim etiam in alternantibus apud theolo-» gos significatibus, saepe permutatur particula PER cum EX, quum altera alterius » significatum recipit, veluti: possedi hominem per Deum, quod idem valet atque » ex Deo. Et alibi: quaecumque praecepit Israheli Moyses per mandatum Domini. Et » rursus: nonne per Deum manifestatio eorum est? Pro ex Deo, per Deum dixit.» Splendidus divinarum rerum promulgator Athanasius, in prima adversus Arianos oratione, cuius initium: haereses utique quotquot a veritate recesserunt, apparet in-

cod. f. 33. a.

„ πος προέλθῃ, ᾗ καὶ τὸ δυνατὸν ἡ φύσις παρέχει, εὐθὺς ἀνεμποδίστως τῇ „ φύσει πατὴρ ὁ ἄνθρωπος γίνεται τοῦ δι' αὐτοῦ υἱοῦ.„ Ὁ μέγας καὶ θεόσοφος Κύριλλος ἐν μιᾷ τῶν πρὸς Νεστόριον ἐπιστολῶν, ἧς ἡ ἀρχὴ, καταφλυαροῦσι μὲν ὡς μανθάνω τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας, φησίν· "ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς, ὦ Νεστόριε, ἆρ' οὖν εἰπέ μοι θεότητος μή- „ τηρ γέγονεν ἡ παρθένος; καὶ πρός γε τοῦτο φαμὲν, ὅτι γεγέννηται μὲν „ ὁμολογουμένως ἐξ αὐτῆς τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς ὁ ζῶν τε καὶ „ ἐνυπόστατος λόγος, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς ἐπειδὴ γέγονε σάρξ, „ τουτέστι ἡνώθη σαρκὶ ψυχὴν ἐχούσῃ τὴν λογικὴν, γεγεννῆσθαι λέγεται και „ σαρκικῶς διὰ γυναικός. Καὶ μετά τινα· ὅ ἐκ θεοῦ πατρὸς λόγος ἐκ τῆς „ ἁγίας παρθένου ἐστί. Καὶ μετὰ βραχὺ πάνυ· γεγέννηται καθ' ἡμᾶς ἐκ γυ- „ ναικός.„ Ἀποχρῶσαν ἔχει ταῦτα φανέρωσιν, τοῦ τὰς ῥηθείσας τῶν προθέσεων πρὸς τὰς ὑπ' ἀλλήλων σημασίας ἀντιμεθίστασθαι, καὶ τὸ ἰσοδύναμον ἐπιδείκνυσθαι; ἢ βούλει πολλῶν ὄντων, καὶ οὐκ εὐπεριγράπτων τῶν ἔτι
cod. f. 33. b. τοῦτο διευλυγούντων προσθήσομέν σοι καὶ ἕτερα; οὐ γάρ μοι δυσχερὲς τὸ τοιοῦτον· φίλον δὲ μᾶλλον τὴν συντομίαν σκοποῦντι τὸ ἐκ πολλῶν ὀλίγοις ἀρκεῖσθαι εἰς μαρτυρίαν ἁπανταχοῦ.

νζʹ. Ἀλλ' ὦ οἷον ἐστὶ κακία; καὶ ὅπως οὐκ ἔστι ταύτην περιελεῖν; και πρὸς ταῦτα γὰρ ἀντιλέγων ἐπάγεις, ἐπὶ τῶν κτισμάτων εἰρῆσθαι, καὶ οὐμενουν ἐφ' ὧν ὁ λόγος ληφθῆναί τι τοιοῦτον δυνήσεται· καὶ οὐδὲ συνιδεῖν ἔχεις, ὡς ὃν ἐν πρώτοις τῶν οὕτω λεγομένων παρηγάγομεν μάρτυρα, θεῖον
* ita cod. ἄνδρα, προσφυέσπερον δ' εἰπεῖν θεῖον νόα * καὶ οὐρανόφρονα, τὴν λεχθεῖσαν διδασκαλίαν παραδιδοὺς ἐπὶ τῆς θεολογίας φησὶν ἐπὶ λέξεως· ἐκ τῶν κτι-

saniam sibi comparasse, ait. «Cum ergo ad eam aetatem homo pervenit, in qua » vires natura suppeditat, statim absque ullo impedimento, homo naturaliter fit pa- » ter filii qui per ipsum est.» Magnus etiam theologus Cyrillus in una suarum ad Nestorium epistolarum, cuius initium: nugantur quidam apud pietatem tuam, ut audio, contra existimationem meam, ait. «Sed illud fortasse dices, o Nestori: age » ergo, dic mihi, divinitatis mater facta est virgo? Ad hoc dicimus: natum revera » de substantia Dei Patris vivens, et in hypostasi sua existens Verbum; extremis » autem saeculi tempo ribus, cum caro factum est, id est carni unitum animam ra- » tionalem habenti, tunc natum dici etiam secundum carnem per mulierem.» Et » aliquot interiectis: «quod est ex Patre Verbum, idem ex sancta virgine est.» Et vix paulo post: «natum est aeque ac nos ex muliere.» Satis haec demonstrant, dictas particulas propter mutuos significatus permutari, et parem vim prae se ferre. Nisi forte vis, quia multi sunt nec facile numerandi qui id declarant, alia quoque tibi adiiciamus. Nec mehercule hoc mihi foret difficile; sed compendii studiosior, pauca semper de multis satis habeo testimonia proferre.

57. Sed o perversitas quanta est, quamque ea facile non aufertur! Namque et adversans pergis dicere: de creatis rebus sic esse dictum, non tamen de iis unde sermo sumere aliquid poterit. Tu vero inquam ignorans, illum quem in primis inter sic loquentes produximus testem, divinum hominem, atque ut aptius dicam divi-

σμάτων δὲ λαμβάνει τὰ πρὸς παράδειγμα, ἐπειδὴ καὶ τοῦτο τοῖς θεογογοῦσιν οὐκ ἀποτρόπαιον· οὐ γάρ ἐστιν ἕτερον ὑπὲρ ταῦτα σφίσιν, ἐξ οὗπερ ἡνίκα χρῆσις εὑρεθείησαν παραδείγματα· ἀλλ᾽ εἰ καὶ τάδε σοι καθὼς ἐράσμιον δοίημεν, ἕτερα παράξομεν ἐναργέστερα· καὶ αὖθις γὰρ ὁ θεόληπτος Κύριλλος ἐν τῷ πέμπτῳ τῶν πρὸς Ἑρμείαν, φησί· "τίνα τρόπον καταθρήσαιμεν ἂν ζωὴν „ ὄντα κατὰ φύσιν καὶ τὸν υἱόν; τί δὲ οὐχὶ καὶ φάσκοντι πιστευτέον τὸ, „ ἐγώ εἰμὶ ἡ ἀλήθεια καὶ ἡ ζωή; συνάρθρως δὲ καὶ μοναδικῶς ἑαυτὸν εἶ- „ ναι λέγων τὴν ζωὴν, ἆρα οὐκ ἐξώσειεν ἂν τοῦ εἶναι ζωὴν τὸν πατέρα καὶ „ θεὸν, εἰ μὴ φύσεως μιᾶς ἄμφω γε εἶναι δώσομεν, καὶ δι᾽ ἀμφοῖν εἰς ἡμᾶς „ ἐν ἴσῳ τὸ χρῆμα ἰέναι; καὶ οὔτι που δυοῖν, ἀλλ᾽ ὡς ἐξ ἑνὸς τὰ τοῦ πάν- „ τα ζωογονοῦντος θεοῦ; Ἐν τῷ ἕκτῳ τῶν πρὸς αὐτόν· ὃ γὰρ ἂν δρῷτο πα- „ ρὰ πατρὸς, τοῦτο δὴ πάντως ἐστὶν ἐνέργημα τοῦ υἱοῦ· καὶ ὅπερ ἂν λέ- „ γοιτο διαπεραίνεσθαι δι᾽ υἱοῦ, τοῦτο πάντως ἐστὶ κατόρθωμα τοῦ πατρός· „ πάντα γὰρ δι᾽ ἀμφοῖν ἐν ἴσῳ.„ Εἰ μὲν οὖν οὐδὲ ταῦτα σοι πρὸς τὸ ζητούμενον ἱκανὰ, ἀλλ᾽ ἔτι σοι τὸ τῆς ἐριθείας σχοινίον ἐνείρεται, διαλύσειε τοῦτο σοι τέλεον ὁ αὐτὸς θεορρήμων πατὴρ, περὶ αὐτοῦ δὴ τοῦ, περὶ οὗ ὁ λόγος, προβλήματος οὕτω λέγων καὶ γράφων ἐν τῷ πρώτῳ τῶν πρὸς Παλλά- cod. f. 34. a. διον· "τρεπτὸν δὲ οὔ τί που τὸ πνεῦμα ἐστί· ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, „ ἐπ᾽ αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστι τοῦ θεοῦ „ καὶ πατρὸς καὶ μὴν καὶ τοῦ υἱοῦ τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ πα- „ τρὸς δι᾽ υἱοῦ προχεόμενον πνεῦμα.„

νη´. Τί οὖν ζυγομαχήσαις ἂν καὶ ἔτι περὶ τοῦ εἰς ἀλλήλας τὰς πολλάκις δηλωθείσας τῶν προθέσεων ἀντιμεταλλάττεσθαι; καὶ τὴν ΕΚ ἀντὶ τῆς ΔΙΑ

nam mentem et caelestia sapientem, praedictam doctrinam dum traderet theologicam, ita loqui ad litteram, et ex creatis rebus exemplum sumere; quoniam ne hoc quidem theologi aversantur. Non enim ipsis, praeter has, aliud superest unde capiantur exempla cum opus est. Sed etiamsi hoc quasi gratificantes tibi largiamur, evidentiora alia in medium adducemus. Ecce enim divus Cyrillus in quinto ad Hermiam ait. « Quomodo perspiceremus vitam esse suapte natura Filium? Cur non sit » credendum dicenti: ego sum veritas et vita? Cum igitur et praeposito articulo » ἡ, et singulariter se dicit vitam, nonne Patrem excludit, quominus vita sit, nisi » utriusque unam esse naturam concedamus; et non ex duobus, sed ex uno qui » omnia vivificat Deo, vitam pariter ad nos derivare? » In sexto ad eumdem: « nam quicquid a Patre fiet, ea omnino est Filii operatio: quicquid a Filio perfici » dicetur, ipsa prorsus est Patris actio. Cuncta enim per ambos aequaliter. » Iam vero si ne haec quidem ad propositam quaestionem tibi sufficiunt, sed adhuc funem contentiosum trahis, solvet tibi hoc quoque postremum idem deiloquus pater, de praesenti nostro problemate ita loquens scribensque in primo ad Palladium. « Mutabilis nullatenus Spiritus est: secus enim si mutabilitate laboraret, ad ipsam dedecus hoc pertingeret divinam naturam; quandoquidem est Dei Patris immo et Filii, » qui est substantialiter ex ambobus, nempe ex Patre per Filium effusus Spiritus. »

58. Cur ergo iam diutius neges, has saepe particulas mutuo permutari? et EX

ἐπὶ τοῦ υἱοῦ ἐκλαμβάνεσθαι; ἢ τὸ διηκρινημένον πρὸς ταῦτα τοῦ θεσπεσίου καταιδεσθήσῃ Κυρίλλου· καὶ εἰ τοῦτο δεόντως, καὶ τὰ τῶν ἄλλων ἑπομένως αἰδέσθητι· καὶ μηδὲ Μαξίμου κατολιγώρει τοῦ τὸν κατὰ θεὸν ζῆλον, καὶ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας περιφανοῦς, τὴν πρὸς τὴν ΔΙΑ τῆς ΕΚ ἀντίμεταπόρθμευσιν ἐπ' αὐτοῦ καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι σαφηνίζοντος, οἷς τὸν ὑπὲρ τῶν Ῥωμαίων εἰς τοῦτο ποιεῖται ἀπόλογον· "ἀλλ' ἵνα τὸ δι' αὐ- „ τοῦ προϊέναι δηλώσωσι, φάσκων, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπα- „ ράλλακτον παραστήσωσιν·„ Ὥστε δέ μοι καὶ τόδε δέχοιο πόρισμα, ὅπως ὁ μέγας τὸ ὁμοούσιον ἐνταῦθα θεολογεῖ· τὸ γὰρ ΤΑΥΤΗι ἀντὶ τοῦ ΟΥΤΩ πάντως εἰρημένον ἐστίν· ἀμέλει τὸ τῆς οὐσίας ἀπαράλλακτον καὶ τὸ συναφὲς, οὕτως ἀμφοῖν δηλονότι κατὰ τὸ ΔΙ' ΑΥΤΟΥ, καὶ οὐ τοὔμπαλιν τοῦτο διὰ τὸ ὁμοούσιον· οὗ σὺ διδάσκαλος διαπρύσιος κινδύνῳ οὐ πολλοστῷ, ὅπερ οὖν ἔλεγον, μήτε τὰ τῶν ἑτέρων, μήτε τὰ τοῦ θεοδοξάστου τούτου πατρὸς, ὥς τινα τῶν παραδρομῆς ἀξίων παρέτρεχε· σκόπει δὲ μᾶλλον ὡς αὐτὸς ἐστὶν ὁ τὸ καὶ ΕΚ ΤΟΥ ΥΙΟΥ, ἀντὶ τοῦ ΔΙΑ ΤΟΥ ΥΙΟΥ ἐνθάδε διευλυτῶν, καὶ αὐτός ἐστιν αὖθις ἐν ἄλλοις ὁ τὸ ΔΙΑ ΤΟΥ ΥΙΟΥ ἐκπορευόμενον ἀριδήλως διατρανῶν, καὶ τέλος μὴ ἀσύμφωνον, ἀλλὰ συνᾷδον ὁμολογεῖ καὶ σύμφωνον τὸ καὶ ΕΚ ΤΟΥ ΥΙΟΥ τῷ ΔΙΑ ΤΟΥ ΥΙΟΥ ἐπορεύεσθαι καὶ προϊέναι, καθὼς οὐχ ἡμεῖς καὶ τοῦτο κατὰ λέξιν τὸ σύμφωνον δηλαδὴ, οὗτος δ' ὡς ἀληθῶς, ὁ τὴν διδασκαλίαν
cod. f. 34. b. ἔνθεος ἀποφαίνεται· εἰ δέ σοι δειλία μὲν συνδιατεθῆναι τοῖς οἷς οἱ θεηγόροι θείῳ πνεύματι κινηθέντες διηγορεύκασι, πρὸς δὲ τὰ ἀπὸ κοιλίας σοι ἐρευγόμενα οὐδεμία ὑποστολὴ, ἀλλ' ἡμῖν πρὸς τὰ σφῶν ἀφορῶσιν ἀεὶ, καὶ μηδὲν οἴκοθεν φθεγγομένοις, ὅ τι μὴ ἐξ αὐτῶν, οὐδὲ τὸ σύμφωνον ἔνεστι κατ-

pro PER in Filio adhiberi? Saltem divi hac in re Cyrilli perspicuam doctrinam reverere. Quod si ut par est facis, aliorum quoque sententiis consequenter obsequere. Neque Maximum negligas illum, divino zelo et exantlatis pro recta fide laboribus perillustrem, qui particulae PER cum EX permutationem in ipsa ex Filio processione ostendit, ubi pro Romanis circa hoc defensionem exequitur: « sed ut per » ipsum, inquit provenire demonstrent, et itidem coniunctionem substantiae parita- » temque repraesentent. » Atque heic mecum hoc quoque lucrum percipe, quomodo scilicet magnus hic vir homousion simul theologice tradat: etenim vocabulum ITIDEM pro ITA omnino dictum est; nimirum substantiae paritas et coniunctio ita utrique est; iuxta illud PER IPSUM, et hoc haud vice versa per homousion. Cuius rei tu magister eximius haud multo cum periculo quicquid dixerint, esto; neque aliorum neque divinae sententiae patris verba ceu neglectu digna praetereas; sed potius animadverte ipsum esse qui dictionem EX FILIO, heic verbis PER FILIUM explanat: eundemque vicissim alibi perspicue docere, Spiritum PER FILIUM procedere: et denique non absonam sed consonam confiteri dictionem EX FILIO illi PER FILIUM procedere ac provenire: sicut hoc quoque omnino consonum, non nos, sed hic vere divini magisterii homo demonstrat. Verumtamen si tu adsentiri metuis doctrinis, quas deiloqui divino Spiritu moti praedicarunt, et ab iis quae de ventre eructantur non abstines; nos quidem ad eos semper respicientes, et nihil marte nostro loquentes, quod non ab ipsis sit, ne

ὀῤῥωδηκέναι διατόρως ὁμολογεῖν, καὶ παρὰ τοῦτο τοῖς ἐξ ὧν αὐτὸ δεδειγμένον πέφυκεν ἐρειδόμενοι, καὶ τὴν μετὰ τῆς ῥωμαϊκῆς ἐκκλησίας εἰρήνην ἑλόμενοι, οὔτε τῶν ἐντεῦθεν εἰς ἄτοπόν σοι ἀπαγωγῶν, καὶ ῥαδιουργιῶν διαφόρων ἐπιστρεφόμεθα, καὶ τὰς πολυειδεῖς σοι τιμωρίας καὶ πολυμηχάνους κακώσεις δεχόμεθα.

νθ'. Τῶν δεόντων δ' ἡγούμεθα τὸ προϋπεσχημένον ἔχοντες ἐναργὲς, καί τινας ἀπάρτι τῶν εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην ἑρμηνειῶν τοῦ θαυμασίου Κυρίλλου, αἷς μετὰ τῶν ἄλλων καὶ τὴν προδιηγγελμένην συμφωνίαν ὁ μέγας μαρτύρεται Μάξιμος ἐπὶ τοῦ μέσου παραγαγεῖν τῷ λόγῳ κατ' ἔπος ἐγκαταστρώσαντας, κἀκ τοῦ υἱοῦ κηρυττούσας τὸ παντοκρατὲς πνεῦμα καὶ ὑπεράγαθον· τοῦ αὐτοῦ τε πάλιν ἑτέρας ἐκ τῶν ὧν θείαις ἐπιπνοίαις θεηγορήσας ἐφάνη κατὰ καιροὺς, καὶ λοιπῶν αὖθις πατέρων ἀμυδρὰς ἐκ πολυπληθῶν, πρὸς ἀλλήλας συντρεχούσας κατὰ τὸ τῆς ἐννοίας φωτοφανὲς, καὶ ταῖς προτέραις συνερχομένας εἰλικρινῶς· οὐ γὰρ τοῖς θεοφόροις ἀσύμβατόν τι τὸ παράπαν, ἢ ἀσυνάρτητον· μεθ' ἃς καὶ χωρῆσαι πρὸς τὰ ἑξῆς τῆς προθέσεως· τοιγαροῦν ἐν τῇ ἑρμηνείᾳ τοῦ ῥηθέντος εὐαγγελίου, εἰς τὸ ῥητὸν τὸ, κἀγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ὁ δηλωθεὶς διαυγέστατος Κύριλλος οὕτω φησίν· "τῶν γὰρ τοῦ θεοῦ καὶ πατρὸς φυσικῶν ἀγα-
„ θῶν οὐσιωδῶς ὑπάρχων κοινωνὸς ὁ υἱὸς, ἔχει τὸ πνεῦμα κατὰ τοῦτον τὸν
„ τρόπον, καθ' ὅνπερ ἂν νοοῖτο καὶ ὁ πατὴρ, οὐκ ἐπακτὸν οὐδὲ ἔξωθεν· εὐη- cod. f. 35. a.
„ θες γὰρ, μᾶλλον δὲ μανικὸν τὸ οὕτω φρονεῖν· ἀλλ' ὥσπερ καὶ ἡμῶν ἕκα-
„ στος τὸ ἴδιον ἐν ἑαυτῷ τὸ πνεῦμα συνέχει, καὶ ἐκ τῶν ἐνδοτάτων σπλάγχ-
„ νων εἰς τὸ ἔξω προχέει· διὰ γάρ τοι τοῦτο καὶ σωματικῶς αὐτὸ ἐνεφύσησεν

synonymas quidem dictiones has elata voce appellare perhorrescimus; ideoque illorum argumentis freti, et cum romana ecclesia pacem amplexi, neque iniquas propter id, te auctore deportationes pensi habemus, multiplicesque a te impositas poenas variasque afflictiones ultro excipimus.

59. Age vero officii nostri esse credimus, postquam rem promissam evidenter fecimus, deinde aliquot admirabilis Cyrilli, ex interpretatione in evangelistam Iohannem, in medium proferre dictiones, atque huic sermoni substernere; quibus praeter alias fretus supradictam particularum consonantiam magnus Maximus attestatur, quae nempe omnipotentem optimumque Spiritum ex Filio quoque esse praedicant: rursusque ex eodem alias quae divino instinctu variis temporibus pronunciavit: nec non aliorum patrum exiguas ex ingenti numero, lucidam ex mutuo consensu efficientes sententiam, et cum superioribus perspicue congruentes: non enim inspiratis patribus quicquam accidit omnino discors et inconciliabile: quibus expositis, propositum nostrum postea prosequemur. Itaque in dicti evangelii explanatione, ad illa verba: et ego rogabo Patrem, et alium Paraclitum dabit vobis, praedictus splendidissimus Cyrillus sic ait. «Cum enim Dei Patris naturalium bonorum compos sit Fi-
» lius, habet eodem modo, quo etiam Pater habere intelligitur Spiritum non adventi-
» cium neque deforis; stultum enim vel potius furiosum ita sentire; sed sicut etiam
» unusquisque nostrum proprium in se ipso spiritum continet, et ex intimis visceri-

„ ὁ Χριστὸς, δεικνὺς ὅτι καθώς περ ἐκ στόματος τοῦ ἀνθρωπείου πρόεισι τὸ „ πνεῦμα σωματικῶς, οὕτω καὶ ἐκ τῆς θείας οὐσίας θεοπρεπῶς* προχεῖται τὸ „ ἐξ αὐτῆς.„ Εἰς τὸ ῥητὸν τὸ, ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, φησιν· “οὐ γὰρ δήπου πρὸς τοσαύτην ἀλογίαν καταβησόμεθα „ καὶ ἡμεῖς, ὡς οἴεσθαι μεθεκτὸν ἐν τῷ κατὰ φύσιν υἱῷ τὸ πνεῦμα ὑπάρχειν, „ καὶ οὐχὶ μᾶλλον οὐσιωδῶς ἐμπεφυκὸς, ὥσπερ οὖν ἀμέλει καὶ αὐτῷ τῷ πα„ τρί· ὥσπερ γὰρ τοῦ πατρὸς, οὕτω καὶ τοῦ υἱοῦ ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον. Καὶ „ μετά τινα· ἀπαράλλακτός ἐστὶν ἡ τοῦ Χριστοῦ ὁμοιότης πρὸς τὸ ἴδιον αὐτοῦ „ καὶ παρ᾽ αὐτοῦ κατὰ φύσιν προχεόμενον πνεῦμα.„ Εἰς τὸ, οὐ γὰρ λαλήσει „ ἀφ᾽ ἑαυτοῦ, φησίν· ἵνα γὰρ εἰδοῖεν οἱ μαθηταὶ, ὡς οὐκ ἀλλοτρίας καὶ „ ξένης αὐτοῖς δυνάμεως ἐπιφοίτησιν, ἀλλ᾽ ἑαυτὸν ἑτέρως ἐπιδώσειν ἐπαγ„ γέλλεται, πνεῦμα τῆς ἀληθείας, τουτέστιν ἑαυτοῦ, τὸν παράκλητον ἀπο„ καλεῖ· οὐ γὰρ ἀλλότριον τῆς τοῦ μονογενοῦς οὐσίας τὸ ἅγιον νοεῖται πνεῦ„ μα· πρόεισι δὲ φυσικῶς ἐξ αὐτῆς, οὐδὲν ἕτερον παρ᾽ αὐτὸν ὑπάρχον ὅσον „ εἰς ταυτότητα φύσεως, εἰ καὶ νοοῖτο τυχὸν ἰδιοσυστάτως. Καὶ μετά τινα· „ διὰ γάρ τοι τοῦτο προστέθεικεν, ὅτι καὶ τὰ ἀρχόμενα ἀναγγελεῖ ὑμῖν, μο„ νονουχὶ λέγων, σημεῖον τοῦτο ἔσται ὑμῖν, ὅτι δὴ πάντως ἐκ τῆς ἐμῆς οὐ„ σίας τὸ πνεῦμα ἐστὶ, καὶ οἷον ἐμός ἐστι νοῦς, τὸ ἐρεῖν αὐτὸν τὰ ἐσόμενα „ καθάπερ ἐγώ· προείρηκα γὰρ, εἰ καὶ μὴ δεδύνησθε πάντα μαθεῖν.„

ξ΄. Σὺ δ᾽ ἀλλ᾽ ἐνταῦθα γενόμενος, ὦ τῶν παρόντων λόγων ἀκροατὰ, πρόσχες ὅπως ὁ θεοφάντωρ οὗτος πατὴρ, ἐπὶ τοῦ πανσθενοῦς πνεύματος πρόεισιν αὐτὸ φυσικῶς ἐκ τῆς τοῦ μονογενοῦς οὐσίας εἰπών· “καὶ πάλιν ἐκ τῆς ἐμῆς οὐσίας ἐστὶ,

* Deest in cod. θεοπρεπῶς.

cod. f. 35. b.

» bus foras effundit; propterea corporaliter quoque insufflavit Christus, demon» strans, quod sicut ex hominis ore prodit spiritus corporaliter, sic etiam ex di» vina substantia, ratione Deo congruente, profunditur is qui ab ea venit. » Et ad dictum illud: quia vidi Spiritum descendentem sicut columbam de caelo, ait. » Non enim in tantum stultitiae et nos deveniemus, ut arbitremur participatum in » naturali Filio Spiritum esse, et non potius substantialiter ipsi inhaerentem, quem» admodum scilicet ipsi Patri: nam sicut Patris, ita et Filii Spiritus sanctus est. » Et aliquot interiectis. « Invariabilis est Christi similitudo cum suo proprio et ab se » naturaliter profuso Spiritu. » Item ad illud: non enim loquetur a semet ipso, ait. « Ut enim discipuli agnoscerent, quod non alienae extraneaeque virtutis adventum, » sed se ipsum aliter daturum promitteret, Spiritum veritatis, id est sui ipsius, Pa» raclitum appellat. Non enim alienus ab Unigeniti substantia sanctus Spiritus in» telligitur, sed ab ea naturaliter prodit; non diversus ab illo, quod attinet ad na» turae unitatem, quamquam in propria subsistentia consideratur. » Et post alia. « Propterea addidit, quod et eventura annunciabit vobis; quasi diceret: signum » hoc erit vobis, quod ex mea substantia Spiritus sit, et quasi mens mea, quia elo» quetur sicut et ego. Praedixi enim; etiamsi omnia discere non potuistis. »

60. Tu vero hucusque provectus o sermonum horum auditor, animadverte quomodo hic theologus pater omnipotentem Spiritum educit naturaliter ex Unigeniti substantia dicens: « itemque de mea substantia est, Filii videlicet, ut mox addit. Non

,, τῆς τοῦ υἱοῦ δηλαδὴ, σύνεγγυς ἐπιφέρει· οὐκ ἂν οὖν ἄρα καθάπερ ἐγὼ προε- ,, ρεῖ τὰ ἐσόμενα, μὴ οὐχὶ πάντως ἐν ἐμοί τε ὑπάρχον καὶ δι' ἐμοῦ προϊόν.,, Καὶ εἰς τὸ ἐκεῖνο, ἐμὲ δοξάσει ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, οὕτω θεολογεῖ· " ἀκατηγόρητον οὖν ἄρα παντελῶς καὶ λοιδορίας ἁπάσης ἔξω κείσεται, τὸ ,, λαβεῖν λέγεσθαί τι παρὰ τοῦ μονογενοῦς τὸ πνεῦμα αὐτοῦ· προϊὸν γὰρ δι' ,, αὐτοῦ φυσικῶς, ὡς ἴδιον αὐτοῦ, μετὰ πάντων ὧν ἔχει τελείως, λαμβάνειν ,, λέγεται τὰ δι' αὐτοῦ. Καὶ εἰς τὸ, ὅταν οὖν ἔλθῃ ὁ παράκλητος, οὕτω διέ- ,, ξεισιν· ὥσπερ γάρ ἐστιν ἴδιον πνεῦμα τοῦ υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρ- ,, χον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ πατρός.,, Ταῦτα σκοπῶν ἀκριβῶς τὴν τῶν εἰρημένων ἀνωτέρω περὶ τῆς ΕΚ καὶ ΔΙΑ περίληψιν λάμβανε κατὰ νοῦν· ἡμεῖς δὲ δράσωμεν ἂν καὶ ἔτι ὃ ἐπηγγειλάμεθα προσεχῶς.

ξα'. Ὁ αὐτὸς μέγας τῆς ἀληθείας διδάσκαλος ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ, τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος, φησίν· " εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ ,, πνεῦμα ἰδικῇ, καὶ δὴ καὶ νοεῖται καθ' ἑαυτὸ, καθὸ πνεῦμα ἐστὶ καὶ οὐκ ,, υἱὸς, ἀλλ' οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ· πνεῦμα γὰρ ἀληθείας ὠνόμα- ,, σται· καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρός.,, Ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν προφήτην Ἰωὴλ τῇ ἐκχεῶ ἀπὸ τοῦ πνευματός μου· ,, ᾗ μὲν γάρ ἐστι θεὸς καὶ ἐκ θεοῦ κατὰ φύσιν ὁ υἱὸς· γεγέννηται γὰρ ἐκ ,, τοῦ θεοῦ καὶ πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ πνεῦ- ,, μα ἐστὶ, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός.,, Ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ, οὗ ἡ ἀρχὴ, τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας τὸ ἀνωτάτω, φησί· " βαπτίζοντα ἔφη τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ

» ergo, sicut ego, futura praedicet, nisi omnino in me ipso existat, et a me pro- » veniat. » Tum et ad illud dictum: ille me glorificabit, quia de meo accipiet, sic theologice loquitur. « Irreprehensibile igitur usquequaque, et extra omne convicium » erit, si dicatur aliquid ab Unigenito accipere Spiritus ipsius; namque naturaliter » ab eo proveniens, tamquam eius proprius, cum omnibus quae perfecte habet, » dicitur ea per illum accipere. » Denique ad illud: « cum ergo venerit Paracli- » tus, ipse enarrabit. Sicut enim Spiritus, ut et Filii proprius est naturaliter in ipso » existens, et per eum proveniens, sic etiam Patris est. » Haec tu accurate consi- » derans, illorum, quae supra diximus de particulis EX et PER, summam mente complectere. Nos vero quae promisimus seriatim continuemus.

61. Idem magnus veritatis magister in sermone adversus Nestorium, cuius initium: Salvatore nostro manifeste dicente, qui amat patrem et matrem plus quam me, non est me dignus, ait. « Etiamsi est in propria subsistentia Spiritus, et per se ipse in- » telligitur, quatenus Spiritus est, et non Filius; nihilominus haud est alienus ab eo. » Spiritus enim veritatis nuncupatur, et ex ipso profunditur, sicut nimirum etiam » ex Patre. » In explanatione Iohelis prophetae ad illud effundam de Spiritu meo, ait. « Ratione qua Deus est, et ex Deo naturaliter Filius, genitus enim est ex Deo » Patre: proprius ipsius, et in ipso, et ex ipso Spiritus est, sicut nimirum et in ipso Deo Patre intelligitur. » In oratione ad Theodosium, cuius initium: supremus

„ πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα δουλοπρεπῶς καὶ „ ὑπηρετικῶς, ἀλλ' ὡς θεὸν κατὰ φύσιν μετ' ἐξουσίας τῆς ἀνωτάτω, τὸ ἐξ
cod. f. 36. a. „ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. Καὶ μετ' ὀλίγα· ἀπολύων ἁμαρτίας τὸν αὐτῷ προσ- „ κείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει πνεύματι, ὅπερ ἐνίεισι μὲν αὐτὸς ὡς „ ἐκ θεοῦ πατρὸς λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀποπηγάζει φύσεως. „ Ἐν τῷ δευτέρῳ τῶν θησαυρῶν, ἐν τῷ λόγῳ οὗ ἡ ἐπιγραφὴ, ὅτι ἐκ τῆς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, φησίν· " ὅτε τοίνυν τὸ πνεῦμα τὸ „ ἅγιον ἐν ἡμῖν γινόμενον συμμόρφους ἡμᾶς ἀποδεικνύει θεοῦ· πρόεισι δὲ „ καὶ ἐκ πατρὸς καὶ υἱοῦ, πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν „ αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν· ὥσπερ οὖν ἀμέλει καὶ τὸ ἐξ ἀνθρωπείου στό- „ ματος ἐκτρέχον ἐμφύσημα· εἰ καὶ μικρὸν καὶ οὐκ ἄξιον τοῦ λόγου τὸ ὑπό- „ δειγμα· πάντα γὰρ ὑπερέξει θεός.„ Ἐν ἑνὶ τῶν κεφαλαίων τοῦ δευτέρου τῶν θησαυρῶν· " ἴδιον δὲ πάντως τὸ πνεῦμα τῆς οὐσίας τοῦ θεοῦ καὶ ἔσωθεν ὑπο- „ στατόν.„ Ἐν ἄλλῳ πάλιν· "νομοθετοῦντος τοιγαροῦν τοῦ Χριστοῦ, ὡς ἐν „ αὐτῷ καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχον τὸ πνεῦμα αὐτοῦ νομοθετεῖ. Καὶ πά- „ λιν ἐν ἄλλῳ· ὡς γὰρ ἐκ τῆς οὐσίας ὑπάρχον τοῖς τοῦ χορηγοῦντος αὐ- „ τὸ τοῖς ἁγίοις, Χριστοῦ δηλαδή.„ Καὶ αὖθις ἐν ἑτέρῳ· " ἀνάγκη λοιπὸν „ ἐκ τῆς οὐσίας ὁμολογεῖν ὑπάρχειν αὐτὸ τῆς τοῦ υἱοῦ καὶ θεοῦ, πᾶσαν „ αὐτοῦ τήν τε δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον.„ Καὶ πάλιν ἐν ἄλλῳ· "οὐδε- „ μίαν ἄρα φύσεως οἶδεν ὁ Παῦλος διαφορὰν τῆς τοῦ υἱοῦ καὶ ἁγίου πνεύ- „ ματος, ἀλλ' ὡς ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ φυσικῶς ὑπάρχον, τῷ τῆς κυριό- „ τητος ὀνόματι καλεῖ.„ Καὶ πάλιν ἐν ἑτέρῳ· " ἀνάγκη τὸ πνεῦμα ἐκ τῆς οὐ- „ σίας ὑπάρχειν ὁμολογεῖν τοῦ υἱοῦ.„

quidem inter homines gloriae apex, ait. « Baptizantem dicit Iesum in igne et Spi- » ritu sancto, non alienum profecto in baptizatos immittens, servi instar et admi- » nistri, sed tamquam suapte natura Deum cum sublimissima potestate, nempe ex » se ipso, et sui proprium. Et paulo post. Solvens peccato obnoxium, proprio mox » inungit Spiritu, quem mittit quidem tamquam ex Deo Patre ipsum Verbum, et » ex propria in nos profundit essentia. » In secundo thesaurorum libro, cuius titulus est: quod ex essentia Patris et Filii Spiritus sanctus sit, ait. «Cum ergo Spiritus » sanctus in nos adveniens, conformes nos faciat Deo ; prodit autem ex Patre et Fi- » lio; hinc constat eum esse de divina substantialiter essentia, in ipsa et ex ipsa » prodeuntem: quemadmodum nempe ex hominis ore decurrit spiritus; quamquam » hoc exile est nec magni faciendum exemplum: cunctis enim supereminet Deus. In uno capitulorum secundi thesaurorum libri. « Proprius omnino est Spiritus sub- » stantiae Filii, neque extra subsistens. In alio rursus. Cum ergo leges tradit Chri- » stus, Spiritus utpote in illo et ex illo naturaliter existens, aeque leges tradit.» Denuoque in alio. « Tamquam ex substantia illius existens, qui ipsum sanctis largitur, » Christi scilicet. » Adhuc in alio. « Necesse proinde est eum de substantia Dei Filii confiteri, omni eiusdem virtute et efficacia praeditum.» Tum et in alio. « Nullam » sane Paulus naturae differentiam agnoscit Filii et sancti Spiritus; sed ceu ex ipso

ξβ'. Ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερος θεοδώρητος ὄντως Θεόδωρος, περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἀληθείας δογμάτων θεολογῶν, φησί. "Τοῦ δὲ σώμα-
„ τος τὸ ἰδίωμα λαβόντες ὡς παράδειγμα, τὴν ἀλληλουχίαν τῶν θείων ὑπο-
„ στάσεων παρεστήσαμεν, διὰ τῆς τῶν μελῶν ἀναλογίας τε καὶ εἰκασίας·
„ ταύτῃ γὰρ καὶ πνεῦμα στόματος αὐτοῦ, δηλονότι τοῦ θεοῦ τὸ πνεῦμα τὸ cod. f. 36. b.
„ ἅγιον λέγεται, στόματος ὄντος τοῦ μονογενοῦς, καὶ πνεῦμα πάλιν ἐξ αὐ-
„ τοῦ ἐκπορευόμενον, καὶ ἀποστελλόμενον οὐ μόνον παρὰ πατρὸς, ἀλλὰ καὶ
„ παρὰ τοῦ υἱοῦ." Καὶ μετά τινα· καὶ μὴν ὁ κύριος ἐξ ἑαυτοῦ δεικνὺς αὐ-
„ τὸ ὑπάρχειν, ἐμφυσῶν τοῖς μαθηταῖς ἔλεγε· λάβετε πνεῦμα ἅγιον." Ὁ τῶν τῆς ἐκκλησίας διειδῶν ναμάτων ἀνεξάντλητος πομὸς, ὁ χρυσόφωνος Ἰω-
„ άννης ἐν τῷ λόγῳ τῷ εἰς τὴν ἀνθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸ ἑκάστῳ κλίματι ἐφεστήκεσαν ἄγγελοι, οὗ ἡ ἀρχὴ, ὄντως ἡμῖν ἐπεφάνη ἡ τοῦ θεοῦ χάρις, φησίν· "ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδω-
„ κεν ἡμῖν τὸ ἐξ αὐτοῦ πνεῦμα, καὶ ἀνελάβετο τὸ ἡμέτερον σῶμα. Ἐν τῷ περὶ τῶν δύο διαθηκῶν λόγῳ, οὗ ἡ ἀρχὴ, θεὸν δὲ ἕνα καὶ τὸν αὐτὸν δεδηλώκασιν ἐξ ἀρχῆς νόμος καὶ προφῆται, φησί· "διὰ γὰρ τὸ γενέσθαι ναὸν
„ τῆς θείας δυνάμεως τὸ σῶμα τοῦ κυρίου τὸ θεοφόρον, γίνῃ καὶ σὺ ναὸς
„ καθ' ὁμοίωσιν αὐτοῦ· δέχῃ γὰρ ἐκπεμπόμενον παρ' αὐτοῦ τὸ πνεῦμα· ὡς
„ οὖν Χριστὸν ἐπιγνοὺς, ἐπέγνως θεὸν, οὕτω πνεῦμα Χριστοῦ δεξάμενος,
„ ἐδέξω θεόν." Ἐν τῷ πρώτῳ προφυλακτικῷ [1] οὗ ἡ ἀρχὴ, ἐπειδὴ τῷ ἀγαθῷ προσερχόμεθα, φυλάσσεσθαι δεῖ τὸν ἀντιπράσσοντα τῷ ἀγαθῷ διάβολον, φησί· "καὶ οὕτως ἡμᾶς φυλάξοι τὸ παρὰ Χριστοῦ πνεῦμα εἰς τὴν ἡμέραν
„ τῆς μελλούσης ἀπολυτρώσεως."

» et in ipso naturaliter existentem, dominationis nomine appellat.» Pergit dicere in alio. « Necesse est Spiritum ex Filii substantia confiteri. »

62. Raithi presbyter a Deo vere datus Theodorus de rectis nostris veritatis dogmatibus theologice disserens ait. « Corporis proprietatem in exemplum sumentes, mu-
» tuam connexionem divinarum personarum adseruimus a membrorum proportione
» et assimilatione. Sic enim Spiritus etiam oris eius, id est Dei Spiritus sanctus di-
» citur, cuius Unigenitus os est; et Spiritus item ex ipso procedens et missus non
» a Patre tantum sed etiam a Filio. Et nonnullis interiectis. Et quidem Dominus,
» ut ex se ipso demonstraret illum existere, insufflans in discipulos aiebat: accipite
» Spiritum sanctum.» Limpidorum ecclesiae fluentorum inexhausta scaturigo Iohannes auriloquus in oratione de incarnatione domini nostri Iesu Christi, et de eo quod unicuique regioni praefecti sint angeli, quae incipit: « vere nobis apparuit gratia Dei, ait: « venit Christus ad nos, dedit nobis qui ex ipso est Spiritum, et corpus nostrum
» assumpsit. » In oratione de duobus testamentis, quae incipit: unum eundemque Deum ostenderunt ab initio lex et prophetae, ait. «Quandoquidem factum est tem-
» plum divinae virtutis corpus deiferum, fis tu quoque templum ad similitudinem
» eius; recipis enim emissum ab eo Spiritum. Sicut ergo Christo agnito, Deum agno-
» visti, ita Spiritu Christi recepto, Deum recepisti. » In prima prophylactica, cuius

1) Quaerant eruditi per otium de huius orationis, immo plurium orationum, titulo.

ξγʹ. Ἡ ἄγκυρα τῶν ὀρθῶν δογμάτων ὁ θεοφανέρωτος Ἐπιφάνιος ἐν τῇ βίβλῳ τῇ καλουμένῃ ἀγκυρωτῷ φησί· "τὸ πνεῦμα ἀκατάληπτον οὐκ ἀλλό-„ τριον πατρὸς καὶ υἱοῦ, οὐδὲ συναλοιφή ἐστι πατρὸς καὶ υἱοῦ.„ Καὶ μετ' ὀλίγα· "πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐ-„ σίας πατρὸς καὶ υἱοῦ· καὶ αὐτὸς γὰρ ὁ μονογενὴς λέγει τὸ πνεῦμα τοῦ „ πατρὸς, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τοῦ ἐμοῦ λήψε-„ ται.„ Καὶ μετά τινα· "ἀλλ' ἐρεῖ τίς· οὐκοῦν φαμὲν δύο εἶναι υἱούς; καὶ cod. f. 37. a. „ πῶς μονογενής; μενοῦν γε σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ θεῷ; εἰ γὰρ „ τὸν υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ· τὸ δὲ ἅγιον πνεῦμα τὸ παρ' ἐμφοτέρων· ἃ „ μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων φωτινὰ, φωτοδότα, φωτεινὴν τὴν „ ἐνέργειαν ἔχει. Καὶ πρό γε τούτων· ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ „ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ· εἰ δὲ Χριστὸς ἐκ τοῦ πατρὸς πι-„ στεύεται θεὸς ἐκ θεοῦ, καὶ τὸ πνεῦμα ἐκ τοῦ Χριστοῦ, ἢ παρ' ἀμφοτέ-„ ρων, ὡς φησὶν ὁ Χριστὸς, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, καὶ οὗτος ἐκ „ τοῦ ἐμοῦ λήψεται. Καὶ πάλιν· πνεῦμα ἅγιον, πνεῦμα ἀληθείας, ἐστὶ φῶς „ τρίτον πατρὸς καὶ υἱοῦ. "Καὶ μετὰ βραχέα· "ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν „ πατέρα εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὕτω τολμῶ λέγειν, „ ὅτι οὐδὲ τὸ πνεῦμα εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱὸς παρ' οὗ ἐκπορεύεται, καὶ „ παρ' οὗ λαμβάνει· καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα εἰ μὴ τὸ πνεῦμα τὸ „ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.„ Καὶ μετά τινα· "τοίνυν πατὴρ ἦν ἀεὶ, καὶ υἱὸς ἦν ἀεὶ, καὶ τὸ πνεῦμα ἐκ „ τοῦ πατρὸς καὶ υἱοῦ πνέει.

initium: quoniam ad bonum accedimus, cavere oportet ab adversario boni diabolo, ait. «Atque ita nos custodiat qui a Christo est Spiritus in diem redemptionis futurae.»

63. Ancora rectorum dogmatum, a Deo datus Epiphanius in libro qui dicitur ancoratus ait: «Spiritus incomprehensibilis haud alienus a Patre et Filio, neque tamen » commixtio est Patris ac Filii.» Et paulo post. «Spiritus sanctus non est confrater, » non est patris frater, sed ex eadem substantia Patris ac Filii. Namque et ipse Uni-» genitus dicit Spiritum Patris, et ex Patre procedentem, et quod de meo accipiet.» Et nonnullis interiectis. «Sed dicet aliquis: num igitur dicimus duos Filios? quomodo » ergo Unigenitus? Sane tu quis es, qui Deo contradicis? Nam si Filium appellat qui » ex ipso est, Spiritum autem sanctum eum qui est ex ambobus.» Quae quidem cum » fide intellecta a sanctis, lucida, illuminantia, splendidam habent operationem.» Et ante praedicta. « Ambo in homine habitant iusto, Christus et Spiritus eius. Quod si » Christus ex Patre creditur Deus de Deo, Spiritus quoque ex Christo, vel ex ambo-» bus, ut Christus dicit, qui ex Patre procedit, et hic de meo accipiet.» Et rursus. « Spiritus sanctus, Spiritus veritatis, lumen tertium est a Patre et Filio.» Et post pauca. «Quemadmodum enim nemo novit Patrem nisi Filius, nec Filium nisi Pater; » sic audeo dicere, ne Spiritum quidem nisi Pater et Filius a quo procedit et a quo » accipit. Sed neque Filium ac Patrem nisi Spiritus Sanctus, qui vere glorificat, docet » omnia, qui est a Patre Filioque.» Et aliquot interpositis. «Ergo Pater erat semper, » et Filius erat semper, et Spiritus sanctus ex Patre Filioque spiratur.»

ξδ'. Ὁ θαυματουργὸς Γρηγόριος Νεοκαισαρείας ἐπίσκοπος, ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ, ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν υἱὸν ἐξ οὐκ ὄντων λέγοντες, φησί· "τοῦ κυρίου ὁ πατὴρ ἀρχὴ ἀϊδίως αὐτὸν γεννήσας· καὶ πρωτότυπος τοῦ πνεύματος ὁ κύριος. Ὁ τῇ ὁμοφροσύνῃ πλέον ἢ τῇ ὁμωνυμίᾳ τῷ προλεχθέντι συνδούμενος, φεραυγὴς τῶν Νυσσαέων λαμπτὴρ ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον ἀντιῤῥητικῶν, οὗ ἡ ἀρχὴ, οὐκ ἦν ὡς ἔοικε τὸ πάντας ἐθέλειν εὐεργετεῖν, φησὶν οὕτω περὶ τὸ τέλος· "εἰ μέν τινα χρονικὴν ἔμφασιν ὑπερετίθει τῆς τοῦ μονογενοῦς ὑποστάσεως ὁ τὸν πατέρα τοῦ υἱοῦ μόνῳ τῷ τῆς αἰτίας λόγῳ προθεωρῶν, εἰκότως ἂν ὁ τῆς ἀϊδιότητος ἡμῖν περὶ τοῦ υἱοῦ λόγος ἐκινδυνεύετο. Καὶ μετά τινα· "ὥσπερ συνάπτεται τῷ πατρὶ ὁ υἱὸς κατὰ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων, οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, cod. f. 37. b. οὕτω πάλιν καὶ τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα τὸ ἅγιον, ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως." Τὸ μέγα τεῖχος τῆς εὐσεβείας ὁ πολύαθλος Ἀθανάσιος ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ θεοῦ λόγου, οὗ ἡ ἀρχὴ, οἱ κακοτέχνως τὰς θείας γραφὰς βουλόμενοι νοεῖν, φησίν· "αὐτὸς γὰρ αὐτὸ ἄνωθεν ἔπεμπεν ὡς θεός· καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος· ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει· ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ. Ἐν τῷ αὐτῷ λόγῳ· οἶδε γὰρ παρὰ θεῷ πατρὶ ὄντα τὸν υἱὸν τὴν πηγὴν τοῦ ἁγίου πνεύματος."

ξε'. Ἔχεις οὖν, ὦ φίλον ἀκροατήριον, πρὸς ὑμᾶς γὰρ τὸ τοῦ λόγου πρόσωπον ἀφορᾷ τοὺς κατὰ καιρὸν ἐντευξομένους αὐτῷ, καὶ δικασομένους ἀπροσπαθῶς τὰ ἐξ ὧν ὁ παρὼν τούτῳ κατεσπουδάσθη ἀγών· εἰ καὶ πρὸς τοὺς ἀν-

64. Thaumaturgus Gregorius, Caesareae episcopus, in oratione quae incipit: infestissimi et ab apostolica confessione alieni, qui Filium ex non extantibus ortum dicunt, ait. « Domini principium Pater est, qui aeternaliter ipsum genuit; et prototypus Spiritûs Dominus est. » Ille qui concordia magis sententiae, quam nomine, praedicto Gregorio coniunctus est, splendidum inquam Nyssenorum luminare, in primo adversus Eunomium antirrhetico, cuius initium: fieri, ut videtur, non potest, ut quis de omnibus bene mereri velit, sic ait circa finem. « Si temporalem aliquam intercapedinem Filii personae apponeret is qui Patrem ante Filium sola causae ratione considerat, merito sane sempiternitatis doctrina nobis periclitaretur. » Et post aliqua. « Sicut coniungitur Patri Filius, quatenus ab illo existentiam habet, neque tamen posterior existentiâ est; ita vicissim ad Unigenitum se habet Spiritus sanctus, dum Filius mente tantum secundum causae rationem consideratur ante Spiritus personam. » Magnus orthodoxiae murus, patientissimus Athanasius, in oratione de Verbi Dei in carne apparitione, cuius initium: qui malitiose divinas scripturas volunt intelligere, ait. « Ille enim ipsum (Spiritum) superne misit uti Deus; et idem ipsum inferne suscipiebat, uti homo. Ex ipso igitur in eundem veniebat, ex divinitate eius in eiusdem humanitatem. » In eadem oratione. Namque sciebat apud Deum Patrem esse Filium sancti Spiritus fontem. »

65. Habetis igitur, o dilecti auditores, ad vos enim huius sermonis quasi facies conversa est, qui per tempora hunc legetis, puroque a perturbatione animo ea expendetis

τικαθισταμένους νόμῳ διαλέξεως ὀλιγοεποῦς ἐνατενίσας φθάνει τι πρὸς βραχύ· ἔχεις ὦ ἀῤῥεποῦς κριτήριον διαγνώσεως, πρὸς τοῖς ἀρχῆθεν ἀπὸ τῆς ἱστορίας καὶ τοῦ χρόνου παρατεθεῖσι, καὶ τὰς ἱερὰς τῶν πατέρων θεηγορίας, τὰς περὶ θεοῦ θεοπνεύστους ἐκφαντορίας, τὰς φωτοφανεῖς καὶ ἀριδήλους διασαφήσεις, καὶ θεοκροτήτους εἰσηγήσεις καὶ διδαχάς· μεθ' ὧν καὶ δι' ἃς τὴν τῶν ἐκκλησιῶν ἕνωσιν ἐνηγκαλισάμεθα, εἰ καὶ ταύτας ὀλίγας ἐκ συχνῶν καὶ οὐ μετρητῶν, καὶ σχεδὸν ἀπειροπληθῶν παρηγάγομεν. Ἐῶ γὰρ τὰ κατὰ τῶν προδηλοτέρων ἐκ τῶν ἐναπολειφθεισῶν φάναι νεανιεύματα τῶν πυρὸς μένος πνεόντων ζήλῳ τοῦ συστῆσαι κακίαν, οὓς ὁ πρὸ ἡμῶν, καὶ οὓς ὁ νῦν αὖθις καιρὸς ἐσχεδίασε, τὰς προσθέσεις καὶ ἀφαιρέσεις, τὰς συγκοπὰς καὶ ἀποκοπάς, ἐξ ὧν αἱ παραφθοραὶ τῶν κειμένων ῥημάτων καὶ ἐννοιῶν ἐπιγί-
cod. f. 38. a. νονται· ἐῶ ταῦτα φάναι καὶ διηγήσασθαι· πλὴν ὁ εἰδὼς ὁ πρὸ μικροῦ δεδρακὼς ἐφ' ἡμῶν κατεφάνη, τῶν τις ἐν τοῖς ἐκκλησιαστικοῖς λογάσι δοκούντων λογιότητι ἐνσεμνύνεσθαι ἐπὶ τῇ τῆς εἰς τὸ πάτερ ἡμῶν ὁμιλίας τοῦ θεοφόρου πατρὸς Νύσσης θεοσόφῳ θεολογίᾳ παλαιᾷ τινὶ βίβλῳ τῶν ἐκκρίτων καὶ εὖ ἠσκημμένων ἐμπεριεχομένης, καὶ τὴν ἐπὶ τούτῳ γενομένην παρασημείωσιν, ἐξ ὧν ὁ τοιοῦτος χείλεσιν οἰκείοις τυγχάνει διωμολογηκώς· εἶδεν ὃ λέγω· καὶ οὐδὲ δυσπιστίαν ἐντεῦθεν ἕξει πρὸς τὰ λοιπά, ἐντετυχηκὼς καὶ μᾶλλον εἰ γένοιτο καί τισι συγγράμμασι περὶ τούτων διαλαμβανομένοις, τῶν τινῶν πρὸ ὀλίγου μεταλλαχότων τὸ ζῆν, ἐπὶ σοφίᾳ καὶ ἀξιοπρεπείᾳ περιβοήτων καὶ ἑτέρων συνεξεταζομένων ἡμῖν· ἔχεις τὰ διαγγελθέντα καθ' ὅσον. οἷόν τε κατ' ἐπιτομήν 1).

quorum causa praesens concertatio elaborata fuit; si ea certe potest contra adversarios, quantum pusillae disputationis ratio patitur, brevi saltem tempore oculos attollere. Habes, o non praeiudicatum iudicii tribunal, praeter prisca argumenta ab historia et tempore suppeditata, sacras quoque patrum locutiones, et divinitus inratas de Deo explanationes, lucidas perspicuasque declarationes, superno favore compositas institutiones atque doctrinas, cum quibus et per quas ecclesiarum unionem amplexi sumus; etsi pauca ex obviis immodicisque multis attulimus et prope innumerabilibus. Mitto ea dicere, quae adversus publica nobis relicta monumenta iuveniliter ausi sunt homines igneam iram spirantes, ob confirmandae nequitiae zelum, quos et superior et haec nostra aetas protulit, nempe (in codicibus) additiones, subductiones, elisiones, truncationes, unde textuum sensuumque corruptiones natae. Mitto, inquam haec dicere et singillatim enarrare. Verumtamen est qui novit, vir quidam in ecclesiastica dignitate constitutus, doctrinaque clarus, qui nobis patefecit quod ipsemet paulo ante egerat in theologica de oratione dominica homilia theophori patris Nysseni, veteri cuidam nobilique et bene elaborato codici commendata: cuius rei adnotatio facta illic fuit, quantum ille ore proprio confessus fuerat. Scit ipse quod dico; neque aegre credentur reliqua quae forte quis leget, si praesertim incidat in quaedam de his disserentia scripta nonnullorum, qui paulo ante e vivis excesserunt,

1) Dixit hactenus Metochita de famosa illa corruptione a schismaticis in Nysseni supradictam orationem invecta, de qua nos quoque disseruimus copiose in huius novae bibliothecae tomo IV.

ξϛʹ. Καὶ δὴ πρὸς τὰ ἑξῆς τῆς ὑποθέσεως βαίνοντες, παρὰ τὰς ῥηθείσας φαμὲν ῥήσεις τὰς πατρικὰς, καὶ τὰ ἐξ ἀρχῆς ἄνωθεν ἀπὸ τῆς ἱστορίας διειλημμένα· ὅσα καὶ θεοφιλῆ τὴν εἰρήνην ἦμεν ἐνστερνιζόμενοι, καὶ μηδὲν ἄλλο στρέφοντες ἐν τῇ συνειδήσει, ἢ ὅ τι πρός τε θεὸν, πρός τε τὴν τῶν ἀνθρωπίνων πραγμάτων κατὰ τὴν χριστώνυμον πολιτείαν κυβέρνησιν, τὸ ἀγαθὸν αὕτη κέκτηται καὶ εὐπρόσδεκτον. Ἀλλ' οἱ ἀντιδοκοῦντες τὸ πλῆθος ἑτοιμορρεπὲς εὑρηκότες πρὸς τὸν οἰκεῖον σκοπὸν, διϊστῶντες ἦσαν αὐτοὺς ὁσημέραι καὶ μεγάλα δεινὰ ἐπὶ ἐξουθενώσει τοῦ ἔργου ταῖς ἁπάντων ἐνσπείροντες ἀκοαῖς, καὶ μᾶλλον ἡ αὐθομαίμων τοῦ αὐτοκράτορος κορυφαῖος ἦν εἰς τοῦτο καὶ προεξάρχουσα λόγοις οἷς προϋπεφωνήσαμεν· καὶ ἵν' ἐπιτροχάδην ἐρῶ, ἀφορμῆς δραξάμενοι ταύτης, οἱ κατὰ διαφόρους αἰτίας καὶ λόγους μὴ προσκείμενοι τῷ κρατάνακτι (φείδομαι δ' ὅσον ἐπὶ τούτῳ σύνοιδα ἐξαγγεῖλαι, μή ποτε δόξαιμι λέγειν ταῦτα καὶ γράφειν διὰ τὴν σφῶν καθ' ἡμῶν ἐναντίωσιν· cod. f. 38. b. εἰ δὲ καὶ ἀνθρώπους, ἀλλ' οὐχὶ καὶ τὸν ἀλάθητον λάθοιεν ὀφθαλμὸν τὰ πολυτρόπως σφίσιν ἐξυφανθέντα, καὶ νῦν ἐπισυσκιαζόμενα) εἰς τοσοῦτον δὲ τῆς ταραχῆς ἐπιτεχνῶνται καὶ διαστάσεως, καὶ τοσαύτας δυσφημίας κατὰ τοῦ κρατοῦντος ἐγείρουσιν, ὡς αὐτὸν ἐρεθίσαι τοῦ προσηνῶς φέρεσθαι πᾶσιν ἀφέμενον, ἐφ' ἧπερ εἰρήνῃ μεταχειριζόμενος ἦν, χρήσασθαι καὶ τῇ δυναστείᾳ· ἐμοὶ μὲν οὐκ ἐπαινετῶς· οὐ γάρ τι τῶν αὐτῆς δέον ἂν λογισαίμην ποτὲ, ἀλλὰ βουλοίμην ἐν πᾶσι τῶν δεόντων, ὅσα καὶ θειοτέρων εἰσὶν, οἴκοθεν ἕκαστον καὶ αὐθαιρέτως ἰέναι, μετὰ τὸ τὴν ὑποθημοσύνην αὐτῶν γενέσθαι καὶ τὴν παραίνεσιν παρὰ τοῦ εὖ εἰδότος καὶ ἡγεῖσθαι λαχόντος· εἰ δὲ μὴ, ἐᾶσθαι

quique erant sapientia et sanctimonia celebres, qui nobiscum ea de re quaestionem instituerunt. Habes quae annunciavimus quanta fieri potuit brevitate exposita.

66. Nunc ad reliquam argumenti nostri materiam accedentes; nos quidem proter dictas patrum auctoritates, et ea quae antiquitus atque ab initio historia continet, tamquam Deo gratam pacem amplexi sumus; nihil aliud intra conscientiam versantes, nisi Deum, et humanarum rerum iuxta christianam politiam regimen, cuius causa pax illa bona erat et acceptabilis. Verumtamen adversarii populum proclivem ad ipsorum scopum nacti, discordiam partium quotidie fovebant, magnaque et gravia ob opus disturbandum ad omnium aures occinebant: praesertim vero imperatoris soror, ducem se in his praebebat, ob eas quas supra diximus rationes. Atque ut cursim loquar, hac ansa arrepta, qui varias ob causas et rationes bene erga imperatorem non erant affecti (parco autem quae scio hac de re patefacere, ne haec dicere videar et scribere propter ipsorum erga nos repugnantiam; at vero etiamsi forte hominum, Dei tamen vigilem oculum non effugient) hi inquam tantum tumultus seditionisque, totque diffamationes contra principem suscitarunt, ut eum impulerint quô suam erga omnes benignitatem omitteret qua pacem reducere aggressus fuerat: immo et regali potentia iam illam urgere coepit; quod ego minime censeo laude dignum: neque enim id inter officia debita reputo; sed velim omne officium, et praesertim sanctiora, a singulis sensu intimo et voluntario peragi, non sine tamen monito et adhortatione illius qui recte sit imbutus, et negotii ducatum sortitus: secus vero eum qui nolit, suo arbitrio esse

τὸν μὴ αἱρούμενον· καὶ εἰ πάντες μὴ αἱροῖντο, παραχωρεῖσθαι· καὶ οὕτω γὰρ ὁ πιστὸς ἐσεῖται τῷ εὖ ὑποθεμένῳ καὶ μὴ ἀνύσαντι· κἀγὼ μὲν ὡς ἔχω περὶ τούτου γνώμης, οὕτω φιλαλήθως καὶ ἀποφαίνομαι. Ὁ δὲ πολὺς ἐκεῖνος ἀνὴρ, καὶ βασιλέων ὄντως μεγαλουργότατος, πρὸς τῷ καὶ οὕτως ἐπὶ τῷ ἔργῳ διατεθῆναι καταναγκάζεται, τὸ αὐτοῦ συνορῶν πρὸς τῷ κατὰ ψυχὴν ἀζημίῳ λυσιτελές· κἀντεῦθεν ζήλῳ τῷ ὑπὲρ τοῦ οἰκείου λάχους κατορθῶσαι τοῦτο περὶ πλειόνος ἐφιέμενος.

ξζ΄. Οὐκ ἦν δὲ ἄρα τῷ τῶν ζιζανίων σπορεῖ πρὸς τηλικοῦτον ἀνασχέσθαι σύνδεσμον κοσμικόν· τοῦτο γὰρ ὅσον ἐν χριστωνύμοις ἢ γενῶν ἑκατέρων περὶ ὧν τὸ λέγειν συνάφεια, τῷ μηδ᾽ ἐπὶ δυσὶ προσώποις ἑτέρως ἀνεχομένῳ τὴν τῆς ὁμοφροσύνης ὁρᾶν εἰλικρίνειαν· τῷ τοι καὶ ἐξ ὑποβολῆς δραστικωτέρας αὐτοῦ μᾶλλον οἱ ἀντιπαρατάττοντες διεγείρονται, πρὸς μὲν φανερᾶς διαλέξεως ὅρους οὐκ ἔχοντες λέγειν, καὶ τὸ σφίσι δοκοῦν συνιστᾶν· ἄλλως δὲ τῇ τῶν πολλῶν προλήψει θαρροῦντες, καὶ σύντροχα ταῖς ἐξ αὐτῆς ὑπονοίαις ὑποσπείροντες· εἴ τι καὶ βούλοιντο πανταχοῦ, καὶ ὡς τὸ πᾶν τοῦ δρωμένου δυναστείᾳ τοῦ κυριαρχοῦντος ἐστὶ, πᾶσιν ὑποτιθέντες, μηδέν τι τῶν ἐνεκτῶν, ἀλλ᾽ εἴ τι τῶν ἀπευκταίων καὶ ἀπηγορευμένων ἐπιφερόμενον· καὶ cod. f. 39. a. ἐφεξῆς προφοιβασμοὶ τούτοις, καὶ καραδοκία καιροῦ δράσαι τὰ αὐτοῖς καταθύμια· καὶ μελέται συχναὶ καὶ βαθεῖαι κατὰ τῶν ἡγησαμένων τοῦ πράγματος ὑψηλῶν καὶ οὐρανίων ἀνδρῶν, καὶ ἡμῶν αὐτῶν τοῦτο προσηκαμένων λόγοις οἷς παρεστήσαμεν, ἁπλοϊκῶς πορευομένων, καὶ μηδὲν ἄλλο εἰδότων, ἢ ὅτι θεοφιλὲς αὐτῷ καὶ συνοῖσον, καὶ παρὰ τοῦτο στεργόντων εὐθύτητι συνειδήσεως. Καὶ γοῦν τὸ μετὰ ταῦτα προσδοκώμενος αὐτοῖς καιρός· καὶ ὁ μὲν φιλευσεβὴς στεφηφόρος, τὸ μέγα τῶν Αὐσόνων καὶ ἀκατα-

permittendum; et si forte omnes nolint, aeque sinendum. Nam sic merces erit bene volenti, licet scopum non adsequenti. Et ego quidem prout hac in re opinor, sic veritatis amore pronuncio. At magnus ille vir et principum strenuissimus ad negotium ita conficiendum adigitur, suum spectans, dum animam pariter facit indemnem, emolumentum. Atque hinc zelo, qui praeter eius conditionem erat, ad absolvendum negotium impensissime incumbit.

67. Sed enim futurum haud erat, ut zizaniorum sator tale tantumque pateretur mundiale concordiae vinculum, nempe duarum christianarum gentium coniunctionem qui ceteroqui ne inter duos quidem homines pati sinceram concordiam vellet. Quamobrem vehementiore potius eius impulsu adversarii excitantur. Et publicas quidem disputationes adgredi non audebant, suamque sententiam adserere: multorum alioqui praeiudicio confidentes, et congruas huic opiniones, et quicquid denique libitum erat disseminantes; et quod omnia agerentur principis praepotentia cunctis suadentes, et nil tolerabile nil nisi detestabile inveheretur. Hinc de his vaticinia, et idonei temporis ad sua splendida vota expectatio, et consilia frequentia atque arcana contra negotii duces excelsos caelestesque viros, et contra nos ipsos qui rei favebamus, rationibus quas retro exposuimus, simpliciter agentes, nec aliud quicquam praeter Deo gratum, et utile, ideoque recta nostra conscientia contenti. Ecce autem post haec, expectatum ab

γώνιστον ἔρεισμα, νόμῳ φύσεως ὑποκύπτει, τὰ τῇδε λιπὼν, καὶ πρὸς θεὸν ἐκδημήσας, ἢ μᾶλλον ἐνδημήσας, εἰπεῖν οἰκειότερον· οἱ δὲ ταῖς εἰς τοῦτο καθημέραν ἐλπίσι τρεφόμενοι, τυχόντες ἧς ἀδείας ἱμείροντο, πρῶτα μέν τὸν χαριτώνυμον ἐν πατριάρχαις, καὶ πολυειδέσι χαρίτων ὡραιότησι φαιδρυνόμενον, τοῦ οἰκείου θρόνου κατάγουσιν, ὥς τινα τοῦτο καταβαλόντες θεμέλιον, τῶν ὧν ἔμελλον ἀθεμίτων ἔργων ἐπὶ καταστροφῇ τῆς ἐκκλησίας τεκτήνασθαι· εἶτα τὸν τὴν πατριαρχικὴν καθέδραν μεθέντα παρὰ τὴν τῆς ἐκκλησιαστικῆς ἑνώσεως πραγματείαν, ἐκ τρόπων καὶ λόγων, ὧν ἀμυδρῶς φθάσαντες ἐνεφήναμεν, ἐπ' αὐτῆς πάλιν ἀνάγουσιν, οὐχ ἵνα αὐτός τι τῶν γλιχομένων τοῖς ἀναγαγοῦσιν ἐργάσηται, πῶς γάρ; ὅς γε παρὰ τοσοῦτον τοῖς ζῶσιν ἐγκατελέγετο, παρόσον πνέων ὡρᾶτο, καὶ μόνον ἐπὶ τῆς κλίνης, καὶ τοὺς ὀφθαλμούς ἐστιν ὅτε ὑπαναγνὺς, καὶ μόλις που καὶ βραδέως ἡνίκα πολλὴ χρεία καὶ κατεπείγουσα φωνὴν ἀφιεὶς οὕτω βραχυσύλλαβον καὶ λεπτὴν, ὡς μηδὲ σχεδὸν ἐξακούεσθαι, τὰ δ' ἄλλα νεκρὸς ὑπάρχων καὶ ἀνενέργητος· ἀλλ' ἵν' οὕτως ἐκ προσώπου δῆθεν αὐτοῦ τὰ δοκοῦντα τῇ σφῶν κα- cod. f. 39. b.
κίᾳ τελέσωσι· καὶ ἦν ἂν αὐτοῖς συμφέρον κατὰ πολὺ, τἀληθὲς γὰρ εἰρήσεται, τούτου γὰρ ἡ ἀποκρυβή μοι ἀπόμοτος, εἴ γε ὁ ἀναχθεὶς οὗτος ἐρρωμένος ἦν ὁπωσοῦν, καὶ πρὸς ὀλίγον ἐνεργὸς καὶ κινούμενος, εἶρξε γὰρ ἂν αὐτῶν τὴν ἄλογον μανίαν δήλην γενέσθαι, τῶν πολλῶν ἐπισχὼν αὐτοὺς καὶ μεγάλων ἀτοπημάτων, ἃ δρᾶσαι προάγονται· οἷα μὴ ὑπενδοὺς πρὸς αὐτὰ ἔκ τε τοῦ γήρους καὶ τῆς μοναδικῆς πολιτείας, ᾗ συνεβίῳ ἔχων, εἰς τοιαῦτα μὴ παρασύρεσθαι· εἰ καὶ ἄλλως ὡς ἐδηλώθη, ἐν τοῖς μικρὸν βαθυτέρου δεομένοις νοὸς τὰ πολλὰ ἦν ὑπαγόμενος.

ipsis tempus adfuit: nam religionis amans imperator, grande Ausonum et inexpugnabile munimen, naturae legi cessit, et humana derelinquens, ad Deum migravit, vel ut verius dicam, in eo conquievit. Qui autem quotidiana spe alebantur, adepti quam optaverant securitatem, primo quidem Iohannem patriarcham, de gratiae scilicet nomine dictum, et vario gratiarum genere ornatum, sede sua deiiciunt, hoc veluti praeiacientes fundamentum impiorum quae machinabantur operum ad ecclesiae subversionem. Deinde illum (Iosephum) qui patriarchalem cathedram dimiserat ob ecclesiasticae unionis tractatum, iis modis causisque quas breviter supra innuimus, rursus in illa collocant; non ut illis optatum aliquid faceret; quî enim posset? qui eatenus tantum inter vivos censebatur, quatenus spirare cernebatur, in lecto semper iacens, oculos identidem aperiens; et vix interdum, gravi et urgente necessitate coactus, vocem emittens tam paucorum verborum et tam exilem, ut paene non audiretur; cetera mortuus et actione carens; sed ut ita per eius personam propriae malitiae desideria explerent. Qui hominis status multum iis proderat: vere enim dicam, idque celare prorsus denego; si hic revocatus ad sedem aliquantulum valuisset, et parum quid agere aut semet commovere potuisset, vetiturum fore quominus illorum vesania foras erumperet; et a multis magnisque quae acturi erant facinoribus prohibiturum; neque propter senium monasticamque cui assuetus erat vitam cedens, ad haec se pertrahi sivisset. Quamquam, ut iam ostendimus, in rebus quae paulo altiorem mentem postulabant, circumagi saepe solebat.

ξη'. Ἀλλ' οὐκ ἦν αὖθις ἐξ ἀντιθέτου τὰ συλληφθέντα σφίσι μὴ προαχθῆναι εἰς φῶς, ἔνθέν τοι καὶ σχεδιάζουσιν ἐντεῦθεν ἀρξάμενοι, ὡς ἐξ αὐτοῦ δῆθεν τοῦ ἔτι ἐμπνέοντος νέκυος ἀπόφασιν ἔγγραφον καθαιρέσεως, ἣν ἀνάρρησιν ἐγὼ μᾶλλον καλῶ (εἰ μὴ ἑτέρως ἐμποδίσαι δυνηθείη ἃ σύνοιδα ἐμαυτῷ πλημμελήματα) ὅμως αὐτὴν συσκευάζουσιν κατ' αὐτοῦ δὴ τοῦ ἐν πατριάρχαις χαριτωνύμου, τοῦ θεοφανοῦς Θεοφάνους Νικαίας, καὶ τοῦ προμνησθέντος Χαρτοφύλακος, καὶ ἐμοῦ· τοῦ μὲν ὡς ἀλλότρια δόγματα παραδόντος, τὰ ἐξ ὧν οὗτος τῶν διαληφθέντων πλατύτερον πατρικῶν διδαγμάτων καὶ παραδόσεων τὴν ἐκκλησιαστικὴν ἔδειξεν εἰρήνην κραταιουμένην, οὕτω καλοῦντες· ἡμῶν δὲ τῶν ἐπιλοίπων τριῶν, ὡς εἰς τὴν ῥωμαϊκὴν ἐκκλησίαν διαπρεσβευσαμένων, καὶ τοῖς ἐκεῖσε συλλειτουργησάντων· τὸ γὰρ αὐτοῖς συνεκκλησιάσαι ταῖς ἑορτασίμοις ἡμέραις αἷς ἐτύχομεν συμπαρεῖναι, καθ' ἃς καὶ μᾶλλον τῷ Πάπᾳ δημοσίας ἐπιτελεῖν τελετάς, καὶ μυσταγωγίας νενόμισθαι· καὶ μηδέν τι πλέον
cod. f. 40. a. ἐν τούτοις ποιῆσαι τῶν ὧν πλειστάκις οἰκείοις ἑωράκαμεν ὀφθαλμοῖς αὐτὸν ἐκεῖνον ποιοῦντα μεθ' Ἰταλῶν, τὸν ἀφ' οὗ τὴν ἀπόφασιν οὗτοι ἐξήνεγκαν, ἐν ἄλλοις τε μέρεσι τῶν θείων σηκῶν, καὶ τοῦ ἱεροῦ θυσιαστηρίου ἐντός, ἐπεί τοιγε τῶν ἡμετέρων ἐθίμων οὐδὲν παρελύσαμεν οὐδαμῶς· τὰ καθ' ἡμᾶς οὕτως οἱ διαβάλλοντες ἐξειλήφασι, καὶ ὡς ἔγκλημά τι κηρυκεῦσαι διενοήσαντο, οἱ μηδ' ὅτι αὐτοὶ ἑαυτοῖς περιπίπτουσι συνιέναι βουλόμενοι τῶν ἐνδοτέρων ὀφθαλμῶν ἐξ ὑπερβαλλούσης τυφλώσεως· καὶ τοῦτο διῆλθον, οὐχ ἵνα ἐμαυτοῦ τῆς ἀποφάσεως χάριν ὑπεραπολογήσωμεν· εἰ γὰρ οὕτω ταύτην ὡς προϋπεθέμην τό γε εἰς τὴν δ' ἧκον εὑρεθῆναί μοι θαρραλέως ἐκδέχομαι, τί μοι χρεία λόγων καὶ ἀπολογιῶν ἐπ' αὐτῇ; ἀλλ' ἡ τῶν λεγομένων εἰς αὐτό με ῥύμη πρὸς βραχὺ μετεβίβασεν.

68. Sed iam adversarii sua praeconcepta consilia in lucem prorsus efferre volebant. Quare propere agentes hinc incipiunt; scilicet ex ipso adhuc vivente cadavere decretum scriptum extorquent depositionis, quam ego creationem potius appello (nisi hanc alioquin impedire potuerint ea quorum mihi conscius sum peccata) depositionem inquam faciendam curant Iohannis patriarchae, Theophanis inclyti Nicaeae episcopi, et supradicti Chartophylacis, ac mei ipsius: patriarchae quidem tamquam aliena dogmata docentis, ita nimirum illas nuncupantes late ab eo expositas patrum doctrinas et traditiones, ex quibus ecclesiasticam pacem firmandam esse ostenderat; nostrûm vero trium, quia ad romanam ecclesiam legati iveramus, ibique cum Latinis liturgiam feceramus. Etenim diebus sollemnibus, in quos tunc incidimus, ad ecclesiam simul convenire mos est, praesertim cum publicas facere Papam functiones et mystagogias, lege sancitum est. Nil ultra tamen egimus, quam quod illum ipsum (Iosephum) cum Italis facientem propriis oculis videramus; illum inquam a quo decretum isti retulerunt, et in aliis sacrorum templorum partibus, et intra ipsum sacrum altare: nam ritus certe nostros nullatenus violavimus. Nostra haec isti incusantes traduxerunt, et quasi crimen divulgandum curarunt. Atqui nolunt intelligere, ipsos sibimet contradicere, propter interiorum oculorum summam caecitatem. Porro haec dixi, non quia velim apologiam mei facere adversus decretum: nam si, ut iam exposui, scopum eius mihi esse

ξθ'. Ἐφ' ᾧ τῆς ἀκολουθίας αὖθις τῶν εἰς διήγησιν προκειμένων ἐχόμενος, οὕτως αὐτοὺς τὴν καθ' ἡμῶν ἀπόφασιν ἐξυφάναι φημί· οἳ καὶ τῇ ἑξῆς βόμβον καὶ τάραχον ποιησάμενοι κρούσεσιν ἀνενδότοις τῶν παρὰ τῷ θείῳ τεμένει τῆς τοῦ θεοῦ λόγου σοφίας ἀπηωρημένων χαλκηλάτων κωδώνων λαώδες ἀθροίζουσι στίφος, ἐκ διαφόρου τύχης καὶ ἐπιτηδεύματος συνιστάμενοι, καὶ πρὸς αὐτοὺς ἐκφωνοῦσι τὰ καθ' ἡμῶν, τῶν μὲν ἀπόντων, τῶν δὲ παρόντων καὶ μὴ εἰδότων· οὕτως ὑπὸ τοῦ ζήλου θεσμοὺς καὶ κανόνας τοὺς ἐκκλησιαστικοὺς ἐπαιδεύθησαν, ὧν καὶ ἔτι τῆς ἀκριβείας ἁπτόμενοι, μετ' οὐ πολὺ διάστημα ἡμερῶν τῆς σφῶν ἐκφωνήσεως καὶ πρὸς συσκευὰς δικαστηρίων ἐπαποδύονται· καὶ πάλιν ἦχοι καὶ κρότοι τῶν ῥηθέντων ἠχητικῶν ὀργάνων τῶν προτέρων βαρυηχέστεροι· καὶ πάλιν σύῤῥοιαι καὶ ἀθροίσεις δημώδους πλήθους πολυμιγοῦς, οὐ μόνον ἐκ τῶν ὧν ἔγγιστα διειλήφαμεν, ἀλλὰ καὶ τῶν φόνοις εἰωθότων ἐνασχολεῖσθαι καὶ αἵμασι· καὶ οἱ προκατακριθέντες καὶ cod. f. 40. b. ἐξουθενηθέντες ἡμεῖς, κρινόμενοι τότε καὶ ἐξουθενούμενοι βιαιότερον· καὶ κριταὶ τάχα ὁ τηνικαῦτα παρευρημένος τῶν ἀρχιέρεων χορὸς, κατάκριτοι δὲ πλέον ἤπερ κριταὶ, καὶ τότε μὲν ἀπειλούμενοι, ὕστερον δὲ καὶ ἀνηλεῶς εἰς τοῦτο συνελαυνόμενοι, καὶ τὸ σκοπιμώτατον ἐκ τούτων τοῖς τὰ μεγάλα καθ' ἡμῶν δυναμένοις, ὡς εἴ τις ἡμῶν τῆς ἐπὶ τῇ εἰρήνῃ τῶν ἐκκλησιῶν ὑποθέσεως, ἀντιλαβέσθαι προθυμηθείη τῶν λυσιτελῶν ὅσα δὴ καὶ θεοφιλῶν, καὶ μὴ κακίσαι ταύτην καθόσον αὐτοῖς θελητὸν προαχθείη· κἀντεῦθεν στερκτὰ δεῖξαι τὰ δρώμενα παρ' αὐτῶν· πέρα τῶν ἐπὶ τούτῳ λόγων τὴν τοῦ παμμι-

compertum fidenter adsero, quanam mihi apologia opus est? Sed tamen orationis cursus me paulisper excurrere fecit.

69. Post haec ad narrationis seriem revertens, sic eos suum contra nos decretum contexuisse aio; qui etiam sequente die rumorem tumultumque concitantes, pulsationibus assiduis suspensarum apud augustum sapientiae (σοφίας) Dei Verbi templum aerearum nolarum, vulgi globum convocant ex diversis classibus et opificiis conflatum, apud eos clamitando contra nos partim praesentes partim vero etiam absentes et ignaros. Sic isti a proprio zelo leges canonesque ecclesiasticos edocti erant; quorum iam planam notitiam adepti, post paucorum dierum intervallum a sua decreti promulgatione, etiam apud synodica tribunalia machinas struunt. Denuoque sonitus et pulsationes dictorum resonantium organorum praeteritis etiam vehementiores: iterumque concursus et populares miscellae multitudinis globi, non modo classium quas commemoravimus, verum etiam hominum cruentis caedibus assuetorum: nos vero iam antea damnati et despecti, nunc iterum iudicati et vehementius spreti. Et iudex quidem tunc fortasse erat, qui compertus illic est episcoporum coetus, sed damnati reapse magis homines quam iudices; tunc quidem minantes, postea vero ad crudelitatem quoque prolapsi. Sed praecipuus his qui tantopere contra nos valebant scopus erat, ut si quis ex nobis pacis ecclesiarum negotium defendere auderet tamquam utile et Deo gratum; neque contrarium tantopere vellet vituperare quantum ipsis luberet, simulque laudabilia eorumdem facta fateri; tunc praeter dictos verborum rumores, plebeiae quoque turbae impetum commoverent, et clamorem contra huius-

τοὺς λαοῦ κινῆσαι καὶ βοὴν κατ' αὐτοῦ ἐξικνουμένην ἐς ὅσον οἱ εἰδότες ἐπίστανται, καὶ γὰρ προκατειλημμένον ὄντα τοῦτον μαχίμοις ὑπονοίαις κατ' Ἰταλῶν, καὶ ἄλλως διεγηγερμένον ἐκέκτηντο καθ' ἡμῶν, ἔτι κἀκ τοῦ ταῖς καινοτομίαις χαίρειν ὑπηγμένον ὁλοσχερῶς, καθὼς ἄριστα καὶ τοῦτο τῷ εἰρηκότι πεφιλοσόφηται.

ο'. Καὶ οὗτοι μὲν οὕτως· ἡμῖν δ' ὃ τοῦ καθήκοντος ἔξω γεγονὸς ἐπὶ τούτου συνεπεπτώκει, οὐδαμῶς ἀποκρύψασθαι δίκαιον κατασεισθῆναι τῷ ἀδοκήτῳ τῶν γινομένων ἡμᾶς συνέβη τηλικαύτην ἑωρακότας ἀθρόαν μεταβολὴν, καὶ δῆμον οὕτως ἀναφθέντα, καὶ θροῦν καὶ θόρυβον ἀνυπόστατον· ἔδει δὲ μὴ τοῦτο παθεῖν, ἀλλ' ἀνδρισαμένους γενναίως ἐνστῆναι μέχρι τοῦ καὶ ἀνήκεστα ὑποστῆναι, ὡς ὑπὲρ ἀγαθοῦ ἔργου τυραννουμένους, καὶ εἰ δεήσει θανεῖν· καὶ μήτις οἰέσθω με τούτων τὰ ἑξῆς διηγούμενον ὡς ἐν ἀπολογίας μέρει συντίθεσθαι, οὐ γὰρ ἂν οὕτω διωμολογηκὼς κατεφάνην, εἴ γε μοι πρὸς τοῦτο ὁ νοῦς ἀπετείνετο, ἀλλ' ὡς ἔσχε τὴν περὶ αὐτῶν ἀλήθειαν ἀπαγγέλλοντα·
cud. f. 41. a. ἔδει μὲν οὖν τὸν ὃν εἰρήκειν δρόμον δραμεῖν· λογισμός δέ τις ἐπῆλθεν ἡμῖν συσταλεῖσιν, ἄλλον εἶναι τὸν εἰς τοῦτο καιρὸν, ἡνίκα ἂν καὶ παρρησιάσασθαι γένοιτο ἐμφανὲς, ἀκοῦσαί τε καὶ εἰπεῖν· καὶ τὸ μεῖζον καὶ κυριώτερον, οὐκ ἦν ἡμῖν προσδοκώμενον ἐς τοσοῦτον ἐληλακέναι κολοφῶνα δεινῶν, τοὺς εἴ τι καὶ βούλοιντο δρᾶν εὐποροῦντας, ἐς ὅσον ἀφίκοντο, τὸ τοσαύτας ἀνοσίους δηλαδὴ πράξεις διενεργῆσαι τῷ λόγῳ πρόσω ῥηθησομένας· καὶ τέλος εἰς λαμπρὰν διαμάχην δογμάτων καταντῆσαι τῶν πατρικῶν ἐξ ἀνυπερβλήτου κακίας τῆς καθ' ἡμῶν· εἰ γὰρ τοῦθ' ὅλως ὑπονοούμενον ἦν, οὐδὲ τηνικαῦτα ἑαυτοὺς ἐπισχεῖν ἠδυνήθημεν ἂν, μὴ οὐχὶ τὴν αὐτῶν ἀπελέγξαι κακόνοιαν,

modi hominem attollerent, ut ii qui viderunt sciunt. Nam plebem praeoccupatam hostilibus contra Italos suspicionibus, et alioqui erectam tenebant adversus nos, cum praesertim novis semper rebus studere soleat, quemadmodum item hoc dicenti compertum est.

70. Isti quidem ita. Nobis autem quid praeter rectum officium in hac re contigerit, reticere aequum non sit. Nimirum percelli nobis inopinato eventu accidit, tantam tamque subitaneam videntibus conversionem, et populum adeo inflammatum, tumultumque et trepidationem intolerabilem. Atqui haud oportuisset nos ita adfici, sed virili fortiter animo resistere usque ad extremae aerumnae patientiam, tamquam boni operis causa vexatos, etiamsi moriendum foret. Nemoque putet me, quae deinceps dicturus sum, apologiae causa conscribere: non enim haec ita confessurus eram, si mihi apologiae tantum faciendae consilium esset: sed puram rerum veritatem exponere volui. Oportuisset itaque illum a nobis decurri cursum, quem dixi. Sed enim cogitatio quaedam nobis ita formidantibus incidit, aliud fore tempus, cum et fiducialiter agere, et audire, et loqui liceret; quodque magis interest, tantam superventuram malorum molem non expectabamus; nec istos si quid hac idonea sibi occasione agere vellent, ad impia tamen acta prorupturos, qualia deinceps dicemus; postremoque ad manifestam dogmatum a patribus traditorum oppugnationem, per summum scelus adversus nos deventuros. Certe si talis suspicio ullatenus occurrisset, continere nos ne tunc

καὶ ὑπὲρ ἀληθείας τλῆναι πᾶν ἐλευσόμενον· ὅτι δὲ ταῦτα δι' ἐλπίδος οὐκ ἦν, τῇ σφῶν ἐνεδώκαμεν ἀλογίστῳ μανίᾳ, οἳ καὶ τούτου λαβόμενοι ἑτέραν ἐτράποντο κἀν ταύτῃ χαλεπὰ ἐτεχνάσαντο κατ' αὐτοῦ καὶ μᾶλλον τοῦ ἐν ἀρχιερεῦσιν ἀγακλεοῦς, καθ' οὗ καὶ τῆς κακίας ἦν ἡ ἀκρόπολις, καὶ καύσεις καὶ ἀθετήσεις εἰργάσαντο, οὐ μετρίαις ἐπὶ διαβολαῖς εἰς αὐτὰ τοῦτον ἀπηνῶς συνωθήσαντες, ἅπαξ ἐνδόντα τῇ σφῶν ἀκαθέκτῳ φορᾷ, λόγοις οἷς ἐδηλώσαμεν· ὃν καὶ παρευθὺς ἐξόριστον πεποιήκεσαν· καὶ τὸ δὴ τερατῶδες αὐτοὶ ταῦτα δραματουργῆσαι κατίσχυσαν, οἱ μεθ' ἡμῶν ἄχρι τέλους διαμεμενηκότες, καὶ κοινωνοῦντες καὶ τῇ ὑποθέσει τὸ καταρχὰς πάντων ἐπέκεινα συναράμενοι, ὧν οἱ μὲν ἔρωτι τῆς πατριαρχικῆς ἀρχῆς καὶ μεγαλειότητος κρατηθέντες, ἐπείπερ ἐκ τοῦ μεγάλην σπουδὴν ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰσενέγκασθαι πραγματείας ἑτέρως μεγαλυνθέντες, οὔμενουν καὶ τῆς ἄκρως ἐφιεμένης ἀξίας ἐντεῦθεν ἐπέτυχον· ὡς ἂν ἀλλοτρόπως ὑφέλωνται ταύτην τοῦ λαχόντος κανονικῶς, ἑτέραις πρώην ῥαδιουργίαις χρησάμενοι, καὶ ὑπού- cod. f. 41. b.
λως τὸν διὰ μέσου διηνυκότες καιρὸν, εἰς τὰς ὑπηγορευμένας τέλος σκαιουργίας δεδώκασιν ἑαυτούς· οἱ δὲ καὶ αὐτοὶ τὸν ὅμοιον διακείμενοι τρόπον, σχετικῶς τε τοῖς προῤῥηθεῖσι συνδούμενοι, καὶ κατὰ τοῦ νόμιμον ὡς ἐλέγχθη τὴν ἀρχιερατικὴν εἰληχότος τιμὴν κακίᾳ φερόμενοι, καὶ καθ' ἡμῶν αὖθις ὑπονοίαις ἀνυποστάτοις, ὡς κατ' αὐτῶν δῆθεν ἐργασαμένων τὸ σύμπαν ὑποβολῆς ἐκ σατανικῆς, ἐπεὶ καιροῦ τοῦ θυμήρους ἐδράξαντο, τὰ διαληφθέντα πάντα γεγονέναι παρεσκευάσαντο, τοῖς ἀνακτόροις κραταιωθέντες· εἴπερ τινες καὶ τὴν φίλην τοῖς φιλουμένοις ἀρχὴν κατεπειχθέντες ὀρέξασθαι, ἣν καὶ ὡς ἐν βραχεῖ παρέσχον καὶ ἐπεκύρωσαν, οὐ ψήφων ἀρχιερατικῶν δεη-

quidem potuissemus, quominus malam ipsorum mentem coargueremus, et quemlibet pro veritate eventum pateremur: sed quia haec sperare non erat, illorum cessimus insano furori: qui capta occasione aliam viam ingressi, dira machinati sunt adversus ipsum in primis inclytum patriarcham, quem summis nequitiae viribus impugnabant; et ustiones ac deletiones (librorum) fiebant, nec mediocribus eum calumniis crudeliter urgebant, qui semel effreni illorum vehementiae ob ante dictas causas cesserat; quem et ilico extorrem fecerunt. Quodque monstrosius fuit, drama hoc illi peragere voluerunt, qui nobiscum hactenus fuerant, et tractatui operam conferentes, ab initio prae ceteris eum adiuverant; alii quidem patriarchalis dominationis amplitudinisque cupidi, quia cum propter magnum a se studium in ecclesiastica tractatione impensum amplificati fuissent, nondum tamen summa quam affectabant dignitate potiti erant. Hi videlicet, ut alio modo eam eriperent canonice possidenti, aliis antea fraudibus usi, et subdole interiectum tempus transigentes, dictis demum improbitatibus semet dediderunt. Alii vero aeque ac praedicti odio imbuti, et contra legitimo, ut diximus, pontificali honore ornatum, malitia tua invehentes, et contra nos quoque gravissimis impulsi suspicionibus, quasi hostiliter in eos ageremus; satanico prorsus impulsu, capto irae effundendae tempore, praedicta omnia patrare adgressi sunt, regali favore roborati; siquidem quidam ambitam ambientibus dignitatem studiose exhibebant, quam et paulo post praebuerunt et confirmarunt,

θέντες, οὐ τῶν ἐπὶ τούτῳ νενομισμένων τινὸς, οὐ κανονικῆς θεσμοθεσίας, οὐ διαγνώσεως, ἀλλ᾽ αὐτοτελεσταὶ σχεδιασθέντες αὐτοὶ, καὶ τούτων ἀντὶ πάντων ἀρκέσαντες.

οα΄. Ὡς γὰρ ἐκπνευκὼς τέλεον ἐγνωρίσθη ὁ προαναχθεὶς λόγοις τοῖς τρανωθεῖσιν ἐπὶ θρόνου τοῦ πατριαρχικοῦ, τὸ προμεμελετημένον σφίσιν ἀνύεται, καὶ ὁ ἐκ μικροῦ παρεσκευασμένος ὡς ἐδηλώθη τὸ τῆς οἰκείας σπουδῆς λαμβάνει κατάντημα, ὁ Κύπριος δηλαδὴ, καὶ τὸν ῥηθέντα θρόνον ἁρπάζει, κανονικῆς ἁπάσης ἐκτὸς παραδόσεως, μή τινος παῤῥησιασαμένης ὁπωσοῦν ἱερατικῆς συμφωνίας, ἀλλὰ τὸ πᾶν ἀπερικαλύπτως ἐπὶ τούτῳ κατορθωσάσης δυνάμεως καὶ θελήσεως κοσμικῆς τῶν αὐτῷ φιλίως διακειμένων, ὡς λέλεκται· καὶ ἡ σκῆψις ἐπὶ τούτοις ὡς εὐπρεπὴς τὸ μή τινα καθαρὸν εἶναι τῶν παρευρημένων ἀρχιερέων, ἀλλὰ πάντας μιανθῆναι τῷ ἐφ᾽ ἑνώσει τῶν ἐκκλησιῶν
cod. f. 42. a. πρακτέῳ, μεθ᾽ ὧν οὗτος καθ᾽ ἑκάστην κοινωνῶν διετέλει, καὶ παρ᾽ ὧν ἄχρι τῆς πρὸ ἐκείνης ἡμέρας, καθ᾽ ἣν ἡ εἰς ταῦτα μεταβολὴ τὸν συνήθη πᾶσι χριστωνύμοις ἁγιασμὸν ὑπεδέχετο· ὡς ἂν μή τοί γε καλῶς εἰληφέναι τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα δείξειεν οὕτω λαβὼν, ἀλλὰ καὶ πάντας τοὺς τοῦτο θεοφιλῶς ἐμπεπιστευμένους κατὰ θεσμοὺς καὶ τάξεις οὓς ἴσασιν οἱ θεοῦ φόβον ἔχοντες ἐγκείμενον τῇ ψυχῇ, ὡς βδελυκτοὺς καὶ πλήρεις ἀσεβείας ἀπώσηται· παρὸ καὶ μικρὸν οἱονεί πως ἐνταῦθα νύττομαι παραθεῖναι τοῦ τρόπου τοῦ ἀνδρὸς εἰς παράστασιν, μὴ τοῦτο σκοπὸν ἔχων, ὅτι μὴ τὸ τῶν περὶ ὧν ὁ λόγος ἁπλοῦν καὶ ἀποίκιλον, καὶ καθόσον δέον συντομοεπὲς εἰς ἀφήγησιν· ἄλλοις δὲ εὖ οἶδα μελήσει τὰ περὶ αὐτοῦ πλατικώτερον· καὶ δὴ καὶ

haud episcopalibus suffragiis rogatis, non legitimo ad id iure, non canonicis regulis, non scrutinio, sed ipsi subito initiatores facti, actum proprium instar omnium habentes.

71. Statim ac igitur innotuit supremum spiritum efflasse eum qui praedicta ratione in patriarchalem sedem fuerat repositus, meditata sua in rem conferunt; et qui paulo ante se comparaverat, ut ostensum fuit, studii sui finem consequitur; Cyprius inquam praedictam sedem arripit, extra omnem canonicam traditionem, nullo cum libero sacerdotali suffragio, sed manifeste omnia per vim et saecularem illorum voluntatem qui eidem devincti affectu erant, ut diximus. Praetextus autem sic agendi sane speciosus fuit, quia nemo scilicet tunc praesentium episcoporum purus esset, sed omnes illo unionis opere contaminati: quibus tamen hic Cyprius quotidie communicaverat et interfuerat usque ad praesentem diem, quo haec rerum mutatio consuetam christianis cunctis sanctitatem restituit. Et quod is quidem non bene pontificalem dignitatem acceperit, demonstrat accipiendi modus: namque et alios omnes, qui illam religiose susceperant iuxta leges et ordines notos Dei timoratis, ceu profanos et impietate plenos expulit. Quapropter aliquantum nunc urgeor ad exponendos publice hominis mores; quamquam hic non est scopus, quia ad propositum nostrum quod attinet, non sunt hi satis simplices et sine varietate, ut possint paucis verbis narrari: sed aliis non dubito curae fore, res eius latius explicare: immo iam curae ut arbitror fuit, quibus demum innotuerint, temporis beneficio praeter expe-

ἐμέλησεν οἶμαι, οἷς μόλις ἐγεγόνει καταφανῆ, καὶ εὖ ποιῶν ὁ χρόνος ἔδειξε παρὰ τὴν ὑπόληψιν· πλὴν κἀμοὶ ῥητέον ἄρτι τὸ ῥηθῆναι διερεθίζον με τῶν προκειμένων εἰς τὸ λέγειν καὶ τοῦτο μὴ ἀφιστάμενον.

οβ'. Τῆς ἐπὶ τῇ πρὸς σύμβασιν τῶν ἐκκλησιῶν ἐργασίᾳ ποικιλοτρόπως ἐνσκευασθείσης πολυσχιδοῦς ταραχῆς, ἑτέρα τις προαρτύεται παρὰ τῶν ὑπὲρ τοῦ ἐν πατριάρχαις ἀοιδίμου Ἀρσενίου τοῦ πάνυ, τὸ κλέος οὗ πολὺ καὶ ὁ ζῆλος περίπυστος, ἑλομένων ἐπαγωνίσασθαι λόγοις οἷς ἡ περὶ αὐτοῦ περιλάλητος φήμη πανταχόσε παρέδωκε· τούτων ἡ πρὸς τὸν προδιηγγελμένον Ἰωσὴφ καὶ τοὺς αὐτοῦ ἔνστασις καὶ διαφορὰ τὸν πατριαρχικὸν θρόνον εἰληφότα μετὰ τὸν πολυύμνητον ἀρχυθύτην Ἀρσένιον τοῖς ζῶσιν ἔτι συναριθμούμενον, τὴν ὕστεραν ἔριν ἐπλεόνασε καὶ ἐπεύξησε· ζήλῳ γὰρ τῷ πρὸς αὐτοὺς οὐκ ὀλίγον μέρος τοῦ λαοῦ ἰδιωσαμένους, καὶ οἱ τοῦ Ἰωσὴφ οὗτοι διεγερθέντες τῆς προβάσης τῶν ἐκκλησιῶν ὑποθέσεως δράττονται, καὶ ταύτῃ κραταιότερον ἐπιτίθενται τὸ λαῶδες ὑποσπάσαι καὶ αὐτοὶ φιλονεικοῦντες πλῆθος πρὸς ἑαυτούς, ἢ καί τι τό γε δεύτερον ἐξ αὐτῶν μέρος ἰδιοποιήσασθαι σπεύδοντες, τῶν προδηλωθέντων καὶ πρὸς τοῦτο κεκινημένων ὁλοσχερῶς, ὡς ἑκατέρους ἐρίζειν τῇ καὶ πρὸς ταῦτα σφοδρότητι καὶ ὁρμῇ, ὁποῖοι ἂν φανεῖεν τοὺς ἑτέρους ὑπερελάσαντες· γίνονται γοῦν ἀμφότερα μέρη τῇ μὲν καθ' ἡμῶν ὡς τὴν εἰρήνην διωξάντων ἐναντιώσει συντρέχοντα, τῇ δὲ πρὸς ἀλλήλους διενέξει διαφερόμενα· ὡς οὖν οὕτω τῶν πραγμάτων αὐτοῖς περιενεχθέντων οἱ μὲν τοῦ Ἰωσὴφ ἐγκρατεῖς γεγονότες τῆς τῶν πνευματικῶν ὁλικῆς ἐξουσίας, καὶ πᾶν τὸ σφίσι καταθύμιον περατώσαντες ταχέως παρῆλθοσαν· cod f. 42. b.

ctationem ostensae. Attamen et ego eatenus dicam, quatenus me res praesens ad dicendum extimulat, et quatenus a proposito non alienum sit.

72. Variae huic perturbationi, quae ob ecclesiarum coniugendarum tractatum conflata est, alia praecesserat, auctoribus illis qui inclyti patriarchae Arsenii, gloria et zelo praestantis, partes defendendas susceperant, ob eas causas, quas fama celebris illius negotii quaquaversus patefecit. Horum contra memoratum a nobis Iosephum adversatio et contentio, quia patriarchalem sedem occupaverat post laudatissimum pontificem Arsenium in vivis adhuc degentem; illa inquam perturbatio hanc posteriorem amplificavit et auxit. Aemulatione enim adversus illos, qui non modicam populi partem sibi vindicaverant, hi Iosephi adseclae concitati, ansam arripiunt ex progrediente ecclesiarum negotio, ideoque enixius nituntur turbas ad se pertrahere, ipsi quoque popularis aurae cupidi, et ex his partem sibi adiungunt, quos diximus iam omnino commotos, ita ut utrimque iurgarentur gravi cum impetu ac vehementia, ut invicem, quicumque demum essent, superarent. Fiunt igitur ambae hae partes contra nos quidem pacis studiosos, concordes; mutua vero inter se contentione, adhuc discordes. Horum ita se rebus habentibus, Iosephi adseclae rerum omnium spirita-

1) Arsenium legitimum patriarcham inique gradu suo deiecerat Michahel imp., eique viventi Iosephum substituerat. Hinc in ecclesia byzantina schisma et contentio Arsenianorum cum Iosephianis; quam ob causam scripsit Methodius monachus opusculum pacificum a nobis editum Script. vet. T. III; itemque aliud Iohannes Clidas Ephesi metropolita, cuius nos itidem excerpta dedimus in Spicilegii rom. tomo VI. praef.

παρὰ τοῦτο γὰρ καὶ ἐκλήθησαν τοῖς ὡς ἐῤῥέθη δυναμένοις τὰ μέγιστα· μέλλον δὲ τοῦ λοιποῦ ἦν εἰς τοῦτο καὶ προσδοκώμενον, τοὺς Ἀρσενίου τοῦ τὴν πατριαρχικὴν ἀξίαν περιβοήτου ἐλεύσεσθαι, καὶ τὸ ὅλως παρεισαχθῆναι τοὺς προλεχθέντας ἀπαναινομένους καὶ δυσπανασχετοῦντας ἐπιεικῶς, ἅτε σφίσιν ἀποβλήτους πάνταπασιν· τό τε πλῆθος ῥέπον ἦν αὐτοῖς κομιδῇ καὶ προσκείμενον· καὶ τοῖς ἰσχύουσιν ἄλλως τὰ τοιαῦτα προῳκονόμηται, καὶ ὡς ἐκ μακροῦ μεμελέτηται, οὕτω δὴ καὶ ηὐτρέπισται· καὶ ὁ Κύπριος εἷς ὢν ἐξ αὐτῶν τὸ ὑπεροχικὸν ἀξίωμα σφετερίζεται.

ογ΄. Τί γίνεται; καὶ τί τερατουργεῖται; γελοῖον ἐν οὐ παικτοῖς· πλὴν τοῦτο καλῶς ἔχον, ὅτι τῆς τοῦ ἀνδρὸς δυστροπίας στήλη τις καὶ θρίαμβος, ἐχρηματίσεν· ἕνα ἑαυτὸν οὗτος αὐθημερὸν ἀναπλάττει τῶν τῆς μοίρας Ἀρσενίου τοῦ ἐν πατριάρχαις περιφανοῦς, κἀπὶ τοῦ πατριαρχικοῦ κάθηται θρόνου· ὡσεὶ τοιοῦτος εἶναι κηρυκευόμενος, τοὺς πολλοὺς ἐντεῦθεν ἑαυτῷ ἐφελ-
cod. f. 43. a. κύσαι, τῷ φενακίσαι οἰόμενος· ὡς κοινωνίαν στέργων τὴν μεθ' ἡμῶν ἄχρι τῆς ἐς τὰ παρόντα τῶν πραγμάτων μεταβολῆς, καὶ τῶν τῆς μερίδος τοῦ πατριαρχεύσαντος Ἰωσὴφ ἐπὶ τῆς πνευματικῆς πάντων ἡγεμονίας ἀφικομένων, τῇ τούτων συμμορίᾳ ἑαυτὸν εἶναι συνειλεγμένον ἐδείκνυε, καὶ ταύτην καθεστάναι τὴν αὐτῷ φίλην καὶ ἀσπαστὴν ἀνηγόρευε· συνδιατεθεὶς ἐπὶ πᾶσι σφίσι τοῖς δόξασιν, ἡνίκα καὶ τοὺς τοῦ ἑτέρου μέρους τούτοις ἀντιβαίνοντας, ὡς δεδήλωται, πρός τινὰς τῶν συνήθων ἠρέμα κακίζων, καὶ μὴ ἀποδεχόμενος κατεφαίνετο· οὕτω τοῦ καιροῦ πάλιν ἐπιστάντος καθ' ὃν καὶ τόδε τὸ μέρος ἀναμφιλέκτως τῆς ἐκκλησίας ἡγεμονεύσειν ἦν προδοκήσιμον, ἀφορίσας ἑαυτὸν ἐκείνων, ὥς τις τουτωνὶ προηγός, τὴν τοιαύτην ἡγεμονίαν κομίζεται· καὶ ὡς μετ'

lium potiti, et totius voti compotes facti, statim in scena aderant; ob id enim ab iis evocati fuerant, qui plurimum ut dictum est poterant. Verumtamen futurum erat quod expectabatur, nempe ut celebris etiam patriarchae Arsenii adseclae advenirent; et omnino hi iam accesserant repugnantes aegreque ferentes ceu ab illis prorsus reiecti. Plebs insuper his valde favebat adhaerebatque. Atque haec aliunde iam fuerant a potentibus praeparata, et ut iamdiu excogitata, ita etiam recte ordinata. Sic Cyprius ex his unus supremam sibi dignitatem vindicat.

73. Quid inde consequitur? quidve mirum? Ridiculum scilicet in re seria. Verumtamen hoc bene se habet, quod hinc diffamatio quaedam extitit et publica ostensio huiusce hominis improbitatis. Hic unum se eodem die de Arsenii nobilissimi patriarchae partibus simulat, et patriarchalem occupat sedem. Sic ipse proclamatus multos ad se pellicere per fraudem ratus: communionem nobiscum usque ad praesentem rerum conversionem servans: deinde vero partes Iosephi patriarchae sequens, postquam res omnes spiritales ad eum devenerant, huius quoque societati adhaerere se demonstrans, sibique hanc esse gratam optatamque praedicans, cunctisque illorum voluntatibus annuens: dum interim nonnullos quoque contrariae partis illis adversantes, apud aliquos familiares suos secreto improbaret nec recipere videretur. Sic occasione iterum oblata, cum ab hac quoque parte principatum ecclesiae sine dubio occupatum iri expectaretur; semet ab illis separans, tamquam horum antesignanus tantum hunc

ἐκείνων, οὕτω δὴ καὶ μετά τινων ὀλίγων χυδαίων πάνυ, καὶ τῶν πολλῶν τούτου δῆτα τοῦ καταλόγου δώροις καθυπαχθέντων καὶ τιμῶν ὑποσχέσεσι τῶν κρειττόνων καὶ μειζόνων, μετὰ τοῦ καθολικοῦ στίχους ἀποφυγόντων τὰ τῆς ἐκκλησίας, αὖθις εὑρίσκεται ἀλλοιῶν, τοὺς μεθ᾽ ὧν ὑπῆρχεν ἀεὶ κοινωνῶν εἰς κοινωνίαν ὡς ἀκοινωνήτους ἀνέδην ἐπ᾽ ἐκκλησίας δεχόμενος· οὕτω τε μὴ μόνον τὰ καθ᾽ ἡμᾶς διαβάλλων, καθ᾽ ὧν ἡ πᾶσα σπουδὴ, ἀλλὰ καὶ ἃ οἱ τοῦ Ἰωσὴφ, ἢ μᾶλλον αὐτὸς σὺν ἐκείνοις εἰργάσαντο παροπτέα κρίνων τὸ παράπαν καὶ ἀπαράδεκτα· πρῶτοι καὶ γὰρ οὗτοι σὺν αὐτῷ τὰ τῆς κοινωνίας ταύτης ἐτερατεύσαντο· συμμεταβάλλεται γοῦν τοιουτρόπως κατὰ τοὺς ᾀδομένους χαμαιλέοντας, καὶ συσχηματίζεται, ποτὲ μὲν τοῦτο, ποτὲ δ᾽ ἐκεῖνο γινόμενος· πλὴν τελευταίαν ταύτην ἀλλοιοῦται ἀλλοίωσιν ἐπὶ τῇ εἰς τὸν πατριαρχικὸν θρόνον ἀναγωγῇ.

οδ΄. Καὶ ἵν᾽ ἐφεξῆς ὁ λόγος προΐοι, τοῦ λοιποῦ ἦν τυραννικώτερον χρώμενος τῇ ἀρχῇ· ὃν γὰρ τρόπον εἰς αὐτὴν προελήλυθε, τὸν αὐτὸν καὶ διέπειν τὰ κατ᾽ αὐτὴν παρατάττεται, τὸ γαλήνιον μόνῳ τῷ δηλωθέντι μέρει μεθ᾽ οὗ αὐτὸς ἑαυτὸν ἀπεκλήρωσε προσεπιτεχνώμενος, εἴπως δυνηθείη τοὺς ἀποφυγόντας τούτων ὑποποιήσασθαι, καὶ δι᾽ αὐτῶν τὰ δημώδη πλήθη, καὶ τοὺς λαούς· ἄλλως δὲ μή τινα τῶν ἁπάντων ἀνήσειν ἑτοιμαζόμενος, μὴ τῶν ἀρχιερατικῷ σεμνυνομένων βαθμῷ, μὴ τῶν ἱερατικῷ οἵῳ δή τινι, ἀλλὰ πάντας προέσθαι καὶ ἀφανίσειν, καὶ πρὸς τούτοις νόμους καὶ κανόνας τοὺς ἱερούς, ὡς πάντα τοιουτώδη κατάλογον οἰκείους ἐκ τῶν ῥηθέντων αὐτὸς πλαστουργήσειε, τὸ ἐκ δυναστείας ἴδιον ἐντεῦθεν συστήσασθαι μηχανώμενος· οὐ- cod. f. 43. b.
μενουν τὸ σφῶν ὅλως περιποιούμενος, εἴ γε ἐκεῖνα τελέσας, ὡς προτεθύμητο·

principatum obtinet. Atque ut cum illis, ita etiam cum paucis aliquot plebeiis, multisque de ecclesiastico numero donativo captis, et honorum meliorum maiorumque promissionibus, iis videlicet qui cum catholico manipulo a praesentis ecclesiae statu recesserant; rursus demum variare comperitur, dum illos quibuscum semper communicaverat, nunc nonnisi tamquam excommunicatos impudenter in ecclesiam recipit. Atque ita non modo nos vituperabat, contra quos omnis eius impetus erat, sed ea etiam quae Iosephi adseclae, vel ipse potius cum illis fecerat, despicienda prorsus et improbanda ostendebat. Primi enim hi de sua cum ipso communione se iactaverant. Mutatur itaque ea ratione qua decantati illi chamaeleontes, et iisdem configuratur, modo hoc modo illud factus. Denique novissimam hanc mutationem facit, dum patriarchalem sedem conscendit.

74. Atque ut oratio nostra ad posteriora pergat, posthinc tyrannice magis dignitate sua uti coepit. Nam quo modo ad eam pervenerat, eodem et illam exercere disponit, mitem se ei tantummodo parti praebens, cui se addixerat, ut desertores suos revocandos curaret, et per hos plebeiam multitudinem atque populos: ceteroqui neminem omittere paratus, non episcopali fastigio sublimem, non sacerdotalis cuiusvis gradus, sed omnes abiicere atque annihilare, insuperque leges, sacrosque canones; et mox totum cleri huiuscemodi catalogum praedictis artibus sibi proprium creare, suam hoc pacto potentiam constabilire curans: neque tamen illos omnes, etiamsi tan-

καὶ τούτους μὴ πειθομένους εὑρὼν, ὕστατον καὶ αὐτοὺς ἐξορίαις καὶ φυλακαῖς παραπέμπεται· ἐπεὶ γὰρ τὴν ὑπερκειμένην καθέδραν κατάσχοιτο, τὰ τοιαῦτα τῶν ἔργων κατωρθωκέναι πᾶσαν ποιεῖται σπουδήν· καὶ πρῶτον ἄεθλον τίθησιν τὴν ἐν Βλαχέρναις περιώνυμον σύνοδον, ἥν τινες ἀληθείᾳ ὑπείκοντες λῃστρικὴν προσφόρως κατωνομάκασι· ταύτην μεθ' ὧν ἡ τοῦ δρᾶν ἅπαν τὸ βουλητέον ἄδεια καὶ παντελὴς τούτῳ κατακυρίευσις, παρὰ βασιλείοις ὡς προϋπεσημάνθη σθένος κτησαμένων τοῖς πώποτε ἀπαράμιλλον, οὕτω συνίστησι· φθάνουσι προσλαβέσθαι τὸν ποτὲ τῆς ἐκκλησίας Σάρδεων ἀρχιερατεύσαντα, τηνικαῦτα δὲ τῆς μερίδος, ἧς αὐτοὶ ἑαυτοὺς συναριθμίους ἀπέφηναν καὶ αὐτὸν λογιζόμενον· οὗτος εἷς ἐστιν ἄρα τῶν τὰ πρῶτα τῆς πρεσβείας ἐνεγκαμένων, ἣν ὁ ἐν βασιλεῦσι χαριτώνυμος καὶ ἀοίδιμος, καὶ ἡ τότε θεία τῶν ἀρχιερέων συνέλευσις συνάμα τῷ προϊσταμένῳ ταυτησὶ πατριαρχικῶς εἰς τὸν ῥωμαϊκὸν θρόνον πεπόμφασιν ἐντελεστάτην γεγονυῖαν ἐφ' ἅπασι, καὶ μὴ παρά τι τῶν πνευματικῶν ὅλως σχοῦσαν τὸ ἐμποδὼν, ὅτι μὴ σωματικωτέροις εἰς ἅπαν αἰτήσεσιν, ὡς ἀνωτέρω διηγούμενοι ἐπεμνήσθημεν· ὁ δὴ τοιοῦτος χρόνοις μετὰ τὴν ἐκεῖθεν πρεσβείαν συχνοῖς ἀλλεπαλλήλοις ἐμπεσὼν ὑποθέσεσι, (cod. f. 44. a.) καὶ τὸ μὲν συνοδικαῖς ἀποφάσεσι τὴν ἀρχιερατικὴν ἀξίαν ἀφῃρημένος, τὸ δὲ καὶ οἷς ἑαυτῷ τὰ τῶν μοναχῶν περιθεὶς ἐξ Ἀνδρονίκου τὴν Ἀθανάσιος κλῆσιν ἐπλούτησεν, ἐπείπερ τούτων ὀλιγωρήσας τῆς ἀρχιερωσύνης αὖθις ἀντιποιεῖσθαι ἐσπούδαζε· καὶ ὁ εἰς τοῦτο συναντιλαμβανόμενος ὑπῆρχεν οὐδεὶς, καὶ αὐτοῦ δὴ τοῦ ἐν πατριάρχαις μεγακλεοῦς Ἀρσενίου στερκτέα ἡγησαμένου τὰ κατ' αὐτόν· τέλος διὰ τὴν πρὸς τὸν αὐτοκράτορα Μιχαὴλ ἐναντίωσιν, τῇ ὑπὲρ ἧς ἦν πλεῖστον ἐργομοχθήσας ἑνώσει τῶν ἐκκλησιῶν ἀντιδιατίθεται, καὶ τοῖς εἰς μέρος τοῦ προλεχθέντος ἑαυτοὺς ἀποταξαμένοις, ὃν ἐπὶ τῆς

topere sategerat, ad se ut sperabat pellexit. Quos cum obtemperantes non comperisset, ad extremum in exilia carceresque coniecit. Nam postquam supradictam cathedram inscendit, ad eiusmodi patranda facinora toto animo incubuit. Et primo quidem quasi certamen exhibet famosam illam in Blachernis synodum, quam nonnulli veritati obsequentes latrocinalem merito appellaverunt. Hanc ita congregat cum illis, quibus omnis libiti libertas, et absoluta facultas ab aula regia, ut innuimus, sine superiore exemplo permissa fuerat. Adiungere sibi satagunt illum qui tunc erat Sardium episcopus, et modo eiusdem factionis credebatur quam ipsi adoptaverant. Est hic unus ex illis qui primum locum eius legationis tenebant, quam inclytus imperator Iohannes, et sacra episcoporum synodus, una cum eo qui nunc patriarcha est, ad romanam sedem miserunt; quae legatio fuit apprime legitima et absque ullo spiritalis rei detrimento, quia nullo temporalis rei postulato vitiata, ut superius iam diximus. Hic ergo Sardius annis post eam legationem pluribus, in varias rerum mutuo succedentium vices incurrens, modo canonicis decretis episcopali dignitate deiectus, modo monachali habitu sumpto, et ex Andronico nominatus Athanasius; deinde his pensi non habitis, rursus episcopalem sedem recuperare studuit. Et sane nemo ei aemulus concurrit, et inclytus patriarcha Arsenius acta eius rata habuit; donec propter suam Michaheli imperatori adversationem, ecclesiarum unioni pro qua antea plurimum laboraverat,

πατριαρχείας διαβάλλων, καὶ περισύρων, καὶ τὸ, ὁ ἀνίερος Ἀρσένιος διαῤῥήδην ἐπιφημίζων οὐκ ἔληγε, συγκαταλεγόμενος ἀναδείκνυται.

οε'. Τοῦτον οἱ προειρημένοι τοῖς σφῶν εὑρηκότες διαβουλίοις συντρέχοντα, ἅτε δὴ καὶ παλαιτέρα τῆς αὐτῶν κακίας συνισχημένον, κατὰ πάσης τῆς ἐκκλησίας σχεδὸν ὅσα ταύτην ἀνασπάσαι προθέλυμνον· ἐπειδὴ καὶ πρώην κατὰ τοῦ ὑπὲρ οὗ μαχόμενος ἐφιλοτιμεῖτο μεθύστερον τῷ πατριαρχικῷ θρόνῳ ἐνιδρυμένου τοιαῦτα ἦν μελετῶν καὶ λέγων, καὶ δὴ καὶ ἐπιχειρεῖν προσέτι διανοούμενος, τοῦτον ὑπερβαλλούσης τιμῆς οὑτωσί διακείμενον ἀξιώσαντες, τὸ διαβόητον ἐν Βλαχέρναις συντίθενται συνέδριον, ἀντιδικαστῶν ἀπηρτισμένης συνεισδρομῆς, ἀρκεῖν αὐτὸν εἰς ἅπαν καταστησάμενοι. Καὶ τὸ ἐπὶ τούτοις; κάθηνται μὲν αὐτοὶ συνάμα τῷ τοιούτῳ βήματος ἐπὶ εὐπρεποῦς τῶν τῆς βασιλείου καὶ ἑτέρους αὐλῆς αὐχοῦνται συνεδριάζοντας· συντρέχει δὲ θεάτρον παμμιγές ἐκ σύρφακος λαοῦ καὶ δημώδους, καὶ μοναχῶν συμπεφορημένον, ὧν τὴν ἀναστροφὴν εἰσὶν οἱ εὖ εἰδότες καὶ ἐξαγγέλλοντες· ἐμοὶ γὰρ cod. f. 44. b. οὐ θέμιτὸν φάσκειν τί τοιοῦτον, ἢ καὶ ὅλως παραδιδόναι γραφῇ, τάχα καὶ αὐτῶν ἐκ τῆς ἴλης νομιζομένων, ὑπὲρ ὧν οἱ τοῦ δύνασθαι τὰ τοιαῦτα ποιεῖν ὑπεκρίνοντο, τῇ δ' ἀληθείᾳ ἐκ πολυαφόρμων συνεστότων πολιτειῶν καὶ γνωμῶν, καὶ πρὸς μίαν καὶ τὴν αὐτὴν κατὰ τὸ τοῖς ἰσχύουσι δόξαν συνεληλυθότων ὁρμήν· οὐδέ στρατιωτικὸς ὅμιλος τῶν ἐκεῖσε ἀπῆν, οὔτε μὴν τῶν ἐν τάγμασι διαφόροις ὑπηρετικῶς ἐσταλμένων, καὶ χερσὶν ὅπλα φερόντων πρὸς τὰ ἀνάκτορα· ἐπιδεδημηκότες γὰρ ἦσαν ὑποδρηστῆρες καὶ οὗτοι ταχεῖς, τῶν εἴ τι ποῦ καὶ προτρέψαι, τοῖς προτρέπειν ἠξιωμένοις δεήσειεν, οἷς ἄρα καὶ μετάπεμπτοι γίνονται τὴν ἀρχιερατικὴν ὁπόσοι κοσμεῖν ἀξίαν κανονικαῖς εἰ-

nec non iis qui in factionem praedicti Arsenii semet coniecerant contrarium se constituit; infinite patriarcham vituperans, et profanum Arsenium disertis verbis sine fine clamitans, atque ita de horum numero fit.

75. Hunc praedicti homines consiliis suis faventem nacti, quia iam antiquitus illorum morbo laborabat, et universam propemodum ecclesiam radicitus extirpare cupiebat; quandoquidem et nuper contra ipsum, pro quo nunc pugnabat, mox in patriarchali sede constitutum, eadem machinabatur et obloquebatur, et factis etiam deinde adgredi cogitabat. Hunc sublimi honore ita cupidum dignantes, celebrem in Blachernis synodum convocant, adversariorum pleno coetui talem hominem opponendum rati. Quid deinde? Consident cum praedicto in subsellio decoro, aliis etiam ex aula regia gloriose adsidentibus: concurrit theatrum miscellum ex plebeia turba populoque, cum denso monachorum numero, quorum vitam sunt qui sciunt et narrant: mihi enim non licet aliquid de his dicere vel omnino tradere: et fortasse hi putabantur ex illorum agmine, pro quibus illi haec facere posse simulabant; reapse autem diversis studiis, et vitae moribus atque sententiis, et ut cum potentibus conspirarent. Neque illinc aberat militaris manipulus, neque homines dignitatibus conspicui ad subserviendum missi, et arma palatina gerentes. Advenerant etiam famuli expediti, si forte opus esse urgere iussu eorum, quorum urgere intererat. Convocantur omnes qui ad episcopalem dignitatem ornandam canonico promoti ordine fue-

*

λήχασι διατάξεσι· καὶ παρευθὺς οἱ τῆσδε τῆς παρεμβολῆς προεξάρχοντες,
ὃ προὐτρεπικότες βασιλικὸν ἐκέκτηντο πρόσταγμα, πάντα περιστρέφοντες,
ὡς ἠβούλοντο, ἐξ ὧν καὶ οὐκ εὐεπιχείρητον μόνον ἅπαν αἱρετέον αὐτοῖς,
ἀλλά γε δὴ καὶ λόγον θᾶττον παντὸς εὐκατέργαστον, ἐπὶ τοῦ μέσου ἀνα-
γινώσκουσιν, μηδένα τῶν ἁπάντων διαταττόμενον τολμῆσαι δι' ὄχλου γενέ-
σθαι, ἢ ἀντιβῆναι, οἷς ἂν ὁ ἐπὶ τῆς πατριαρχικῆς καθέδρας ὁρώμενος Κύ-
πριος, καὶ ὁ τηνικαῦτα καινοπρεπείας γερῶν καὶ κανονικῶν διαγνώσεων Σάρ-
δεων εὑρεθεὶς, δράσωσί τε καὶ ἀποφήνωνται· τοιγάρτοι καὶ ὡς εὐκαίρου μὲν
ἀδείας ἑτοιμαθείσης, μηδενὸς δὲ ὄντος τοῦ ἐφορῶντος, ἤ ποτε καὶ ἐτάσοντος,
ἢ καὶ τῶν γινομένων λόγον αἰτήσοντος. Εἰσάγονται οἱ ἀπηνῶς κολασθησό-
μενοι μᾶλλον ἢ κριθησόμενοι, εἴπερ τὸ μὲν ὡς οἷον σκηνή τις ἐτεχνουργή-
θη, ἄχρι καὶ μόνου παραπετάσματος τὸ περικαλύψαι καὶ τούτου μὴ ἔχον-
cod. f. 45. a. τος, τὸ δὲ προκεκυρωμένον ὑπῆρξεν ἐκ προβουλεύσεως ἀπαραίτητα· εἰσά-
γονται οἱ τῶν πώποτε τιμωρίας αἰσχίστους ἀναμφιβόλως πεισόμενοι ἀρ-
χιερεῖς.

οϛ'. Ὦ δίκη, καὶ ἱεροὶ νόμοι· νῦν εἴπερ ποτὲ τυραννούμενοι ἄνδρες λόγῳ καὶ σοφίᾳ διαπρεπεῖς, ἀρετῇ καὶ συνέσει κατάκοσμοι, θείοις ἠγλαϊσμένοι θεσμοῖς, πᾶσιν ἐνευθηνούμενοι κατάκρως οἷς τὰ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας, καὶ εὐταξίας, καὶ εἰλικρινοῦς καταστάσεως ὡραΐζεται· καὶ τοῦτο μὲν ὅσον οἱ προὔχοντες· οἱ δέ γε τούτων ὑποδεέστεροι, ἐπειδή περ ἐν παντὶ καταλόγῳ βαθμοὶ καὶ λόγου καὶ τόπου καὶ λοιπῶν πλεονεκτημάτων πεφύκασιν, ἱκανῶς τὰ θεῖα πεπαιδευμένοι, τῆς ὑπερκειμένης ἐν ἡμῖν ἐκκλησίας ἀναγωγή τε καὶ μαίευμα, καὶ τὴν ἐκ παίδων ἐσχηκότες διατριβὴν θεατὴν πᾶσι καὶ εὔγνωστον, οὐμενουν σκολιὰν, ἢ πλανῆτιν, ἢ τὸ σύνολον ἀνεπίγνωστον·

rant. Confestim ergo huius exercitus duces, qui sibi mandatum regium curaverant, omnia pro libito tractantes, nec facile tantummodo deliberantes, sed verbo citius definientes, in medio decretum legunt, quo cavebatur ut nemo quicquam auderet per turbas agere aut obluctari iis quae Cyprius tunc in patriarchali throno conspicuus, nec non ille qui tunc novitatum muneri et canonicis cognitionibus praeerat Sardius, agerent atque decernerent; pro oblata sibi idonea securitate, nemine observante vel scrutante vel actorum rationem reposcente. Introducuntur qui ad poenam potius quam ad iudicium sistebantur: etenim hoc quidem tamquam in scena agebatur usque ad peripetasma tantummodo, quod rem tamen velare non poterat: poena autem iam antea sancita fuerat praevio decreto indeclinabiliter: introducuntur episcopi turpissimas et inauditas poenas sine dubio passuri.

76. O iustitia, sacraeque leges! Nunc maxime tyrannide oppressi viri, eloquentia et sapientia clari, virtute ac prudentia perornati, divis nobilitati regulis, omni laudum genere abundantes, quibus ecclesiastica maiestas et disciplina et nitida constitutio decoratur. Atque hi quidem primates. At vero inferiores, quandoquidem in omni numero sunt gradus litteraturae et loci ac reliquarum praerogativarum, recte in divinis instituti, supremae nostrae ecclesiae alumni ac foetus, quorum a pueris vita spectabilis et bene explorata erat, non autem perversa et erronea aut omnino incognita.

τοῖοι μὲν οὗτοι καὶ οὕτως εἰσαγόμενοι πείσεσθαι· ἃ δὲ ἐπὶ τούτῳ καὶ πέπρακται, τίς ἂν ἀξίως ἐκτραγῳδήσειεν; ἦν ἰδεῖν αὐτοὺς τὸ ἐξῆς εὐσεβείᾳ ἐντεθραμμένους, ἀσεβείας γραφομένους γραφήν· ἦν ἰδεῖν χριστιανικῶν ἐθῶν τε καὶ παιδευμάτων προϊσταμένους, διωγμοῦ κρινομένους χριστιανῶν, παρὰ τὴν ἐκκλησιαστικὴν πραγματείαν, παρὰ τὴν ἐκκλησιαστικὴν εἰρήνην καὶ ἑνοποίησιν· καὶ τοῦτο ἦν ἑκάστῳ τὸ ἔγκλημα, ἵν' ἐρῶ κεφαλαιωδῶς, εἴ τι που καὶ γὰρ ἐκεῖσε πρὸς βραχὺ λαληθῆναι συνέπιπτεν, εἰς αὐτὸ τοῦτο κεφαλαιούμενον ἐτύγχανεν, καὶ συμπερατούμενον· οὗ τί ἂν γένοιτο ἀθλιώτερον; οἷς ἄρα καὶ αἱ ἀποφάσεις ἀραρότως προέβαινον, τὸ ἀρθήτω ὁ ἀσεβὴς ἔχουσαι κηρυττόμενον, καὶ ὅσα τούτοις συνᾴδοντα· τὰ δὲ τοῦ συνεῤῥυηκότος ὄχλου, καὶ μάλιστα τὰ τῶν μοναχῶν παρατεθηγμένων ὡς ἐδόκει τοῖς παραθήξασιν οἷα, οἱ μὲν αὐτῶν, Στέντορος γεγονώτερον, τὸ ἀνάξιος ἀνεβόων κα- cod. f. 45. b.
τὰ τῶν τοιαύταις ἀποφάσεσιν ὑποβαλλομένων· οἱ δὲ μεγαλοφωνότερον τὸ ἀνάθεμα, οἱ μὲν προπηλακισμοῖς καὶ ὀνείδεσιν ἔβαλλον· οἱ δὲ καπυρὸν καγχάζοντες κατεφαίνοντο, οἱ μὲν δράσειν ἠπείλουν, οἱ δὲ καὶ ἐπεχείρουν ἐλεεινῶς· ὢ χειρῶν ἐκείνων, αἳ μανίας ἐς τοσοῦτον ἀφίκοντο, ὡς τὰ ἐπὶ τῆς κεφαλῆς πῖλα σταυρίοις κεκασμένα κατὰ τὸν συνήθη κόσμον ἀρχιερεῦσι, τοὺς αὐτὰ φέροντας ἀφελέσθαι καὶ κατὰ γῆς ῥίψαι, ποσὶ προκείμενα καταπάτημα· ὢ γνώμης ἐκείνων θρασείας, οἳ τοὺς οὕτω γυμνωθέντας τὸ κάρα, καὶ παρεστῶτας ἀκαλυφεῖς, γρόνθοις καὶ ὠθισμοῖς συνεσπάραττον, παίοντες καὶ ἀπελαύνοντες ἰταμῶς· ὢ τόλμης ἐκείνων καὶ ἀναιδείας, οἳ τοὺς ἱερούς χιτωνίσκους, ἱερὰ γὰρ ἀληθῶς τὰ τῶν ἱερῶν, μανδύας σύνηθες τούτους καλεῖν, τῶν περιβεβλημένων αὐτοὺς περιῄρουν, διέῤῥησσον, καὶ διεσφενδόνων θηριωδῶς·

Tales inquam hi erant, et taliter introducebantur plectendi. Iam quae mox agebantur, quis digne deploret? Cernere erat homines pietati innutritos, impietatis postulatos: cernere erat christianorum morum ac disciplinarum antesignanos, persecutione christianorum iudicatos, propter ecclesiasticum tractactum, propter ecclesiasticam pacem atque unionem. Atque hoc erat uniuscuiusque crimen, ut summatim dicam, si quid ibi breviter dici contingebat, atque in hoc quasi compendio summaque concluditur. Quare quid calamitosius esse poterat? Nam manifestis quoque dicteriis pulsabantur; verbi gratia: apage impie, publice dicendo, et quaecumque his sunt similia. Quae vero a concurrente turba, maximeque a monachis concitatis, prout eos concitantibus visum fuit, quae qualiaque erant! Horum quidam stentorea voce clamabant: *indignus*, adversus illos his decretis perculsos. Alii maiore adhuc voce *anathema* aiebant. Alii contumeliis conviciisque verberabant. Alios etiam effuso risu insultantes videre erat. Alii se aliquid acturos minitabantur, alii etiam, heu lugendum! agere adgrediebantur. Hem manus illae quae tantopere furori serviebant, ut etiam pileos crucibus interstinctos, qui est consuetus episcoporum ornatus, capitibus gestantium detraherent, humi proiicerent, proiectosque calcarent! O efferos illorum animos, qui ita nudis capitibus et intectis adstantes viros sibilis et propulsionibus lacerabant, percutientes abigentesque crudeliter! O impudentem illorum audaciam, qui sacras tunicas (revera enim sacrae sunt sacerdotum res) quas ipsi mandyas solent appellare, gestantibus

ᾧ μηδεμίαν ὑπερβολὴν παραλιπούσης σκαιότητος, ἵνα μὴ ἀπαριθμοίην καθ' ἕκαστα.

οζ'. Τοῦτο καὶ μόνον ἔχων μὴ παριδεῖν· ὁρμᾷ τις τοιαύταις δίκαις καθυπαγομένων ἱεραρχῶν ἔτι μένων, μὴ ἐφελκόμενος εἰς αὐτάς· ἔννομος οὗτος ποιμὴν τῆς τῶν Σεῤῥῶν μητροπόλεως, καὶ αὐτοῖς βασιλεῦσιν αἰδέσιμος ἐξ αὐτῆς ἔτι βαθμίδος, καθ' ἣν τὰ τῶν διακόνων ὡρᾶτο πληρῶν, παῤῥησιαστικώτερον ἀπελέγξαι τὴν τῶν ἀρχηγῶν τοῦ τοιούτου δικαστηρίου τυραννικὴν καὶ ἀπάνθρωπον ἐπιχείρησιν· ὡς αὐτοὶ μᾶλλον αἰτίαις ὄντες ἀτοπωτάταις ὑπεύθυνοι, τηλικαῦτα ποιεῖν ἀνιέρως κατὰ ἱερέων οὐ καταισχύνονται· οὔπω καὶ καὶ γοῦν φθάνει τὸν τοῦ ἐλέγχου τοῦδε διηρθρωκὼς, καὶ παρευθὺς τῶν τις ἐκ τῆς τῶν ἀρχείων αὐλῆς μεγιστάνων, οὓς ἔφημεν ἐκεῖσε συνεδριάζειν cod. f. 46. a. τῶν ἐνεργουμένων εἰς συνασπισμὸν καὶ δεφένδευσιν, ἀκαθέκτως ἀναπηδήσας, βάλλει κατὰ κόῤῥης αὐτὸν, συγκινήσας ἀθρόον κατὰ τούτου τοὺς θεωμένους, οἷς ἔδρασε, καὶ ἐφώνησε, τοὺς ἐν ἀνακτόροις καὶ μᾶλλον εἰωθότας ὑπηρετεῖσθαι, πυγμαῖς τὸν βληθέντα καὶ λοιπαῖς μάστιξι μαστιγώσαντες· ὃν καὶ μικροῦ ἂν χερσὶ διεσπάσαντο, εἰ μὴ αὖ ἕτερος κεκραγὼς, τῆς αὐτῆς ὢν τῷ προτέρῳ συνεδρίας καὶ τάξεως, ἀπεσόβησε μόγις αὐτοὺς, καὶ ἐπέσχε τοῦ ἐγχειρήματος· οὐκ οἶδ' ὅπως κόρον λαβὼν καὶ ἐλθὼν εἰς συναίσθησιν· πάσχει τί παραπλήσιον καί τις ἄλλος ἐν τοῖς τὸν μονήρη βίον ἀνελομένοις ἐπίσημος, ἀρχιμανδρίτην τοῦτον ἡ κατὰ τὸν τοῦ μάκαρος Αὐξεντίου βουνὸν ἀνακτορικὴ περιώνυμος μάνδρα ἐπλούτησεν· οὐκ οἶδα δὲ εἰ καὶ εἰσέτι πλουτεῖ· παρατυχὼν γὰρ ἐκεῖσε καὶ οὗτος, ὡς ἐπὶ θέαν ἐνδεδημηκὼς, εἴ τε καὶ ἐκ προσκλήσεως, ἐπεὶ κατίδοι τὰ δρώμενα, ζήλῳ διαθερμανθεὶς τὴν ψυχὴν, τίνα ταῦτα τορῶς εἰς ἐπήκοον ἐπεβόα; βουλομένῳ δὲ καὶ ἔτι λόγους συνάπ-

detrahebant, lacerabant, ferinoque ritu dissipabant! O qui nullum improbitatis cuiusvis excessum omittebant, ne singula enumerem!

77. Unum tamen silentio non praetermittam. Quidam fuit istorum in iudicium postulatorum, stans adhuc, necdum illuc pertractus. Legitimus hic pastor erat metropoleos Serron, imperatoribus ipsis reverendus iam inde ab eo gradu in quo diaconatum gerebat. Hic, inquam, confidentiore impetu coepit reprehendere praesidentium huic iudicio tyrannicam et inhumanam agendi rationem, dicens simul ipsos gravissimis criminibus esse inquinatos, quos talia sacrilege adversus sacerdotes facere non puderet. Vix hanc reprehensionem ore protulerat, cum statim quidam de aula regia procerum, quos ibi diximus considentes ob actorum tutelam ac defensionem, cum impetu irruens percutit eum in capite, concitans subito adversus hunc spectatores tali facto et voce, palatinos praesertim ministros, qui pugnis contusum aliisque ictibus verberatum, manibus paene discerpsissent, nisi alius qui in eodem erat subsellio et ordine, exclamans illos aegre abegisset, et a facinore prohibuisset, nescio quomodo eam rem pertaesus, sensuque compunctus. Paria fere patitur alius de monastico coetu notabilis, qui regalis ad beati Auxentii collem monasterii archimandrita erat; nunc vero utrum eum locum retineat, nescio. Cum enim hic pariter ibi esset tamquam spectator, sive etiam appellatus; ut quae fiebant vidit, zelo accen-

τειν, τὸ τῶν τελουμένων ἄθεσμον στηλιτεύσοντας, αἴφνης ὥς τινες αὐτῷ αἱμοβόροι θῆρες ἐπεισπεσόντες οἱ τοιαῦτα ἐπ' ἀδείας ἔχοντες διαπράττεσθαι, τόνδε μὲν περιτρέπουσι, τὴν δ' ἐπὶ κεφαλῆς κατὰ μοναχοὺς ἐρέαν μακρὰν ἀκοντίζουσι, καὶ δεινὰς κομιδῇ καὶ βαρείας πληγὰς ἐπενεγκεῖν ἐπαΐξαντες, ἐπὶ πλέον αὐτόν τι δρᾶσαι τισὶ τῶν ὑπερεχόντων ἀπείργονται, αἰδουμένοις ὅσον ἐν τούτῳ, οὐ τὸ κατὰ γνώμην οὔμενουν ἐπιτάττουσιν, εἴ γε ἐν τοῖς πρὸς οὓς ἡ κακία, οὐδ' αὐτὸ τὸ τῆς αἰδοῦς, εἰ μή τι ἄλλο σφᾶς ἐδυσώπησεν.

οη'. Ἵν' οὖν κἀνταῦθα μηκέτι φανείην μακρηγορῶν, τῶν τοῦ ἐν Βλαχέρναις δικαστηρίου τούτου διά τινων ἡμερῶν ὀλίγων ἀπαρτισθέντων, ὡς δοκοῦν ἐγεγόνει τοῖς ἀπαρτίσασι, καὶ τοσούτων ⟨καὶ τοιλικούτων ἀρχιερέων ἀπελαθέντων⟩ καὶ τηλικούτων ἀρχιερέων ἀπελαθέντων, ὡς δεῖν ἐνομίσθη τοῖς ἀπελάσασιν, ἐπάνεισιν ἐκεῖθεν εἰς τοὺς πατριαρχικοὺς δόμους ὁ Κύπριος ὥς τις ὀλυμπιονίκης τροπαίοις ἄλλοις τοῖς διηνυσμένοις ἐναβρυνόμενος· καὶ ἡμέρας ἐπιστάσης τότε κυριωνύμου τὸν ὃν ἐνσχολάσας τόμον ὑφαίνει κατὰ τῶν τοσαύταις ἀπηνείαις ὑποβεβλημένων ποιμεναρχῶν, εἰς κοινὴν ἐπ' ἐκκλησίας ἀκρόασιν τίθησιν, διώκτας τούτους ἀποκαλοῦντα, καὶ πολλαῖς αὐτῶν ἑτέραις ἐξουδενώσεσι καὶ συκοφαντίαις κατεπαιρόμενον· οὗ καὶ διαλαβεῖν τὰ τῆς περιλήψεως, ἢ καὶ πάντα κατὰ ῥῆμα διεξελθεῖν ἦν ἂν οὐκ ἀπᾷδον, ἀλλὰ καὶ λίαν προσφυὲς καὶ εὐάρμοστον, εἴ γε μὴ ἐπὶ μακρὸν ἐφαπλωθῆναι σφόδρα τὸν λόγον ἐντεῦθεν συνέβαινε· τοῦτο γὰρ ἀνάγκη παθεῖν τὸν πάνθ' ὁμοῦ τὰ τοιαῦτα πληρεστάτως ἀναγγελεῖν πειρασόμενον· ἐπεὶ δὲ οὐ τόδε προτεθειμένον ἡμῖν, ὅτι μὴ τὸ συνοπτικῶς ἕκαστα μᾶλλον· ἄλλως τε καὶ τοῦ τόμου πολλῶν ἐν

cod. f. 46. b.

probably a misprint

ἁβρύνω: to live delicately; to give oneself airs

sus, quid hoc rei est elata voce clamavit? At enim orationem prosequi volenti, et actorum increpare impietatem, ceu cruentae ferae irruentes illi, quibus talia agendi licentia erat, hunc subvertunt, haerentemque capiti eius monastico ritu lanam procul iaculantur, et diras plane gravesque plagas insequentes imponunt; et quominus plura in eum facerent a quibusdam proceribus prohibentur, rei pudore non tamen ex mentis sententia iubentibus: quamquam improbos ne pudor quidem continere solet, nisi eos aliud quidquam cohibeat.

78. Ne igitur plura verba nunc etiam facere videar, hoc in Blachernis iudicio intra paucos dies absoluto, ut iis visum est quibus illud concludere libuit, et tot tantisque episcopis sede depulsis, revertitur illinc in aedes patriarchales Cyprius ceu quidam olympionica diversi certe generis trophaeis gloriosus: et instante tunc die dominico, tomum quem illic composuerat, in publico ecclesiae auditorio proponit, persecutores illos appellans, multisque aliis eosdem contumeliis calumniisque obruens: cuius scripti tenorem exponere, nedum absonum, immo pretium operae foret, nisi diu nimis orationem hinc protrahi contingeret: id enim necesse est evenire, si quis haec simul omnia plenissime narrare conaretur: praeter quam quod propositum nobis est nonnisi summatim de singulis dicere. Quia tamen tomus in multorum manibus est, et publica in luce versatur, unam vel alteram ex eo particulam seligens, breviter eloqui aggrediar, reliqua haud idoneum attingere ratus. Ergo lector in illo tomo com-

κατοχῇ γεγονότος καὶ ὄντος καταφανοῦς, ἐν ᾗ καὶ δύο τῶν τούτου ἀπολεξάμενος διὰ βραχέων ἐρεῖν προθυμήσομαι, τῶν λοιπῶν μὴ ἐπιστραφῆναι καίριον ἡγησάμενος· εὑρήσει τις οὐκοῦν ἐν αὐτῷ, τὸν ἐγγὺς διηγορευμένον, ἐπειδή περ εἰς ἐκεῖνα παρέλθοι, ὅπως ἅπαντας ὑπ' αὐτῷ ποιμαίνεσθαι δέον, καὶ μηδαμοῦ τινα τῆς ἐκκλησίας ἀρτίως ἀποδιΐστασθαι· ἡνίκα τὴν κακίαν, καὶ τοὺς τῆς κακίας ἐξοστρακίσας, ὅσαπερ ἀγαθὰ, καὶ τῆς ἀληθείας ὡς δεῖ κατορθώσειε, καὶ τὰ δέ πως περιαυτολογοῦντα τρανῶς· ὡς ὅ τε τὰ τῆς ἀσεβείας ἐκράτει, τὰ καὶ τὰ ἐποιούμην, καὶ δὴ καὶ παρῄνουν, καὶ ὑπετιθέμην τὸ ἀκοινώνητον· τῆς ἀναιδείας κοινωνῶν ἀριδήλως ἄχρι τελευταίας τῶν πραγμάτων μεταβολῆς· καὶ ὁ ἀγνοῶν ἐστιν οὐδεὶς, ἄλλοις ὑπετιθέναι τὸ ἀκοινώ-
cod. f. 47. a. νητον φάσκειν οὐχ ὑποστέλλεται· ἐατέον γὰρ νῦν ἑτέρου λόγου τυγχάνον, ἀλλὰ δὴ καὶ διαληφθὲν, ὡς καὶ πρωτουργὸς οὗτος ἀναντιῤῥήτων καὶ προΐστωρ τῆς ὑποθέσεως.

οθ'. Ἔτι μὲν οὖν μεγαλοῤῥημονοῦντα τοῦτον καὶ αὖθις κατίδῃ τις, νῦν ἐν τῷ ἱερῷ καὶ θείῳ συμβόλῳ, ἐκ τοῦ πατρὸς ἐκπορευόμενον τὸ πνεῦμα διαῤῥήδην ἀναγινώσκεται, καὶ οὐκ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ ὡς ἡ βλάσφημος καὶ φιλόνεικος γλῶσσα ἐκήρυττε, καὶ ἐδίδασκε· βαβαὶ τῆς ἀπερικαλύπτου σκαιωρίας, τῆς ἀνυποστόλου διαβολῆς, τῆς ἀνερυθριάστου θρασύτητος· τίς τὸν τοῦ εἰρηνάρχου Χριστοῦ μαθητὴν, ἀληθῆ τε πατριάρχην, καὶ παρὰ τὴν ἀληθινὴν εἰρήνην καθέδρας τῆς αὐτοῦ ὑπερόριον (τοῦτον γὰρ ὁ συκοφάντης αἰνίττεται) ἤ τινα τῶν ἁπάντων ἐν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ, τὸ ἅγιον σύμβολον ἑτέρως πρώην ἢ νῦν ὑπαναγινώσκειν ἀκήκοεν, εἰ καὶ σύμφωνον ὡς προεκτεθείκαμεν αὐτὸ δὴ τὸ παρὰ Ῥωμαίοις κηρυττόμενον ταῖς θεολογικαῖς διασαφήσεσι τῶν πατέρων, ἐξ αὐτῶν μυηθέντες μετὰ τῶν οὕτω διατρανούντων

periet prope ad verbum adfirmari, quandoquidem eo loci devenerit, ab ipso solo omnes pasci oportere, neminemque ab ecclesia iam dissidere, postquam ipse nequitiam nequitiaeque auctores in exilium pepulit, et rectitudinem veritatemque restituit; cetera pariter de se liquido narrans, nempe quis olim impietate dominante fuerit, et quod haec atque illa egerit; et quidem de se nominatim ait: haec et illa faciebam aut suadebam et communioni ineundae contradicebam. Sed impudentiae certe ipse communicavit usque ad postremam rerum conversionem: et quasi nemo gnarus adesset, aliis dissuasisse communionem dicere non erubescit. Nunc enim est omittendum, quod est alterius sermonis proprium et iam narratum, quod hic sine dubio primus auctor et antesignanus tractationis fuerit.

79. Age vero et patulis buccis hunc gloriantem spectare licet, quod nunc in sacro divinoque symbolo ex Patre procedens Spiritus diserte dicatur, non autem ex Patre Filioque, prout blasphema et iurgiosa lingua praedicabat atque docebat. Papae! manifestam malitiam, calumniam imperterritam, et impudentem audaciam! Quis paciferi Christi discipulum verumque patriarcham, et nunc contra veram pacem cathedra sua factum extorrem (hunc enim sycophanta innuit) aut omnino in ditione nostra quemvis alium, quis inquam sanctum symbolum aliter antea, quam nunc, legentem audivit? Etiamsi illud quod Romani recitant theologicis patrum

εἰρηνεύειν, ὁ θ' ἡμέτερος ποιμενάρχης καὶ ἡμεῖς προσηκάμεθα· ἀλλά τίς οὕτως ὑπαναγινώσκεσθαι φήσει; οὐδεὶς ἀληθῶς· εἰ μὴ καὶ τὰ κοινῶς εἰς ὅρασιν καθεκάστην προκείμενα, μὴ ὁποῖα πᾶσιν ἁπλῶς ὁρᾶται, τοὐναντίον δὲ μᾶλλον πειρῷτό τις εἶναι διϊσχυρίζεσθαι· ἀλλ' ὁ διειλημμένος καὶ πρὸς τοῦτο καταδήλως ἐληλακέναι οὐκ ἀπηξίωσεν· ὡς τῇ πράξει νόμον ἐπιστήσας τὸ τυραννεῖν, οὕτω τῇ γλώσσῃ νόμον ταυτοτρόπως τὸ ἄνετον, ὃς καὶ τὰ κατὰ τοὺς ἱερατεύειν ἐκ θεοῦ εἰληφότας, οἷς οὐχ ἁγιαζόμενος μόνον, ἀλλὰ καὶ γνησίως κολλώμενος ἦν.

π'. Οὕτω θέμενος ἐπὶ τηλίκων λόγων καὶ πραγμάτων διαστροφαῖς, οὐδὲ τοῦ μεγαλουργοῦ καὶ μεγαλωνύμου σκηπτούχου τοῦ θεοστεφοῦς καὶ ἀγγελωνύμου 1) κράτάρχου, παρ' οὗ πολλῶν καὶ μετρίων ἦν ἀπολαύσας χρηστῶν, καὶ ταῦτα μὴ ἰθαγενὴς ὤν, ἀλλ' ἐξ ἀλλοδαπῆς ἀφικόμενος, καὶ μηδὲ τῶν ἀναγκαίων εὐπόρως ἔχων πρὸς τὸ βιοῦν, ἀποσχέσθαι δεῖν ἔκρινεν· ἀλλὰ καὶ τούτου καταφέρεται θράσει πολλῷ, καὶ κατεξανίσταται ἀναιδῶς, καὶ καταδίκην ἐπάγει, μὴ ἂν αὐτὸν τῆς νενομισμένης βασιλεῦσιν ὁσίας ἀξιωθῆναι, μὴ ἐπιταφίων ὕμνων τυχεῖν, μὴ ἐπιτυμβίων ᾠδῶν, μὴ ἐπιθανατίου οἱασοῦν εὐφημίας, ἀλλὰ τούτων δὴ καὶ τῶν τοιούτων ἄμοιρον ἐαθῆναι τὸν τοσοῦτον, φεῦ, θεοσεβείᾳ καὶ ἀξιϋμνήτων ἔργων αὐτουργὸν τοῖς πώποτε ἀπαράμιλλον, ὃν αὐτὸς ἀεὶ μεγαλύνων καὶ ἄλλοτε μὲν ὤφθη φθάσας καὶ πολλοῖς ἐπαινετηρίοις ἐγκωμιάσας 2) τὰ πολλοῦ θειασμοῦ περιφανῆ τούτου πρακτέα, καὶ πολλῶν ὄντως ἐγκωμίων ἐπάξια, τό τε περὶ θεὸν σέβας, καὶ τὰ cod. f. 47. b.

doctrinis consonum est; a quibus nos edocti, cum illis qui ita recitant, pacem fovere et patriarcha noster et nos consensimus; quis nihilominus ita illud legi dicet? Nemo enimvero: nisi forte et illa quae vulgo et quotidie oculis patent, nequaquam prout videntur omnibus, sed contra potius conatur aliquis comprobare. Sed vir praedictus ad hoc etiam aperte proruere non est dedignatus: namque ut actuum suorum regulam habuit tyrannidem, ita etiam linguae normam effrenem licentiam: qui tamen antea cum electis a Deo sacerdotibus non modo consecratus fuerat, verum etiam ex animo iis adhaeserat.

80. Ita affectus cum esset, ac verborum huiusmodi et actuum perversitati assuetus, ne magnifico quidem et famigerato, sceptrigero atque a Deo coronato, et angelici nominis imperatori, a quo multa nec mediocria beneficia acceperat (et quidem non indigena, sed ab extranea regione advena, et vitae adiumentis indigens) parcendum iudicavit. Immo et in ipsum audacter admodum invehens consurrexit, et sententiam tulit non esse eum iustis regum exequiis honorandum, neque epitaphicis hymnis prosequendum, nec mortualibus canticis, neque ulla omnino laudatione funebri ornandum: sed talem tantumque principem his carere sinendum; tantae heu! religionis virum, et tam laudabilium operum auctorem, neminique comparandum! quem iste Cyprius alio tempore semper magnificaverat multis extollens encomiis facta eius, multa sane admiratione multisque laudibus digna; pietatem scili-

1) Ita dicit *Michahelis* nomen, ut alibi χαριτώνυμον *Iohannem*; et in aliis scriptis vidi λεοντώνυμον *Leonem*.
2) Reapse in codice parisiensi 3010. legitur G. Cyprii oratio panegyrica ad Michahelem VIII. imp.

ἐφεξῆς βασιλικὰ, καὶ ἀρεϊκὰ προτερήματα· περί που δὲ τὰ τελευταῖα τῆς βιοτῆς παρακλητηρίους ὑπὲρ αὐτοῦ κανόνας ἄριστα ἐμμελεῖς πρὸς τοὺς τῶν μαρτύρων ἐξόχους συντεθεικὼς, οὐκ ἔστιν εἰπεῖν ὁποῖον ἐκείνῳ προσεμαρτύρει διὰ τούτων τὸ εὐσεβὲς, οἷον τὸ τῆς περὶ θεοῦ δόξης πάγιον καὶ ὀρθὸν, καὶ ὅσον καὶ ἡλίκον τὸ τῆς γνώμης ἰθυτενὲς, καὶ φιλόθεον· ὧν ἕνα τῶν πάντων ἀκροτελεύτιον, αὐταῖς τυγχάνει σχεδιάσας ταῖς ἀκροτελευτίοις ἐκείνου τῶν ἡμερῶν, τῆς αὐτῆς ὄντα συμφωνίας τοῖς προτέροις, καὶ αὐτὰ προσφθεγγόμενον· ἀλλ' ἐπειδὴ θάνοι, καὶ πρὸς ὃν ἐφίλει μεταβαίη θεὸν, παραχρῆμα τῷ τοιούτῳ διαγινώσκεται, μὴ καλῶς πρὸ τοῦ γινωσκόμενος, καὶ οὐκέτι λοιπὸν τῆς ὀρθῆς μοίρας, ἀλλ' ἀλλοτριόφρων εὑρίσκεται· ἅμα γέγονεν ἐξ ἡμῶν, καὶ ἅμα τῷ λεχθέντι τὰ τῆς ἀληθοῦς ἐπ' αὐτῷ ἀνακαλύπτεται διαγνώσεως·
cod. f. 48. a. ἅμα παρῆλθε, καὶ ἅμα τὸ ἀπόβλητος εἶναι τῷ ῥηθέντι ἐμπνέεται· ἀπέπτη, καὶ τὸ ἐναγὴς εἶναι παραυτίκα καταλαμβάνεται· οὐκέτι κοινωνικὸς κρίνεται τούτῳ, οὐ προσιτὸς τὸ παράπαν, οὐ βραχέος κἂν λοισθίου προσρήματος ἄξιος· ἀπείργεται πάσης ἐξοδίου τιμῆς, πάσης ἐπιτελευτίου ἀφοσιώσεως, ἄταφος, ἄψαυστος, ἀθιγής· οὐχ ὅτι τὰ τῆς ἀνθρωπίνης εἰσδύοι νεκρώσεως, ἀλλ' ὅτι δόξῃ καὶ φρονήματι γένοιτο ἀποτρόπαιος· φεῦ, ὡς εἰ μὴ ἐκεῖνος οὗτος, ὁ καθ' ἑκάστην παρ' αὐτοῦ πρὶν γεραιρόμενος· εἰ μὴ ἐκεῖνος, ᾧ συνεκκλησιάζων ὅσα καὶ θεῷ προσανεῖχεν αὐτός· εἰ μὴ ἐκεῖνος, ὁ τοῖς βασιλικοῖς θαλάμοις, ὅσα καὶ χριστῷ Κυρίου παραβάλλων ἀεί· συνεδρίας ἐστὶν ὅτε καὶ πολλῆς ἀπέλαυεν οἰκειώσεως· καὶ αὖ ἐνίοτε τῇ βασιλικῇ παρεστὼς τραπέζῃ, βασιλικὰς δαῖτας πίναξιν ἀργυρέαις ἐκ χειρῶν ἐκείνου τῶν βασιλικῶν εὐσεβῶς ὑπεδέχετο· εἰ μὴ ὁ προστάτης, ὁ κηδεμὼν, τὸ οὐράνιον χρῆμα, τὸ θεό-

cet erga Deum, et regia cetera ac bellica facinora. Idem circa vitae finem cum paracleticos pro se ipso canones valde suaves in praecipuos martyres composuisset, dici non potest quantam in iis pietatem testetur, quantam ob honorem Dei constantiam et rectitudinem, quantamque mentis aequitatem ac religiositatem! Quorum canonum unus totus acroteleuticus iisdem concluditur acroteleutiis, quo illius diei numerus, et consonantiam habet cum prioribus, et eadem repetit verba. Sed postquam obiit, et ad sibi dilectum Deum migravit, tunc demum repente huic Cyprio innotuit, quasi eum antea egregie non nosset; nec iam rectam fidem, sed aliena dogmata sectatus comperitur. Vix ille a nobis excessit, statimque Cyprio vera illius revelatur notitia: dum ille e vivis abit, simul huic quasi inspirato reprobandus apparet: discessit, eodemque tempore profanus esse cognoscitur: nec iam communionis nostrae particeps, nec adeundus cuiquam, nec ullo brevi licet extremoque alloquio dignus. Omni funebri honore privatur, omnique mortuali expiatione, insepultus, inaccessus, intactilis; non quia humanae mortalitatis viam ingressus, sed quia sententia et dogmate detestabilis. Hem! quasi hic Cyprius non ille esset, qui quotidie ab eo muneribus donabatur: quasi non ille, qui cum eo in ecclesiis tamquam cum Deo versabatur: quasi non ille, qui ad regia cubicula veluti ad unctum Domini semper accedebat; ubi et honore consessus multaque interdum familiaritate fruebatur; immo etiam regiae quandoque accumbens mensae, regios cibos in argenteis patinis

πεμπτον ἀγαθὸν, ὁ μετὰ θεὸν ἐπίγειος ἄλλος θεὸς καὶ ὢν αὐτῷ καὶ λεγόμενος· ἐῶ τ' ἄλλα πολλά γε ὄντα καὶ πολλοῖς κραυγαζόμενα πανταχοῦ, καὶ εἰσέτι μᾶλλον λαληθησόμενα· τοῦτο δὴ τὸ βραχὺ, εἰ μὴ ἐκεῖνος ὁ παρ' αὐτοῦ καθημέραν τοῖς μνημονευθεῖσι κανόσιν ἐπ' ἐκκλησίας εὐχῆς πᾶσιν ἔργον γινόμενος παρὰ τὸ θεοφιλὲς καὶ εἰλικρινὲς τοῦ σεβάσματος.

πα'. Ὦ οἷον ὁ ἥλιος ἀναισχυντίας εἶδος τεθέαται· παρεισκυκλῶ γὰρ καὶ ἀψύχων τῷ λόγῳ φύσιν κατὰ τὸ εἰθισμένον τοῖς ἐμπεσοῦσιν οἷον δή τινων μήπω θεωρηθέντων ὑπερβολαῖς· οἶμαι τὸν φωτοβρύτην δὴ τοῦτον μεγάλων καὶ ἀτεχνῶς ἀπειρίτων ἀπαυθαδιάσεων ἐν ἀνθρώποις χρηματίσαι αὐτοθεάμονα· ἀλλ' οὔπω τοιούτων ὁποίων ἐπὶ τῷ διηγγελμένῳ ἀνδρὶ, οἶμαι πλείστων καὶ οὐ ῥᾳδίων εἰπεῖν τολμηρῶν ἔργων καὶ ἀπηναιδευμένων ἐπιχειρήσεων διαφόροις cod. f 48. b. γενέσθαι καιροῖς θεωρόν· ἀλλ' οὐ πηλίκων οὐδέπω μέχρι καὶ νῦν ὁποῖα τῷ διειλημμένῳ τετόλμηται· τίς γὰρ τῶν ἁπάντων ὁτεδήποτε δραματουργηθῆναι κατὰ ἱεραρχικοῦ τοσούτου συστήματος παραστῆσαι δυνήσεται, ἢ βίβλοις ἐγκείμενα κατιδὼν, ἢ καὶ ὅλως παρειληφὼς ἀκοῇ ὁπόσα καὶ οἷα ὁ προειρημένος ἀνερυθριάστως οὕτω καὶ ἰταμῶς ἐνεανιεύσατο; τίς ἀθεμιτουργίαν ἐπὶ βασιλεῖ, φεῦ, Ῥωμαίων τοιάνδε, ἧς τερατωδῶς οὗτος πρώταρχος ἀνεφύη, τῶν χρόνων ὅτε νεωτερισθῆναι, ἢ ὀφθαλμοῖς ἀθροίσας, ἢ ὠσὶν ἐνωτισάμενος ὅλως φανήσεται; τίς (ἀλλὰ φρίττω καὶ γλῶτταν ἀληθῶς καὶ διάνοιαν) ἀνοσιουργίας, ὧν οὗτος κατέστη κύριος καὶ ταξίαρχος κατὰ τῶν ἀχράντων καὶ θεοποιῶν μυστηρίων σκαιουργηθῆναι, φρικτῶν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν ἐνηχηθῆναι, ἢ καὶ ἑωρακέναι, ἐρεῖν ἂν ἔχοι τὸ σύνολον; ποῦ ποτε

ex illius regiis manibus cum reverentia excipiebat: quasi denique non hic esset celebratus ille a Cyprio defensor, curator, res caelestis, a Deo datum bonum, post Deum alius in terra Deus. Omitto alia multa multis ubique decantata, et quae deinceps magis etiam decantabuntur. Breve quid adhuc dicam: quasi hic non esset, cuius praedicti canones in ecclesiae quotidie precibus ab eo communi usui, propter pium atque sincerum religionis sensum, adhiberi solebant.

81. O quale impudentiae genus sol aspexit! Compello enim inanimes quoque naturas, ut ii solent, qui in quaedam nondum visa portenta incurrunt. Puto hunc lucis auctorem (solem) magnorum et utique infinitorum inter homines facinorum esse spectatorem, nondum ceteroqui talium, qualia praedicti hominis sunt. Puto plurimorum nec facile enarrandorum audacium operam crudeliumque facinorum diversis fuisse temporibus testem, non tantorum tamen quanta praedictus vir ausus fuit. Quis enim tanta adversus tantum patrata hierarchicum coetum repraesentare poterit, aut in libris legere, aut quomodocumque auditu percipere, quanta vir praedictus impudenter adeo crudeliterque patravit? Quis tantam heu! contra Romanorum imperatorem improbitatem, quantam hic monstrose exprompsit hisce novarum rerum temporibus, quis inquam aut oculis vidisse, aut auribus audisse comperietur? Quis (at enim lingua horret et mens) impia facta, quorum hic auctor fuit princeps et praecipuus adversus immaculata ac deifica mysteria, quae ipsis caelestibus potestatibus sunt tremenda auditu aut etiam visu, dicere omnino queat? Quandonam a sae-

ἤκουσται ἀπ' αἰῶνος, τὸ θεῖον μῦρον, τὸ θεῖον χρίσμα, τὸ ὑπερφυὲς δῶρον, τὸ θεουργὸν καὶ τελειοποιὸν τοῦ βαπτίσματος, οὗ ὁ κόσμος ἀντάξιος οὐδαμῶς, ὥς τι τῶν ἀνάγνων ἐκκενωθῆναι, καὶ ὡσπερεί τι τῶν ἀνενεργήτων ἀποῤῥιφῆναι, ἵν' εὐφήμως ὡς οἷόν τε, καὶ μὴ καταλλήλως τῷ ἐπ' αὐτῷ πραχθέντι ἐξείποιμι· ὦ πόσῳ μὲν ἱδρῶτι περιῤῥεόμενος ὤφθην, οἵας δὲ σκοτοδίνης ἐπλήσθην, ἡνίκα τε τουτὶ διεπράχθη· ἀκοῇ μὲν τότε, νυνὶ δὲ μνήμῃ περισχεθείς· ὦ σχετλίας ἐκείνων φωνῆς, τῶν τοῦτο πρώτως ἀναγγειλάντων μοι, ἐν γωνίᾳ καθημένῳ, τό γε εἰς ἐμὲ ἧκον θυμήρως πάνυ καὶ προσφιλῶς, ὡς οἱ τὰ κατ' ἐμὲ εἰδότες ἐγνώρισαν· ὦ φοβερᾶς ἀγγελίας ἐκείνων, τῆς πρώτης δὲ οὗτοι μοίρας τῶν τῆς ἐκκλησίας λογάδων, οἳ καὶ περιπαθῶς
cod. f. 49. a. πρὸς ταῦτα στένοντες διεβεβαιώσαντο· ἦ μὴν ἐν τῷ ἐκφορεῖσθαι τὸ οὐράνιον τοῦτο χρῆμα, τῆς ἐν ᾗ κατ' ἔθος ἐντεθησαυρισμένον ὑπῆρχεν ἁγίας δεξαμενῆς, καὶ ἵνα τοῖς καθηγηταῖς τῶν τοιούτων ἐδέδοκτο ἐκκομίζεσθαι, τοῖς ἀπὸ τοῦ ἄγγους ᾧ ἔτυχεν ἐξαντλεῖσθαι καταλειβομένοις σταλαγμοῖς ἐνσταλάττεσθαι, τῷ διοδευομένῳ τῆς γῆς ἐδάφει καταῤῥαινόμενον· τὸ δέ γε ἄγγος τοῖς ἐξ ὧν ἐλήφθη καὶ πάλιν ἀποδοθῆναι, ἐξ οἰκίας γὰρ ἦν, κοινὸν αὖ καὶ εἰς κοινὴν ὑπηρεσίαν ἐσόμενον· ὦ φευκτῶν ἐπιχειρημάτων· ὦ δραμάτων ἀπαισίων ἁπαξαπλῶς· ποία ποτὲ ἀκοὴ τοιούτων ἀκροαμάτων γέγονεν ὁπωσοῦν; τίς θέα τοιοῖς δή ποτε τὸ παράπαν τὰς οἰκείας ἐπαφῆκεν αὐγάς; ποῖος ἄρα διαλογισμὸς, τίνων ἐνθυμήσεων ῥήματα, ποίων διανοημάτων ἐπιβολαὶ, τίς σκῆψις, μελέτη ποία εὐπρεπὴς ὁπωσονοῦν καὶ εὐπρόσωπος τῷ συνειδότι τοῦ εὑρετοῦ τῶν οὕτω τελουμένων ἐπήλθοσαν; ἡνίκα ἐπὶ πᾶσι καὶ τὰ σεπτὰ καὶ φρικώδη θεῖα λύτρα τῶν θυσιῶν, ἱερουργηθέντα παρ' οἷς οὗτος, ὡς καὶ

culo auditum ust, divinum unguentum, divinum chrisma, supernaturale donum, deificum baptismi complementum, cui mundi pretium non aequivalet, tamquam profanum quid evacuari, aut tamquam inutile proiici, ut mitioribus verbis et non pro patrata indignitate loquar? O quanto sudore ego manare compertus sum, quam tenebrosa vertigine occupari, cum haec agerentur! Et tunc quidem ex auditu, ex autem memoria attonitus sum. O importunam illorum vocem, qui mihi haec primum retulerunt sedenti in angulo, ad me quidem quod attinet libenter admodum et suaviter, prout noti mei sciunt! O tremendum nuncium illorum, superioris inquam classis ecclesiae procerum, qui dolentes gementesque nuncium confirmarunt! quomodo nempe cum efferretur caelestis res, quae de more in receptaculo clausa erat, et huius flagitii auctoribus tradita ad asportandum fuisset; cumque de vase hauriretur, manantes inde guttas publicum pavimentum aspersisse, vas autem ipsum antiquis dominis redditum (nam quadam ex domo erat) profanum rursus et communi usui futurum. O abominabiles ausus! o spectaculum prorsus infandum! Quis paria unquam audivit? Quis oculus aciem aliquando suam talibus intendit? Quae mentis ratiocinia, quorumnam sensuum verba, qui cogitationum motus, qui impetus, quae meditatio congrua quomodocumque et idonea conscientiam auctoris flagitiorum horum subierunt? Cum, praeter reliqua, sacrae etiam ac tremendae sacrificiorum divinae redimiae ab iis iam peractorum, quibus hic Cyprius ut dictum est nuper commu-

πρώην ἐνεσημάνθη κοινωνῶν ἐδείκνυτο καὶ ἁγιαζόμενος ὅσα τῶν ἀργῶν αὐτῷ καὶ ἀπράκτων καὶ ἀσυντελῶν παντάπασιν ἀπεπέμφθησαν.

πβʹ. Ἐμοὶ μὲν οὖν πρὸς ταῦτα μόγις ἂν ἤρκεσεν ἓν ἢ καὶ ὀλιγάττα τῶν λεχθέντων, ἢ καὶ τῶν παρεθέντων, λεϖτομερῶς ὡς ἐνηργήθη διασαφῆσαι, καὶ τῷ λόγῳ θεῖναι οἷον ὑϖόψια· τὸ γὰρ δὴ τοιουτοτρόϖως διὰ ϖάντων ἰέναι, οὔ μοι δοκεῖ καὶ τῶν ὑπὲρ ἐμὲ πολλῷ τῷ μέτρῳ τῆς δυνάμεως καθεστάναι· εἴ γε τούτων ἕκαστον ἐμφανῶς εἰς ὅλην ἂν λογογραφίας ὑπόθεσιν, καὶ τοῖς οὕτως ὑπερτεροῦσιν ἀπέχρησεν· ἐφ᾽ ᾧ καὶ τὸ κατ᾽ ἐπιτομὴν ὡς ὑπεσχημένον στέργων ἀεὶ, καὶ οὐ δὲ τοῦτο διὰ ϖάντων· ἔστι γὰρ οὗ καὶ οὐ διά τινων παντελῶς. Καὶ ἄλλαις μὲν οὐ τυχούσαις αἰτίαις εἰς τὰ ῥηθέντα τῶν ἀτοπημάτων συνελαθῆναι τὸν ὑπηγορευμένον ἄνδρα φημί· ἡ δέ γε πασῶν πλέον ἐκμήνασα, καὶ οἷον ὑποβάθρα τούτῳ παγιωθεῖσα, ῥίζα δὲ μᾶλλον στερρῶς ἄγαν ἐμφῦσα, ἐξ ἧς ἀνατεθήλασιν αἱ λοιπαὶ, ὁ ἀκρατὴς ἔρως τῆς φιλαρχίας ἐγνώρισται· καὶ οὐχ ὡς τοῖς πολλοῖς, οὕτω δὴ καὶ αὐτῷ κατ᾽ ἐμφέρειαν ἴσην ἐνέσκηψεν, ὡς ἁπλοϊκῷ τινι λόγῳ μόνον ἓν ἐϖισπεῦσαι τόνδε καταναγκάσαι τοῦ ϖοθουμένου τυχεῖν, καὶ στῆναι τοῦ λοιϖοῦ τῆς ὁρμῆς· οὐδαμῶς, ἀλλ᾽ εἰ μὴ ϖρὸς τῇ τοῦ ἐρωμένου ἐϖιτυχίᾳ, καὶ τὸν ὃν ἀφέλοιτο τοῦτο τυραννικῶς, καὶ πᾶσαν τὴν περὶ αὐτὸν ἱερὰν καὶ ἀξίαν ὁμήγυριν, ἐξουθενημένους περὶ τὴν πίστιν ποιήσειεν, οὐχ ἕξειν ἂν ἔτι βίον βιῶναι τῇ σφετέρᾳ διαθέσει καὶ περινοίᾳ κατάλληλον· ἐνθέν τοι καὶ ἀκαθέκτως εἰς τὰ προκεχαραγμένα τῶν τολμημάτων ἐνήλλατο, τὸ τοιούτους σφᾶς ἀποφῆναι μᾶλλον ἐντεῦθεν ἐπιτεχνώμενος· καὶ ἡ πρὸς ταῦτα παῤῥησία καὶ πεποίθησις ἀῤῥαγὴς, ὅτι τε τοῖς πλήθεσι φίλα εἴη τετελεκὼς, τὰ τοιαῦτα διηνυκὼς ῥοϖαῖς

nicans simulque sanctificans adfuerat, nunc tamquam vanae et ineptae atque omnino imperfectae, abiectae fuerunt.

82. Mihi quidem aegre sufficiebat, vel unum vel pauca quaedam iam dictorum aut etiam praetermissorum, particulatim prout ea acta fuerunt in lucem protrahere, meisque verbis oculo veluti supponere: namque omnia percurrere, tum meas tum etiam me valentiorum vires excedit: etenim horum singula ad integrae historiae argumentum etiam disertioribus satis essent. Quamobrem epitomen, quam promisi, constanter praefero; neque hanc ipsam ad omnia adhibeo: sunt enim quae nullatenus attingo. Profecto ob alias quoque non levis momenti causas, praedictum virum in memoratas iniquitates incidisse aio: quae tamen illum magis in insaniam adduxit, et fundamenti loco fuit, radixque firmissime infixa, unde cetera pullularunt, effrenata honoris ambitio fuit, quae non ut alios multos, ipsum quoque pari vi corripuit, ita ut unum quid simpliciter agere cogeret quô re cupita potiretur, ad reliqua vero impetum eius inhiberet; non ita, inquam; sed nisi, dum voti sui compos fieret, illum quoque a se dignitate spoliatum hominem, cum sacro eius dignoque clero, exhonoratum circa fidem efficeret, non videbatur sibi vitam victurus cupiditati suae mentique congruam. Hinc effrenate ad antedictos ausus ruebat, atque ut illos tali fama oneraret: quod quidem confidenter admodum firmiterque sperabat, quia nimirum populo gratificabatur si hoc perficeret, vi quoque indubia praeiudicii fretus illorum,

ἀναμφιβόλως ταῖς ἐκ προλήψεως κατὰ τοῦ ἔργου τῆς εἰρήνης ἐνασμενίζουσι· καὶ ὡς γηθόσυνοι παραυτίκα οἱ προσδράμοιεν ἅπαν σύνταγμα τὸ τῶν μοναχῶν, οἷς σύννομον οἴκοθεν ἑαυτὸν αὐθημερὸν ὡς εἴρηται κατεστήσατο, κυριωτέρως δ' εἰπεῖν ἀγελάρχην τῆς σφῶν ἀγέλης ἐξ ὑπογύου κεχειροτόνηκε· καὶ ὡς οὐδὲν ἐμποδὼν σφίσιν αὐτῷ προσρυῆναι, καθαρῶς ἀποδεικνυμένῳ οἷς φανείη διαπραξάμενος· τοὺς δὲ μὲν κατὰ ἀσεβείας μαχεσαμένους, ἑαυτὸν δ' ἐν τούτοις κορυφαιότατον· ἐκείνου δὲ καὶ λίαν ἐπιλανθάνεται οἱονεί τινι κάρῳ cod. f. 50. a. τῇ δοξομανίᾳ βεβακχευμένος, ὡς πράξεως ταύτης, ἣν ἀπάγειν εἰς ἀσέβειαν οὐκ ἐρυθριᾷ, πρῶτος συνεργὸς καὶ συμπράκτωρ, καὶ μὴ ἀμφιδοιάσιμος ἐπαινέτης καθέστηκεν· ἀλλά τοῦτο μὲν ἐκεῖνος ἦν ὁ καιρὸς ἐμπνεύσας αὐτῷ· τὸ δ' ἕτερον αὖθις ὁ νῦν· κἀκεῖ μὲν θερμὸς ἀληθῶς ζηλωτὴς, καὶ σπουδαῖος ὑπὲρ τοὺς κατ' αὐτὸν συσπουδαζομένους, ὧν ὁ λόγος ἀνωτέρω που φθάνει μνησθείς· ἐνταῦθα δὲ θερμότερος πολλῷ πλέον καὶ βιαιότερος, οὐκ ἐπὶ τοῖς ἐναντίοις ὅμοιος εὑρισκόμενος, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς ἐναντίος μᾶλλον ὁρώμενος, πλὴν οὐκ ἐπίσης ἐν ἀμφοτέρῳ καιρῷ, μενοῦν γε καὶ μάλιστα σφοδρότερον ἐνταυθοῖ τῆς ἐναντιώσεως δράττεται, παρόσον καὶ οὐκ ἴσων· ἀλλ' ἐκεῖ μὲν μειόνων, ἄλλως δὲ ἱκανῶν, ἐνθαδὶ δὲ μειζόνων καὶ τῶν ἄκρως ὑπερκειμένων ἐπιτυγχάνει γερῶν· καὶ παρὰ τοῦτο εἰ ἦν ὡδί πως πρὸς πλείω χωρῆσαι καὶ δεινότερα τῶν πραχθέντων, ἀσχέτως ἂν μὴ ἐπιδιστάσας ἐχώρησε· ποῦ δ' ἂν καὶ εἴη ὅλως δραστηριώτερα, ὅπου γε καὶ τούτων αὐτῶν οὐμενουν τελεσιουργὸς ἄλλος, ἢ θεατὴς ὡς ἐρρέθη τῶν χρόνων ὁτεδήποτε πέφανται· εἰ ἦν δὲ καὶ δυσσεβείας ἐπέκεινα ὄνομα, πρὸς ἐκεῖνον ἂν κλήσει τὰ τῆς δηλωθείσης πραγματείας ἐκκορυφῶν ἐληλύθει· ὅτι δ' οὐκ ἦν εἰς, τοῦτο προάγεται· καὶ κατονομάζειν οὕτω πλατεῖ καὶ ἀπυλώτῳ στόματι ἀπαυθαδιάζεται.

quibus paci adversari placebat. Atque ut alacer statim ad se concurreret totus monachorum coetus, quicum sponte ipso die semet confoederaverat, statim ab initio ipsorum praesulem repente episcopum creat, ut nullum illis impedimentum foret quominus ad se accurrerent, cum aperte acta sua demonstrasset; et quod illi impietatis essent debellatores, et se cum illis praecipuum. Illud tamen multum obliviscitur, quodam veluti temeto gloriae amore ebriatus, nempe negotii illius quod impietatem appellare non verecundatur, se in primis fuisse cooperatorem, adiutorem, et indubium laudatorem. Sed enim hoc ipsi inspirabat tempus illud, alterum vero praesens. Et tunc quidem fervidus vere zelator erat ac sedulus prae ceteris cum eo studiosis, quorum superior nostra oratio meminit; nunc autem multo ferventior, longeque violentior, neque par inter contrarios inventus, sed plus quam illi contrarius visus, nec aequali utroque tempore gradu; quippe multo vehementius nunc ad adversandum incumbit, quo magis inaequale negotium est; nam illic minora, aliàs mediocria, nunc maiora et summa emolumenta consequitur. Propterea cum nunc liceat ad plura et graviora praeteritis acta excurrere, effrenate nihilque haesitans decurrit. Quid ni vero vehementiora sint? siquidem horum ipsorum effector alius aut spectator per tempora non apparuit. Quod si quid adhuc fuisset impietatis vocabulo (quod nobis impingit) magis dignum, eam ille appellationem cupide arripuis-

πγ'. Ἀλλὰ τοσαῦτα πεπραχὼς ὁ Γεννάδας, καὶ καλεῖν οὕτω καὶ διαβάλλειν ἐπὶ συστάσει τῶν αὐτῷ εἰργασμένων τὰ τῆς ὑποθέσεως ἀπαναιδευόμενος, ὅπως καὶ εἰς ἔσχατον τοῦτο δὴ τῶν κακῶν αὐτὸς εἴη κατολισθήσας, ἔχει μὲν ἀμυδρῶς ὁ λόγος ἐμφήνας, καὶ ἐξ ὧν ἄνω διειλήφει πατρικῶν θεολογιῶν καὶ διασαφήσεων· δηλώσει δὲ καὶ παρακατιὼν καθαρώτερον, τό γε ἀρτίως τὰ τῶν λεγομένων κατὰ συνημμένην ἀκολούθησιν διερχόμενος. Τοιγαροῦν ἦν μὲν ὁ μετέωρος οὗτος ἀνὴρ πάντα διηγωνισμένος ὡς λέλεκται· καὶ πᾶσα ἦν ἐλπὶς, καὶ οὐδαμῶς οἱαδή τις διχόνοια προσδοκώμενον ἔπαθλον εὑρεῖν τῶν καμάτων, τὸ πάντας προσελθεῖν ἀδιστάκτως τοὺς τὸ προϊστορηθὲν συμπληροῦντας περιζήτητον σύστημα, καὶ ὑπ' αὐτῷ ποιμένι καὶ διδασκάλῳ διακυβερνᾶσθαι καὶ διϊθύνεσθαι· καὶ μάλιστα σφῶν ὅ τι χάριν τόσον ἀγῶνα εἴη διηθληκώς· οἱ δὲ μή τε τούτων, μηθ' ἑτέρων, ὅσα διὰ σπουδῆς θείη αὐτοὺς ἔνθεν ὑποποιούμενος σφοντίσαντες ὁπωσοῦν, τῆς αὐτοῦ κοινωνίας πάμπαν ἀμέθεκτοι τηρηθῆναι παρασκευάζονται· καὶ ὁ μὲν ἀπέκειτο παντοῖον εἶδος μεταχειρήσεως μετιὼν, ὑπαγαγέσθαι σφᾶς ἐνδεχόμενος, οἱ δὲ ἀπεπέμποντο· ὁ μὲν ὑπισχνεῖτο, οἱ δὲ οὐδ' ἄκροις ὠσὶν αὐτὸν τὴν προστασίαν ἀκηκοέναι ἠνείχοντο· ὁ μὲν ὅπως ἑτοιμάσειε σφίσι πάσας δὴ τὰς λαμπρὰς καὶ περιφανεῖς τῶν μητροπόλεων προετίθει, τοὺς λαχόντας αὐτὰς ἐκποδὼν ποιησάμενος, οἱ δὲ καὶ τὸ πρὸς μικρὸν ὑπενδοῦναι παντάπασιν ἀνεβάλλοντο· καὶ ὁ μὲν ἔτι παντελῶς ἀπελάσειν τοὺς τῶν ἐπισκόπων ἐπιλοίπους, εἴ που τινὲς εἶεν ὅπως δή ποτε παραλελειμμένοι, καὶ μὴ δ' ἂν κατάλογον ἄλλον ἱερατικὸν μεθήσειν, μὴ δ' ἂν εἴ τι καὶ τοιοῦτον ἕτερον βούλοιντο, μόνον εἰ αὐτὸν παραδέξαιντο ἐπηγγέλλετο· οἱ δὲ οὐχὶ καὶ εἰ τὸ cod. f. 50. b.

set. Nunc quia nihil supra id vocabulum est, hoc ipsum patulo infrenique ore audet usurpare.

83. Age vero quod talia egregius hic peregerit, et ita nos accusare ac vituperare, ob confirmationem a se patratorum, susceperit, et quod in extremum nequitiae ruerit, oratio nostra adumbravit per eas quas retulit patrum theologicas demonstrationes; et adhuc clarius deinceps ostendet, cum integram continuamque seriem eorum quae dicta sunt decurret. Hic ergo vir in sublime elatus, certamen omne ut dictum est consummaverat, summaque in spe erat, nullumque ei dubium supererat, quin expectatum laborum praemium consequeretur; fore nempe ut omnes accederent ad praedictam explendam conquisitam coagmentationem, videlicet ut abs se pastore gubernarentur omnes et dirigerentur; iique maxime quorum gratia certamen tantum certaverat. At isti neque hos neque alios actus, quotquot quomodocumque is conabatur, pensi habentes, ab eius communione prorsus abstinere decernunt. Et ille quidem omne artificii genus expromens, ipsos sibi conciliare satagebat, qui nihilo minus renuebant: promittebat ille, at hi ne summis quidem auribus postulatum eius audire sustinebant: ille se parare ipsis splendidas omnes et nobiliores metropoles significabat, pastoribus earum eiectis, at hi ne tantillum quidem labefactari se permittebant. Ille se omnes expulsurum episcopos si quis adhuc superesset, nec alium sacerdotalem catalogum agniturum, ne si quidem aliud aliquid vel-

πᾶν μεταθεῖν, καθυποκύψαι οἱ βεβαίως αὖθις ἀντετίθουν καὶ διενίσταντο· ἦσαν μὲν γὰρ ἀληθῶς τοιαῦτά τινα δράσειν μελετῶντες μακρόθεν, καὶ θαμὰ συνδιασκεπτόμενοι, καὶ φθεγγόμενοι, ἅτε καὶ πρὸ τῆς τῶν ἐκκλησιῶν ταυ-
cod. f. 51. a. τησὶ πραγματείας δι' αἰτίας ἃς προϋπεσημήναμεν, στρέφοντες κατὰ νοῦν, καὶ πᾶσαν ἀνατρέψαι καὶ ἀλλοιῶσαι τὴν ἐκκλησίαν, καὶ ἐξ ἑαυτῶν νέαν συστήσασθαι φανταζόμενοι, πλὴν οὐχ' ὑφ' ἑτέρῳ τῶν ἁπάντων τινί· τὸ γὰρ δὴ καὶ ὅλως ὑπὸ τῷ δηλουμένῳ ἐρεῖν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' αὐτοὺς ἐγκρατεῖς, αὐτοὺς αὐτουργοὺς γενέσθαι ἠβούλοντο· ἐμοὶ δ' ἐπιεικῶς ἄπορον, ἐπὶ τούτοις καὶ δυσπαράδεκτον κρίνεται, εἰ τοῦ σκοποῦ τυχόντες αὐτοὶ πρὸς τοσοῦτον ὁρμαθὸν ἀθεμίτων πράξεων ἐληλάκεισαν, οὐ γὰρ οἴομαι· ὁπότερον γοῦν οἱ ζητεῖν ἐθέλοντες, διαγινωσκέτωσαν.

πδ'. Σφίσιν δ' οὖν ὅμως φευκτὸν ἦν καὶ λίαν ἀπόστοργον, κοινωνίαν ἥν τιναοῦν τοῦ τῷ λόγῳ διαλαμβανομένου προσήκασθαι, καλῶς εἰδόσιν ὅπως ἀπὸ πρώτης ἀρχῆς μέχρι καὶ εἰς δεῦρο, καὶ μεθ' οἵου τρόπου τὰ τῆς ὑποθέσεως οὗτος μετέλθοι καὶ πέρας ὅπως ἑταιρίᾳ τῶν διαφερόντως παρὰ βασιλείοις ἐνισχυθέντων κατασχεῖν καθέδραν τὴν ἀνωτάτω δυνήσαιτο, καὶ πολλῶν ἄλλων ἔτι τῶν αὐτοῦ εἰς γνῶσιν ἀφικομένοις, περὶ τὸ πρᾶγμα θεωρουμένων· τί γάρ μοι καὶ τοῖς ἐκτὸς ὅλως καὶ εἰς μνήμην ἰέναι ὅσα καὶ λέγεται; ὅπου γε καὶ τούτων αὐτῶν τῶν καθαρῶς τοῦ ἔργου γνωριζομένων πρὸς τοῦ ἀνδρὸς, ἐκεῖνα καὶ μόνον εἰς ἁπλὴν τῶν γραφομένων ἀφήγησιν παρεισάγεται, ἃ μὴ συμπεριληφθῆναι καίπερ πολλαχοῦ αἱρουμένῳ οὐκ ἔνεστι, καὶ ἃ μηδέ τινι τῶν ἁπάντων ἀμφαγνοούμενα· τῷ τοι καὶ τὸ πρὸς αὐτὸν ὅσον οἱ τοῦ καταλόγου τοῦδε κάλλιστα διαγνόντες, τὸ παντελῶς τοῦτον φεύγειν τῶν

lent, modo se admitterent, denuntiabat; hi autem ne si totum quidem mutaret, subesse illi, firmiter adhuc obsistebant et pernegabant. Revera sic se gerere iamdiu constituerant, crebroque deliberaverant ac dictitaverant, etiam ante hunc ecclesiarum tractatum, ob eas quas supra diximus causas; mente revolventes universam subvertere ecclesiam et variare, novamque marte proprio formare cogitantes, ita tamen ut nemini subessent, minime vero omnium praedicto; sed ipsi proprii arbitrii esse et per se rem gerere volebant. Mihi tamen valde incertum et vix credibile videtur, fore ut si scopo suo potirentur, ad tam impia facta turmatim proruerent: si qui vero id volunt disquirere, sane diiudicent.

84. Interim illi defugiebant ac magnopere aversabantur communionem quamlibet cum praedicto habere; probe scientes quomodo ab initio usque ad id tempus in eo negotio versatus fuisset; et quomodo per amicitiam illorum qui apud regiam aulam praecipue valebant, obtinere supremam cathedram potuisset; denique et alia eiusdem multa ad hanc rem pertinentia cognoverant. Quid enim mei vel exterorum interest, quae de eo dicuntur commemorare? quandoquidem haec ipsa perspicue cognita hominis facta, soli historicorum narrationi obiiciuntur? quae ceteroqui nemini quamtumvis volenti complecti licet, neque cuiquam dubia sunt. Quamobrem hi ecclesiastici ordinis homines res illius optime pervidentes, ab eo se omnino abstinere necessarium iudicarunt. Et ex huius quidem moribus, et ex nobilibus eius de

ἀναγκαίων ἐνόμισαν· καὶ ἦν ἂν σφίσιν οὐκ ἀποδέον ἐξ αὐτοῦ τε καὶ τῶν περιφανῶν κατὰ κόσμον ἑταίρων πρὸς τὸ τοῦ καιροῦ μετατιθεμένων καὶ μεταλλαττομένων παλίνστροφον, καὶ συμπεριτρεπόντων ἀναφανδὸν, καὶ συμμεθιστώντων ἐς ὅσον πρόσφορον αὐτοῖς καὶ συντεῖνον τὰ τῆς ἑνοποιοῦ τῶν ἐκκλησιῶν συζητήσεως, εἰς συναίσθησιν μόλις ἐλθεῖν, καὶ σκέψει δοῦναι καὶ ἐξετάσει, καὶ κατάληψιν ἴσως σχεῖν ἀπροσδόκητον, εἴ γε καὶ ἀπροσδόκητος αὐτοῖς ἀνεφάνη, καὶ ἄλλως ἀναλογισαμένοις, ὁποῖα ἡ μεθ' Ἰταλῶν καθ' ἡμέραν ἡμετέρα πραγματικὴ κοινωνία καὶ συνδιαίτησις· ἀλλ' οὐκ ἦν αὖθις ἐξ ἀντιθέτου τὸ καὶ θελῆσαι πωσῶς εἰς τοιαύτην ἔννοιαν παρακῦψαι, ταραχὴν ἡλίκην ἅπαξ ἐργασαμένοις ἐκ τῆς πρὸς τοῦτο μᾶλλον ἐναντιώσεως, καὶ κλέος ἐντεῦθεν ἑαυτοῖς περιθεμένοις οὐ μέτριον· ἔνθέν τοι καὶ πρὸς αὐτὸ κακίζοντες αὖ ἐδείκνυντο καὶ ἀντιφερόμενοι, τὸ δὲ τὸν ἐπιβάντα τοῦ ὑπερέχοντος οὕτω θρόνου προσήσεσθαι, καὶ τοσαῦτα πεπραγμένον παρὰ τὸ σφᾶς οἰκειώσασθαι, ἀπευκταῖον ἡγοῦντο πάνυ καὶ ἀποτρόπαιον· εὖ καὶ ὡς ἦν ἀπ' ἀρχῆς ἄχρι τέλους προβεβηκότα τὰ κατ' αὐτὸν ἐξακριβωσάμενοι. cod. f. 51. b.

πε'. Ἀλλ' ὁ τοιοῦτος καὶ ταῦτα βλέπων οὐκ εἶχεν ἀποστῆναι τοῦ, ὅπως ἂν δελεάσας αὐτοὺς ὑπαγάγοιτο, συνειδὼς ὅπως δυναστείᾳ τὸν θρόνον εἴη παρειληφὼς, καὶ κατέχων· καὶ ὅπως ταῖς αὐταῖς ἰδιοτροπίαις ὠχυρωμένος ἐκκλησίαν ὅλην σχεδὸν αἰστώσειε, τοῖς τοῦ λαοῦ νουνεχέσιν οὐ μέν τοι κατὰ θυμόν· καὶ ὡς εἰ καὶ τοὺς ῥηθέντας οὐδαμῶς ἰσχύσειεν εἰσοικίσασθαι, τὸ οἰκεῖον λάχος, τὴν σφετέραν συμμορίαν ὡς προδιήρθρωται οὐχ ἕξει προδήλως ἐν τίσιν ἂν τὰ τῆς κυρίας διενεργήσειε, καὶ τοῦ δημώδους ἔτι στίφους συναπαχθησομένου καταφανῶς, ὅθεν καὶ πρώην πάνυ πολλοστοὺς τῶν χυδαίων

mundo sodalibus, qui pro tempore variabant, et in contrariam partem vergebant, publiceque deficiebant, atque ad suam utilitatem uniendarum ecclesiarum tractatum inflectebant; ex his, inquam poterant tandem aliquando persentire, considerare, et exquirere, et insperato fortasse comperire, si tamen aliquid praeter illorum expectationem accidere poterat; aliunde etiam considerantes, quanta esset nostra cum Italis communio et convictus. Sed enim e contrario voluntas eorum, quominus de hac re (unione) cogitarent impediebatur, postquam tantum tumultum commoverant, dum huic olim negotio vehementius resisterent, et quia aut mediocrem famam hinc sibi comparaverant: quo fiebat, ut tractatum vituperare et oppugnare viderentur. Attamen ei, qui tantam sedem occupaverat, adhaerere; et eum qui talia egerat in communionem recipere, nefandum prorsus et aversandum iudicabant; quia nempe acta ab eo ex initio ad finem penitus introspexerant.

85. At vero Cyprius, quamquam haec cerneret, non se continebat quominus escâ veluti alliciens eos seduceret: conscius sibi quomodo praepotenter sedem adeptus fuisset atque teneret, et quod suis quibusdam peculiaribus modis adiutus, ecclesiam prope universam extinxisset, in quo tamen cordatis e populo non satisfecerat. Videbat praeterea quod nisi praedictos conciliare sibi valeret, ut quasi pars sua suumque sodalitium fierent, veluti iam docuimus, haud se habiturum quibus principalem ecclesiam administraret vires. Itaque vulgarem quoque turbam palam conflans, atque

cod. f. 52. a. τούτου τοῦ μέρους δώροις ἐφελκύσας, καὶ συχναῖς ὑποσχέσεσιν, ὡς καὶ αὐ-
τό που δεδήλωται, τρόπον καὶ πάλιν τὸν ὅμοιον μέτεισι, καθ᾽ ἕνα ἢ καὶ ὅσους
ἂν δυνηθείη τῶν ὁποιωνοῦν ἐξ αὐτῶν ὑϖοσπᾷν δεξιούμενος, ἄλλαις τε πλεί-
σταις ἐπαγγελίαις, καὶ χρυσῶν ἔτι καὶ ἀργύρων καταβολαῖς, οὐκ ὀλίγους
αὐτῶν ἐπὶ τούτῳ θησαυρῶν ἐκ βασιλικῶν ϖορισάμενος τῷ ἐκεῖθεν κρατύνε-
σθαι· οἷς καὶ εἰς εὐαρίθμητον ἄγαν, καὶ οὐδὲ λογίζεσθαι ἱκανὸν, τὸ τῶν ὑπο-
συρέντων περιέστη ποσόν· ἐξ ὧν ἄρα καὶ λοιπῶν ἑτέρων ἐκ πανσπερμίας εἴ-
ποί τις ἂν συνενηγμένων ἀρχιερατικὸς αὐτῷ καὶ οἰκεῖος ἐτεχνουργήθη κατά-
λογος, γνώριμος μὲν τοῖς νῦν γεγονὼς, οἶμαι δὲ καὶ τοῖς ὕστερον γενησό-
μενος φήμῃ. ἢ καί τινων ζῆλον ἀληθείας ἀναλαβόντων εἰκονικαῖς ἐκ λόγων
διαμορφώσεσι· τέως γε μὴν καὶ τούτων οὕτω συσκευασθέντων, οἱ πρωτεύοντες
ἄρα καὶ ἔξοχοι, καὶ τὸ πᾶν ἁπλῶς τῆς πολυεράστου κληρουχίας, καὶ ἰδια-
ζούσης τῷδε τὰ μάλιστα, τὸ ἀπαναίνεσθαι καὶ αὖ ὑπ᾽ αὐτῷ καθορᾶσθαι περὶ
πολλοῦ ἐποιοῦντο, καὶ τὸ συνεληλυθέναι ἀλυσιτελὲς ἐπέκρινον καὶ ἀπόβλη-
τον· καὶ ταῦτα χερσὶν ἔχειν τὸ θήραμα οἰομένῳ, ἐκ τῆς τῶν ἡγησαμένων ἅτε
ϖροσαγωγῆς, καὶ τοὺς λοιϖοὺς ὑφελέσθαι ϖάντας τεκμαιρομένῳ κατὰ μι-
κρόν· ἔνθα καί τι χάριεν καὶ πρὸς ἡδονὴν οἷον ἐϖηκολούθησεν· ἐτύγχανε μὲν
οὖν ὁ ὑψινεφὴς οὗτος διὰ ϖολλῆς τοὺς δηλωθέντας εὐφημίας ϖοιούμενος,
ὅτε πρώτως ἐπιβαίη τοῦ θρόνου τοῦ πατριαρχικοῦ· καὶ τί γὰρ ἄλλο, ἢ θεί-
ους, καὶ ζηλωτὰς, καὶ ἁγίους ἄνδρας ἐϖιβοώμενος; τῆς σφῶν ὅσα καὶ αὐ-
cod. f. 52. b. τὸς ξυναυλίας εἶναι τερατευόμενος, καὶ τὸ μεθ᾽ ἑαυτοῦ τούτους ἔχειν τῶν
ὁμολογουμένων ἡγούμενος· ἀλλ᾽ ἐϖειδὴ ϖροϊὼν ὁ χρόνος ματαίαν τοῦδε τὴν
ϖροσδοκίαν ἐλέγξειε, καὶ ἀνήνυτα ὅσα δὴ ἐϖὶ ταύτῃ καὶ δράσειεν, οὐκέτι
ϖρὸς ἐϖαίνους, ἀλλὰ ϖρὸς τοὐναντίον ἅϖαν χωρεῖ ἐν ταῖς ἐπ᾽ ἐκκλησίας

ut antea plebeios multos donis assiduisque promissionibus pelliciens, quod item alibi patefactum fuit, mori suo insistit, singulos quosque et quotquot ex his poterat blande attrahens, aliisque promissis plurimis, et aureorum atque argenteorum nummorum diribitionibus, non paucis ob eum finem ex regia gaza acceptis quô semet corroboraret. Nihilominus exiguus oppido neque supputari dignus ei confectus est numerus: ex his tamen aliaque omnifaria turba, dici potest coagmentatum ei fuisse episcopalem proprium coetum, qui notus praesentibus est, et posteris quoque famâ innotescet; nonnullis etiam zelum veritatis sumentibus ex his iconicis sermonis deformationibus. Ceterum his nihilominus artificiose peractis, primates tamen atque eminentes viri, cunctusque spectabilior clerus, peculiari studio huic resistebant, ab eodemque despici valde gloriabantur, cum eoque convenire noxium iudicabant atque aversabile. Interim ille praedam se habere prae manibus arbitrabatur; et si modo primarii accederent, reliquos paulatim se capturum omnes autumabat. Qua in re lepidum simul aliquid interveniebat. Etenim hic nubicola multis laudibus praedictos ornabat, cum primo patriarchalem sedem conscendit, nihil aliud nisi divinos et zelatores et sanctos viros clamitans, seque de illorum sodalitio esse iactabat, et eos sibi consentientes sine dubio aestimabat. Sed posteaquam decurrens tempus vanam ipsius expectationem arguit, et in cassum se adlaborasse cognovit, non iam laudativum sed con-

δημηγορίαις συχναῖς τῶν εὐφημουμένων ὕβρεσι καταχρώμενος· καὶ τὸ, δι' αὐτοὺς κατὰ τῶν ἀρχιερέων, οὓς φθάνει τηλικούτοις κολαστηρίων εἴδεσι παραδοὺς, βαρυτέρους ἐπενεγκεῖν κανόνας κηρύττων, κέντρῳ πάντως εἰς τοῦτο πλεοναζούσης ἀληθείας πληττόμενος· οὐκ οἶδα δ' ὁποίους ὅλως καὶ κανόνας φάσκειν προάγεται, εἰ μή που ἐκείνους ἐθέλει λέγειν, ὧν αὐτὸς ὡς καὶ πολλῶν ἑτέρων ἐφευρετὴς ἀρτίως καὶ καινουργὸς ἀναδέδεικται· ἀλλὰ βραχὺ πάνυ τὸ μεταξὺ, καὶ πάλιν ἐλπίδων ἀπαιωρήσεις τούτῳ ἐξ ὑπολήψεως, ἤ τινων προσαχθέντων ταῖς ὑπαγορευθείσαις πολυτρόποις ἐπιτεχνήσεσιν, ἢ καὶ λόγων παρεμπεσόντων ποθὲν, ψιλὴν ἐχόντων δόκησιν προσελεύσεως· καὶ πάλιν ἀναῤῥήσεις καὶ θειασμοὶ τῶν ἀνδρῶν διαφερόντως ἐπεκτεινόμενοι· πεῖρα ἐπὶ τούτοις βαθεῖα, καὶ τὰ τῶν ὑπειλημμένων φροῦδα καὶ οὐδαμοῦ· καὶ πάλιν δυσφημίαι καὶ καταῤῥήσεις τῶν προλαβουσῶν ἐπὶ πλέον προήκουσαι· καὶ τοῦτο μέχρι πολλοῦ· ἅγιοι, καὶ θεῖοι, καὶ πατέρες, σκαιοί τε καταδήλως, καὶ τὸν βίον ὡς ἐπίπαν κατεγνωσμένοι, οἱ αὐτοὶ παῤῥησίᾳ κηρυκευόμενοι· ἐκεῖνο, ἡνίκα ἂν ποσῶς ὑποληφθεῖεν ὑπείξοντες· καὶ τοῦτο, ἐπειδὰν σάφα γνωρισθεῖεν μὴ ὑπακούσοντες· ὀκνῶ γὰρ ὅλως καὶ τὰ αἴσχη τῶν ὕβρεων παραθεῖναι, μή ποτε σφᾶς λοιδορεῖσθαι δόξαιμι καὶ αὐτὸς ἐξεπίτηδες· ἴσασιν οἱ καὶ τὸ πρὸς ταῦτα τῆς γλώττης τοῦ ἀνδρὸς μεμαθηκότες ἀκρατὲς καὶ ἐλεύθερον, καὶ δι' ἐκπλήξεως ἐς ὅσον δὴ καὶ προεληλύθει ποιούμενοι· καὶ τοῖς ἑξῆς παραπέμψαι οἶμαι οὐκ ἀποκνήσουσιν. cod. f. 53. a.

πϛ'. Ὁ λόγος δὲ καθ' ὁδὸν οἷον προβαίνων, ἐφ' ἕτερον τῶν κατορθωμάτων ὁρμᾷ, θαυμαστὸν ὅσον καὶ διαβόητον· ἐπειδὴ πολλοῖς ὁ γενναῖος ἐνασχοληθεὶς μηχανήμασι, καὶ πολλὰς ταμὼν ἀτραποὺς, οὐκ ἔσχεν ἐπὶ τοῖς ῥηθεῖ-

rium potius morem induit; et in ecclesiasticis concionibus, crebris antea laudatos conviciis insectari coepit: et contra episcopos quos nuper tot poenarum generibus exercuit, graves iaculaturum se canones minitari, quia stimulo scilicet victricis veritatis compungebatur. Nescio autem quos plane canones innuat, nisi forte illos dicere velit, quos ipse itemque alios multos nuper novos procudit. Sed post intervallum spes huic rursus oboritur vel ipsius mera opinione vel nonnullorum intentatis artificiis, vel etiam ex auditis aliunde rumoribus, tenuem accessionis expectationem facientibus: rursus ergo laudes et eximia illorum hominum encomia. Sed mox altius experimentum, et omnia vana comperta; denuoque obtrectationes et maledicta, praedictis laudibus reapse iustiora: sancti et divi et patres; mox iidem improbi prorsus et in omni vita damnabiles audacter dictitabantur; illud quidem, quotiescumque annuere tantisper viderentur; hoc autem, statim ac minime eos obsequi manifeste appareret. Piget autem turpitudines conviciorum referre, ne illis quasi libens conviciari et ipse videar. Sciunt qui in his quoque intemperantiam et libertatem hominis exploratam habent, et quousque progredi soleat mirantur; posterisque haec transmittere non negligent.

86. Sed iam oratio nostra itinere suo pergens, ad aliud egregium facinus accedit, mirum sane et famigeratum. Postquam multis praeclarus hic machinationibus tempus impenderat, multasque semitas secuerat, nec tamen suum cum praedictis

σι περατῶσαι τὰ τῆς προθέσεως, τούτους μὲν συμβαίνοντας εἰληφέναι, ἑαυτὸν δ' ἐντεῦθεν μὴ μόνῃ δυναστείᾳ θαῤῥεῖν ἐπιδείκνυσθαι· τί ποιεῖ; σοφὸν ἕτερον ἐπινοεῖται λίαν καὶ δυσαντίβλεπτον βούλευμα, κοινὴν ἄθροισιν θέσθαι, κἀκεῖνα ἐν αὐτῇ διαπράξασθαι, οἷς οὐκ ἂν εἴη μὴ τὸ πᾶν γενέσθαι κατὰ γνώμην αὐτῷ· καὶ οἱ εἰς τοῦτο κοινωνοὶ καὶ συλλήπτορες ἐκεῖνοι καὶ πάλιν μεθ' ὧν, καὶ δι' ὧν, ἐκβεβηκὼς ἰδεῖν ἅπαν ἴσχυσεν καταθύμιον, οἱ περίβλεπτοι τῶν ἐν ἀνακτόροις ἑταίρων, οἱ σθεναροὶ, καὶ κραταιοὶ, καὶ ἀπρόσμαχοι, καὶ πᾶν θ' ἁπλῶς περιάγοντες ὡς βεβούληνται, τούτοις τάχος ὅσον βασιλικὰ πανταχοῦ κελεύσματα καταπέμπονται, τοὺς αὐτῶν τε, καὶ τοῦ περὶ ὧν ὁ λόγος τάγματος, παρακελευόμενα μὴ μελλήσαντας ὁπωσοῦν, εἰς ἕνα χῶρον σπουδῇ συνδραμεῖν· καὶ ὁ χῶρος τὸ Ἀτραμύτιον 1)· γίνεται τοῦτο· καὶ πάντες εἰς ταυτὸν συναγείρονται· εἶτα τί; λίαν ὑψηλῶς καὶ ὑπερφυῶς, καὶ οὐκ ὡς ἄν τις οἰηθείη τῶν χαμερπῶν, τὸ ἀμφισβητούμενον διαλῦσαι παραθαῤῥύνονται, καὶ πρὸς τόδε συμφωνίας συνέρχονται· θυμιατηρίου καινοῦ σφυρηλατηθέντος, τῶν ἁγνῶν ὡς εἴη καὶ ἀμολύντων· καὶ πεπυρωμένων ἀνθράκων ἔσωθεν ἐμβληθέντων, χάρτας ἐπ' αὐτῶν σπινθηρακιζόντων παρ' ἑκατέρων τεθῆναι
cod. f. 53. b. μερῶν· καὶ οὐκ ἔσται πάντως οὐχ ὅπως ἐν τούτοις μέγα τι, καὶ τῶν κομιδῇ παραδόξων τελεσιουργηθείη τρανῶς· εἴπερ κατὰ προφανοῦς κακίας τῆς προβάσεως ἐκκλησιαστικῆς ἐργασίας, τοῦ συνθήματος τὸ κεφάλαιον, ἀμφοτέρων κατ' αὐτῆς διατεινομένων ὑπερβαλλόντως μαχέσασθαι· τῶν μὲν καθαρῶς καὶ ἀπὸ πρώτης εἰπεῖν εἰσβολῆς ἄχρι τέλους, καὶ παρὰ τοῦτο παρ'

negotium conficere potuerat, ut omnes congregatos caperet, seque non sola potentia nixum demonstraret, quid agit? Aliud valde astutum nec facile praevisum inventum excogitat, generalem videlicet indicendi conventum, ibique eam rem peragere, quam aliter ex sententia sua non erat conclusurus. Consilii huius participes adiutoresque fuerunt illi, quibuscum et per quos elatus quodvis volupe explere poterat. Hi erant nobiles in aula regia amici, validi, potentes, inexpugnabiles, cuncta ad suum libitum circumagere soliti. Per hos ilico regia quaquaversus edicta mittuntur, quibus cuncti, quos de praedicto ordine diximus, absque ulla mora iubentur in unum locum festinanter concurrere. Erat autem locus Atramytium. Fit hoc, cunctique una congregantur. Deinde quid? Alte admodum et supernaturaliter, quomodo nemo terrae incola existimasset, controversiam adgrediuntur solvere, idque voto concordi deliberant. Thuribolum novum malleo nuper elaboratum, ut purum impollutumque esse appareret, ardentibus introductis carbonibus replent, chartasque supra dictas prunas ab utraque contendentium parte iniiciendas esse decernunt; nec defuturum mox grande aliquod et insigne prodigium. Etenim contra manifestam nequitiam initi ecclesiastici negotii, quod erat foederis caput, utriusque partis homines enixe pugnabant; aliis quidem pure a primo ingressu ad finem, ideoque sibi primatum iure vin-

1) Contentio haec (cuius causa fabula atramytena excogitata fuit) non erat inter Romanorum studiosos vel osores, sed inter Arsenianos et Iosephianos quorum utraque pars patriarcham de proprio coetu eligi volebat adversus Cyprii ambitionem. Res atramytena narratur etiam a Pachymere in Andronico lib. I. 22.

αὐτοῖς εἶναι τὸ πρωτεῖον εὐλογουμένων· τῶν δὲ εἰ καὶ μὴ πρώην, ἀλλ' οὖν μεθ' ὕστερον ἰσχυρὰ δεδρακέναι, καὶ ἔτι μᾶλλον δρᾶσαι διενισταμένων, ὅσα καὶ δυναμένων τὰ μέγιστα, καὶ διὰ τοῦτο πᾶσιν ἀξιοπαραδέκτων ἐπὶ τῇ ὑπεροχῇ καθισταμένων τοῦ ἀξιώματος· ἐφ' ᾧ καὶ τὸ πέρας τοῦ καταντήματος· ὡς εἰ μὲν ἑκατέροις οἱ χάρται, παννυχίοις δεήσεσι προσκειμένοις τοῦ θυμιατηρίου ἐντὸς, πώμασι καὶ σφραγῖσιν ἀσφαλῶς κεκλεισμένου καὶ μετέπειτα διανοιγουμένου, σῶοι καὶ ἀβλαβεῖς τηρηθεῖεν, ἄμφω θαυμαστοὶ καὶ λαμπροὶ, καὶ παρὰ θεοῦ κἀνταῦθα λαβόντες τῶν πόνων ἀξίας ἐπικαρπίας προβάλλεσθαι οὐκέτι τὸ διχονοεῖν, ἀλλὰ τὸ ὁμονοεῖν πρὸς ἀλλήλους αἱρήσονται· ὑφ' ἑνὶ καθηγεμόνι τῷ ἐφ' ᾧ ταῦτα μὴ ἀμφιδοιαζομένῳ τὸ ἀπὸ τοῦ δὲ μηδέ τινι· εἰ δὲ τοῦ ἑνὸς καταναλωθέντος, ὁ ἕτερος ἀσινὴς φυλαχθείη, εἰ μὲν τοῦ ἔγγυς ἐνσεσημασμένου τὸ αὐτὸ καὶ πάλιν ἐσεῖται· φαίην δ' ἂν ὅτι καὶ μᾶλλον παρόσον πρὸς τῇ ὑποταγῇ, καὶ αἰσχύνην οἱ τοῦ ἑτέρου μέρους ὀφλήσουσιν· εἰ δὲ τούτων ὁ ἀθεγὴς εὑρεθείη ἐκείνου δὲ ὀπυρπολυθεὶς, ὑποχωρήσαντος παρευθὺς, τὴν νικῶσαν οὗτοι δεόντως ἀποίσονται, καὶ τὴν ἐκκλησίαν ὁ κυβερνήσων ἐξ αὐτῶν ἀναμφιβόλως ἀναφανήσεται· τούτων οὕτω συντεθειμένων, καὶ ἀτελοῦς ἔτι τῆς διαιρέσεως ἀναφαινομένης, κατὰ τὴν εἰς θάτερον καὶ αὖθις ἐπωφειλημένην ἐμπεριχώρησιν· ὡς εἰ καὶ ἀμφοῖν δηλαδὴ τοῖν χάρτοιν τὸ κατακαῆναι συμβαίη, τί λοιπὸν τὸ γενησόμενον; τοῦτο γὰρ ἦν ἐναπολειφθέν· οἱ μὲν τοῦ Κυπρίου εὖ εἰδότες ὅπως ἔχουσι τὰ τοῦ πράγματος, καὶ ὅπη ἂν τὰ τῆς ἐπιχειρήσεως λήξωσι, τῶν συνθηκῶν καὶ τοῦτο γενέσθαι, τῶν εἰκότων εἶναι προέτεινον· οἱ δὲ τῆς ἑτέρας συνδιοικήσεως, καὶ τὸ ποσῶς τοιοῦτον τί τῷ νῷ παραδέξασθαι, μή τι γε καὶ ἐρεῖν ἀπεμφαῖνον ἔκρινον καὶ cod. f. 54. a.

dicantibus: aliis autem etsi non ab initio, sed postea fortia agentibus, et adhuc magis agere paratis, ceu qui plurima vi pollerent, ideoque cunctorum iudicio in sublimi gradu constituti fuissent. Ergo siquidem chartae ab utraque parte iniectae, non sine vigilibus tota nocte precibus, intra thuribolum operculis et sigillis bene conclusum, et deinde apertum, incolumes indemnesque servarentur, ambae partes habeantur mirificae et spectabiles, et a Deo nunc etiam dignum laborum praemium consecutae; nec ulterius dissentire, sed concordare invicem decernent sub uno duce, de quo nemini deinceps dubitare liceat. Quod si una charta consumpta, altera indemnis permanserit, si nempe illa proxime signata, eodem statu fuerit, aio utique, praeter subiectionem, opprobrio quoque qui sunt in contraria parte adfectum iri. Sin vero ex his alterutra charta intacta comperietur, alterius autem partis exusta disparuerit ilico, victoriam ii merito consequentur, et ecclesiae ex ipsorum numero gubernator absque dubio deligetur. His ita de compecto decretis, imperfecta adhuc discriminatio erat ad alterutrius sortis necessarium exitum: nam si utrique chartae comburi contingeret, quid deinceps foret? hoc enim definiendum supererat. Cyprii sane adseclae probe sciebant, quid hoc negotii esset, et quinam futurus exitus; foederis nimirum futuri hoc signum habendum. At contrariae partis alumni, foedus hoc qualecumque in mentem recipere, nedum verbis confirmare, absurdum inauspicatumque iudicabant, ceu non liceret, nec prodigiosum quid fieret extra susceptum propositum, cuius causa certamen tan-

ἀπαίσιον· ὡς οὐκ ἐξὸν ὅλως μὴ τεράστιον οἷον συμπερανθῆναι παρὰ τὸ τῆς ὑποθέσεως, καθ᾽ ἧς ὁ τόσος ἀγὼν εἰς κακίαν ὁμολογούμενον· ὅμως τῶν ἄλλων τὸ μὲν τὸ τοῦ αἰτουμένου ἀναγκαῖον προβαλλομένων, τὸ δὲ καὶ ἄλλως ἀντεπαγόντων ἠπίως, ὡς οὐδὲν τὸ κωλύον εἰ τοῖς συμπεφωνημένοις ὑποθετικῶς καὶ τοῦτο παραληφθήσεται, σχολῇ καὶ μόγις ἐπακουοὶ καθίστανται καὶ αὐτοί, καὶ ὡς τὰ τῆς διενέξεως ἀποθέσθαι· καὶ εἰ τοῦθ᾽ οὕτως ἀποβαίη, συγκατανεύουσι· καὶ τὸ ἑξῆς ἐμπεδώσεις στεῤῥαὶ δι᾽ ἐγγράφων ἀσφαλειῶν ἀπαρτίζονται, μηδαμῶς τι τῶν κοινῇ συνεπηγγελμένων ἀθετηθῆναι, μετὰ τὸ καταφανὲς γενέσθαι τὸ ἐκβησόμενον· εἶτα πρὸς τὸ ἔργον ὁρμή· καὶ πανθ᾽ ὁμοῦ πρὸς αὐτὸ συντρέχοντα, καὶ συναμιλλώμενα· τὸ θυμιατήριον εὐτρεπές, ἡ ἀνθρακία σωρηδόν, φλογερὸν ἔνδοθεν ἀπαστράπτουσα· αἱ ἐπὶ ταύτης χαρτῶαι θέσεις· αἱ ὁλοσχερεῖς στάσεις, αἱ δι᾽ ὅλων νυκτῶν ἀϋπνίαι, cod. f. 54. b. τὸ τῆς ἱκετείας ἔντονον καὶ θερμόν, τ᾽ ἄλλα ὁπόσα συνέδραμεν, οἷς ἑπομένως καὶ ἡ ἔκβασις συναντᾷ· καὶ εἰ μὴ θαῦμα, τέως δ᾽ οὖν ὁλοκαύτωμα τὰ θέντα τέλειον δείκνυται, θυμίαμα καπνῶδες εἰ καὶ μὴ εὐῶδες, ὁλοκλήρως προσψαύσει μόνῃ δαπανηθὲν καὶ εἰς ἀτμὸν καὶ κόνιν διαλυθέν· πολὺς ἐντεῦθεν ὁ δι᾽ ὃν ἡ κοινὴ αὕτη παραδοξοποιΐα μεγαλουργὸς ἄλλος, ἢ μᾶλλον τερατουργὸς ἀπαράμιλλος· καὶ πῶς γὰρ οὔ; δεδικαιωμένος οὕτως ἀναφανείς, καὶ τοῦ λοιποῦ καθεστὼς μὴ ἀμφισβητήσιμος· ἐκπληρωταὶ τῶν συνθηκῶν οἱ συνθέμενοι προσάγουσι, διδόασιν ἑαυτούς, ὑπείκουσιν, ὑποτάττονται· ἐξαίρεται τοῦ μέσου σκάνδαλον πᾶν· ἀποῤῥαπίζεται τὸ ἀμφιῤῥεπές· τὸ ὁμόγνωμον ὡς ἐν ἀκλινεῖ καὶ παγίῳ παῤῥησιάζεται· καὶ τὸ τοῦ σπουδάσματος ἐφετόν, ὡς εὐσταθὲς λαμβάνει συμπέρασμα.

πζ΄. Καὶ τὰ μετὰ ταῦτα, τίνα; εἰ κατορθώματος τηλικούτου χωρίς, εἰ

tum nequitiae vertebatur. Simul vero aliis postulati necessitatem ingerentibus, et clementer etiam urgentibus, quasi nihil obstaret, quominus id quoque ad concordata hypotetice adsumeretur, aegre ac vix illi pariter consentiunt; et ut discordiam omittant, si haec ita evenerint, annuunt. Et deinde firmae promissiones per scripta testimonia fiunt, nil quod communiter conventum fuerit abolendi, postquam rei eventus patefactus sit. Mox ad opus incumbitur, cuncta simul idonea conferuntur, thuribolum paratum, carbones cumulati qui flammam intus iactabant, super his chartae impositae, perpetuae stationes, noctes totae vigiles, precum instantia et fervor, et alia his comitantia; quae conveniens exitus subsecutus est. Et si minus miraculum, certae impositae chartae perfecti instar holocausti fuerunt; thymiama fumosum, si minus odoratum, solo tactu totum consumptum, et in vaporem cineremque evanescens. Hinc magnus evadit ille cuius gratia hoc commune prodigium, grandium rerum auctor novus, vel potius thaumaturgus incomparabilis. Quid ni enim? sic comprobatus apparuit, et posthinc praesul non dubius. Ad rei conventae exsecutionem, qui pacti fuerant, adsunt; semet tradunt, obediunt, subditi fiunt; omne de medio tollitur scandalum, excluditur titubatio, concordia secura et firma fiducialiter creditur, totiusque moliminis studium stabilem sortitur conclusionem.

87. Quaenam vero posthinc evenerunt? Si absque hoc facinore, nondum edito

τοιαύτης μήπω τελεσθείσης θαυματουργίας, εἰ μὴ οὕτως ἠδρασμένου τοῦ ἐν τούτοις ἡγεμονεύοντος, τοσαῦτα πέπρακται καὶ διήνυσται παρ' αὐτοῦ, πῶς ἔμελλεν ὁ τοσοῦτος νῦν ἠρεμήσειν μετὰ μεγάλην οὕτω σύστασιν ἑαυτοῦ καὶ βεβαίωσιν ἐπὶ μεγάλοις καὶ ἀξιαγάστοις ἀποτελέσμασι; μέν τοι γε καὶ οὐκ ἠρεμεῖ· ἀλλ' εὐθὺς μετὰ τῶν ὧν ποιήσειεν ὑφ' αὐτὸν ἐπιστοιβάζων τὰ κατ' αὐτοῦ οὗ τὸν θρόνον ὑφαρπάσας αἱρεῖ, πάντας ὑφ' ἓν ἀπαξαπλῶς καθαιρεῖ τοὺς κανονικαῖς ψήφοις καὶ χειροθεσίαις παρ' αὐτοῦ χειροτονηθέντας ἐν ἀρχιερεῦσι καὶ ἱερεῦσι, καὶ λειτουργικῷ διακόνων πληρώματι· καὶ δευτέρᾳ πληγῇ τοὺς τῇ προτέρᾳ ἐναπολειφθέντας μετέρχεται· καὶ ἀπωθεῖται πάμπαν καὶ ἀποσκορακίζει ὡς βδελυκτούς· καὶ λαμπρὸν τοῦτο βραβεῖον τῷ λαμπρῷ πρυτανεύει μεγαλουργήματι, παράδοξον ἐπὶ παραδόξῳ πρακτέῳ κανόνα τοῦτον ἐκθέμενος, καταδίκην τοιαύτην πᾶσι τοῖς διηγγελμένοις ἐπάγοντα, πλήν τινων ὀλίγων πάνυ ἱεραρχῶν, ὡσεὶ δύο ἢ καὶ τριῶν οὓς ἠβούλετο, καὶ οὓς περιποιήσασθαι διομολογεῖ, καὶ λοιπῶν ἱερατικῶν προσώπων ὁρίοις ὡρισμένοις θεωρουμένων· τὰς διαστολὰς καὶ ταύτας προσφυῶς ταῖς ἑτέραις ἐφαρμόσας νομοθεσίαις, ἐκ τῆς ἧς ἔσχεν ἐγκυκλίου τῶν μαθημάτων παιδεύσεως· ἔδει γὰρ ξενακούστων ἐνεργηθέντων σημείων, ξενακούστους προαχθῆναι καὶ ἀποφάσεις, καὶ θεσμούς· καὶ μή μέ τις οἴκοθεν ὀνομάζειν ἀστεϊσμοῦ χάριν τὸ καινὸν ἔργον τοῦτο ταῖς τῶν λέξεων εἰρημέναις οἰήσαιτο· οὐ γὰρ ἡμεῖς, αὐτοὶ δὲ μᾶλλον οἱ κατορθώσαντες τοῦ τὸ τοιοῦτον οὕτω διαγορεύειν διδάσκαλοι διαπρύσιοι, θεοσημίαν ἔστιν οὗ γεγραφότες, καὶ μεγαληγόρως οὕτω καλεῖν εἰς ἐπήκοον οὐκ ἀπαξιώσαντες· ἴσασι γὰρ μονονοὺ πάντες, ἐπεὶ τῶν διηγουμένων οὐδὲν ἀποκεκρυμμένον ἡμῖν, ὅτι μὴ καταφανὲς πάντῃ καὶ ἐγνωσμένον, τὴν ἐκ τοῦ cod. f. 55. a.

tanto prodigio, si re huiusmodi adhuc ducatu suo non patrata, hic talia agere ac peragere potuit, quomodo inquam talis vir nunc quiesceret post tantam sui commendationem et confirmationem magno miroque cum successu? Profecto non quiescit, sed statim cum sibi subiectis globatim contra illum irruens cuius sedem usurpaverat, cunctos ad unum simul deponit, qui canonicis suffragiis et electionibus ab illo ordinati fuerant, episcopos videlicet, sacerdotes, cum administratorio diaconorum coetu. Deinde secundo ictu, eos qui primum evitaverant, aggreditur, expellitque omnino ac protrudit tamquam profanos, splendidamque hanc palmam splendido suo addit facinori, miraculum supra miraculum patrans, canone hoc proposito, quo tanta damnatio praedictis inferebatur; paucis aliquot exceptis sacerdotibus, duobus ferme vel tribus, quos ipse voluit, et quos sibi adquisivisse fatetur, et sacris hominibus ceteris qui in finitimis montibus vitam contemplativam agebant: has nimirum distinctiones, quasi interpunctiones, egregie accommodans legum lationibus pro sua encyclica scientiarum institutione. Decuit enim inauditis patratis miraculis inaudita pariter adiungi decreta, nec non canones et constitutiones. Nec vero quisquam me sponte mea, ioci causa, novum hoc opus praedicto vocabulo appellasse putet; non enim nos, sed ipsi potius rei auctores ita nuncuparunt clari magistri, qui diserte miraculum scripto et elata voce sic appellare in publico auditorio non sunt dedignati. Sciunt enim prope omnes narrationi meae nihil inesse, quod occul-

Ἀτραμυτίου τοῦ καινοῦ ἀριστέως ἐπάνοδον, ὅπως αὕτη μεγαλοτρεπὴς ἐγεγόνει, καὶ μεθ' οἵας οὕτως εἰσῄει βοῆς καὶ παρασκευῆς, τὸ περίκλυτον τῆς τοῦ θεοῦ λόγου σοφίας ἀνάκτορον, καὶ τὴν τότε δημώδη συνδρομὴν ἐκ προσκλήσεως, ἢ μᾶλλον τῶν τὰς δημοσίους διενεργούντων ὑπηρεσίας, σφοδρᾶς καὶ ἐπιτεταμένης ὠθήσεως, καὶ τὰς τηνικαῦτα διατόρους δημηγορίας, τὰς ἐνδιασκευοὺς καὶ λεπτομερεῖς ἀφηγήσεις, τὰς διαταγάς, καὶ τὰς ὑποθήκας ἐγγράφους τε καὶ ἀγράφους, ὅπως τὸ πᾶν τῆς συγκροτηθείσης συνόδου θείη καλῶς, καὶ πάντες ὑποταγεῖεν αὐτῷ, ἐν οἷς καὶ ἡ θεοσημία διαῤῥήδην κηρυττομένη· καὶ ὡς οὐχ ἕξει τίς ἐπ' ἀδείας τουνθένδε τὸ παράπαν ἀποδιΐστασθαι· ἴσασιν ἀληθῶς καὶ ὅθεν οὕτω μοι τὸ λέγειν καὶ γράφειν τὸ τελεσθέν, εὐμαθὲς ἔχουσι καὶ εὐμύητον.

cod. f. 55. b.

πη'. Ἀλλὰ τὰ μὲν περὶ τῆς συμβάσεως τῶν ἐντεῦθεν ὑπηγμένων ἀνδρῶν, καὶ τῆς ἀσφαλοῦς ὁμονοίας, ὅπη περ ἐντελῶς ἔτι λήγει, καὶ πεπερασμένως οἷον ἀποκαθίσταται, τῷ καταλλήλῳ τόπῳ προϊὼν ὁ λόγος ἐρεῖ· νῦν δ' ἄλλον ἀγῶνα τοῦ τροπαιοφόρου τοῖς ἐξαισίοις ἄθλοις ἐπὶ τοῦ μέσου παραγαγεῖν προτρύνεται· βούλομαι μὲν εἰπεῖν τελευταῖον, ἅτε τοῖς μὴ κόρον ἐκ τῶν καθ' ἡμέραν καινουργουμένων λαμβανούσης κακίας εἰς ἄκρον ἱκόμενον· πείθει δέ με μηδαμῶς τουτὶ καταφάναι, τὰ καθ' ἑκάστην ἄλλα ἐπ' ἄλλοις τῷ εὑρετῇ τούτων εὑρισκόμενα καὶ καινοτομούμενα φοβερὰ καὶ περίπυστα· ὅμως ἔσχατον πρὸς τὸ παρὸν λογικὸν ἐγχείρημα ὀνομάσαι, εἴη ἂν μοι οὐκ ἀπεικός, ἔνθεν ἔχοντα τὰς ἀρχάς. Τῆς οἰκείας ἀπηνῶς ἀπεληλαμένος καθέδρας, κἂν τῇ πόλει Προυσάεων ὑπερόριος ἀφιγμένος ὁ ἐν ἀρχιερεῦσι θεοῦ χαριτώνυμος, ἐξ ἀρχῆς ἣν μελέτην ποιούμενος ἀπαραίτητον, ὡς μοι προϋποκέκρου-

tum sit. Nam manifestissimus etiam fuit atque notissimus ille ex Atramytio novi herois reditus, quamque fuerit magnificus, et qua cum acclamatione atque apparatu ingressus sit in inclytam sapientiae Dei Verbi basilicam, quam studiose concitatus populi concursus, aùt illorum potius qui populi vicem gerebant, quam violentus et imperatus ad haec impulsus. Tunc clamosae conciones, tunc ornatae accurataeque narrationes, tunc ordinationes dispositionesque scriptae et non scriptae, ut omnia celebratae synodi acta rata haberentur, cunctique ei morem gererent: inter quae miraculum quoque illud diserte publicatum fuit; et quod nemini in posterum facultas foret ullatenus dissentiendi. Sciunt enimvero unde haec facta narrare et scribere mihi licuerit; recte inquam id noverunt et conscii sunt.

88. Sed enim quae pertinent ad conventionem cum seductis illis hominibus initam, stabilemque concordiam, quae iam plane dilabitur, paeneque finem attingit, idoneo loco reliqua nostra dicet oratio: nunc luctam aliam nostri triumphatoris cum eximiis praemiis in medium adducere festinat; extremum dico et summum non satiatae quotidianis novitatibus nequitiae facinus. Suadebant quidem mihi ne hoc in lucem proferrem, eae quae quotidie sibi succedunt inventoris huius excogitationes, et terribiles famosaeque novitates; nihilominus ut postremum hoc nuncupem verbale facinus, non est inconveniens, cuius iam narrandi initium facio. Pulsus a propria sede, et in urbe Prusa exulans pontifex Dei Iohannes, hoc ab initio firmum ha-

σται, ὅπως ἂν μικρὸν τοῦ τοσούτου λωφήσαντος κλύδωνος, εἰς μέσους αὐτὸς καταστὰς τοὺς αἰτίους καὶ διερεθιστὰς παῤῥησιάσαιτο τὴν ἀλήθειαν, ὡς ἐπὶ ἀφορμῇ χρηστῆς καὶ θεοφιλοῦς πραγματείας, τῆς τῶν ἐκκλησιῶν οἰκονομηθείσης πρίν φημι συνελεύσεως, ἀθέμιτα εἶεν δρῶντες καὶ ἔκτοπα· καὶ διαβολὰς ἐπὶ διαβολαῖς χαιρεκάκως ἀρτύοντες, καὶ εἰς μέγα σκαιωρίας ἐπαίροντες, καὶ ὡσεὶ μόνον ὀλίγης ἀδείας τυχὼν κατορθῶσαι δυνηθείη τὸ σπουδαζόμενον, καὶ λαλῆσαι ὡς βουλητὸν, ἀλογῆσαι μετέπειτα πάσης ἐλευσομένης κακώσεως, καὶ εἰ τῶν λίαν ἀφορήτων, καὶ τῶν εἰς θάνατον· ἔχων οὖν ἀειμέριμνον τήνδε μελέτην, καὶ τὰ τῆς τρικυμίας καθεκάστην μανθάνων ἐπεγειρόμενα, καὶ μᾶλλον τοῦ δυναστείᾳ κατασχόντος, ἐξότου τὴν ἐκκλησίαν ἡ τυραννὶς ἐπιχωριάσειεν, ἐπὶ πλέον μὲν ὅσον ἐντεῦθεν πρὸς τὸ κατὰ σκοπὸν ὑπηλείφετο· τὰ κατ᾽ αὐτὸν εὖ εἰδὼς ἐς ὅσον ἀτοπίας προυχώρησε· πρὸς δέ γε τὸ καθημέραν τουδὶ καὶ τῶν ὑπασπιστῶν σκαιουργίαις τὰ τῆς ταραχῆς ἐπιτείνεσθαι ἀφορῶν, διηπορεῖτο τίνα ἂν μεταχειρισάμενος μόνην δοίη τῷ ἐφετῷ παρεισένεξιν· πολλὰ γοῦν διανοηθεὶς, μόγις εὑρίσκει τὴν τοῦτο θήσουσαν μέθοδον, καὶ πρὸς αὐτὴν εὐθαρσῶς διανίσταται· ἐπιστολὴν οὐκοῦν ἐγχαράττει ἐγκύκλιον, καὶ διασπείρει ταύτην ἁπανταχοῦ, δικαστήριον δι᾽ αὐτῆς ἐκκαλούμενος, εἰς κοινὴν ἀκρόασιν θεῖναι τὰ κατ᾽ αὐτὸν ἐξαιτούμενος· καὶ δεῖξαι ὅπως ἐπὶ διαφορᾷ μὲν δογμάτων αὐτὸς διαβάλλοιτο, ὅπη δ᾽ ὁ τὸν οἰκεῖον ὑφελόμενος θρόνον, καὶ οἱ σὺν αὐτῷ τὰ τῆς διαβολῆς συνιστῶντες πολυειδοῦς κακίας προέκοψαν· καὶ τοῦτο ποιεῖ πρὸ τοῦ τὴν ἐν Ἀτραμυτίῳ συγκροτηθῆναι περιλάλητον σύνοδον.

πθ´. Τῆς οὖν ἐπιστολῆς πανταχόσε διϊκνουμένης, ἐγκρατεῖς αὐτῆς καὶ οἱ

cod. f. 56. a.

A different account of the immediate occasion of the Council of Blachernae

buit propositum, ut a me superius subindicatum fuit, statim ac parumper tempestas tanta deferbuisset, medium se constituens inter accusatores et provocatores, confidenter veritatem defendere, more boni ac religiosi tractatus de procuranda ecclesiarum unione, ante quam enormia et insana fierent, et hi calumnias calumniis addentes in magnum perversitatis barathrum delaberentur. Quod si exiguam saltem facultatem impetraret voti sui exsequendi libereque loquendi, neglecturus erat deinceps quicquid mali sibi eveniret, quantumvis intolerabile vel etiam mortiferum. Igitur cum hanc curam semper mente revolveret, et procellam quotidie consurgentem cerneret, praesertim ab eo qui potentia nixus perstabat, ex quo ecclesia tyrannide premi coeperat, magis adhuc ad scopum hunc se intendebat, res illius in quantam indignitatem venissent probe cognoscens; praetereaque quotidie videns, Cyprii eiusque satellitum improbitatibus colluviem malorum increscere, aestuabat animo quemnam nancisceretur consequendi voti aditum. Multis itaque consideratis, vix denique invenit huius rei expediendae rationem, quam animose amplexus est. Epistolam ergo scribit encyclicam et quaqueversus diffundit ad iudicium provocans, atque ut ad publicum auditorium causa deferretur postulans; demonstraturus, quomodo de dogmatum diversitate accusaretur, et quousque is qui eius sedem invaserat, eiusdemque adseclae calumniis struendis ad multifariam perversitatem prorupissent. Idque egit, ante quam illa Atramytii congregaretur famigerata synodus.

προσεχῶς διειλημμένοι καθίστανται· καὶ παραυτὰ πρὸς τῇ τῶν ἐκκλησιαστικῶν κατοχῇ, καὶ τὰ τῆς σωματικῆς δυναστείας αὐχοῦντες λόγοις, οἷς μοι πλειστάκις διήγγελται, τοὺς τηρήσεσι καὶ φυλακαῖς τὸν στείλαντα βαρυτάταις τηρεῖν καθέξοντας ἐν τῇ ὑπερορίᾳ ἐξαποστέλλουσιν, ἐξ ἑκατέρων τῶν ἐν ἀρχείοις ταγμάτων ἀπολεξάμενοι· ὧν τοῖς μὲν ἐκ τῆς ἡμετέρας οὖσι φυλῆς ἡ
cod. f. 56. b. προσηγορία παραμοναὶ, τοῖς δὲ ἐξ ἐθνικῆς καὶ ἀλλοδαπῆς βάραγκοι προσηγόρευται· καὶ πρώτην αὐτῷ δικαστηρίου τήνδε θύραν ἀνοίγουσι, μηδαμῶς ἐπ' ἀδείας ἔχειν τῶν ἁπάντων διομιλῆσαι τινὶ, μὴ διαμηνύσασθαι· καὶ ἦν οὕτω τὸ λοιπὸν ἰσχυρῶς φυλασσόμενος· ἐπεὶ δὲ τῆς ἀσφαλείας οἱ φροντισταὶ, καὶ τὰ κατὰ τὸ Ἀτραμύτιον διανύσαντες ὡς δεδήλωται, πρὸς τὴν Βύζαντος ἐπανήκουσιν, σκέψει καὶ πάλιν τὰ τοῦ φρουρουμένου διδόασι, συνορῶντες ὅπως ἡ παρ' αὐτοῦ πεμφθεῖσα ἐπιστολὴ διαδράμοι πάντας σχεδὸν, καὶ ὡς ἀφ' οὗ στελείη συχνοῦ παρῳχηκότος καιροῦ μὴ διαλίποι οὗτος περιφανοῦς ἐντὸς καθειργμένος καὶ πολυανθρώπου σεμνείου, τὰ αὐτὰ καὶ αὖθις ἐπιβοώμενος τῶν μοναχῶν εἰς ἐπήκοον, τῷδε μὴ παραχωρουμένων πλησιάσαι τὸ σύνολον· ἐνθέν τοι καὶ τὸ πᾶν δράσειν δυνάμενοι ὡς βεβούληνται, ἤθελον μὲν μεταστείλασθαι τοῦτον, καὶ αὐτοπαρόντα καταδικάσαι, ὡς ἂν εὐπρόσωπα πράττειν δόξαιεν τοῖς πολλοῖς· ἐννοούμενοι δ' ὁποῖα τούτῳ τὰ τῆς προθέσεως, ὡς λαλῆσαι μὲν παῤῥησία, καὶ διαλεχθῆναι περὶ ὧν ἔχει ἐρεῖν, καὶ δειμαίνοντες μή ποτε καθαρῶς ἐντεῦθεν ἀλλοιωθείη, ἅπερ ἡ φήμη σφίσι κραταιωθεῖσα παντοίοις λόγοις καὶ τρόποις εἰς διαβολὴν κατ' αὐτοῦ διεσκέδασε, καὶ πρὸς τούτοις ἔλεγχον τὸν περὶ αὐτὸν, οἷς πολυσχιδῶς καὶ πολυελίκτως ἑαυτοὺς εἰδοῖεν μετελθεῖν τὰ τῆς ὑποθέσεως, τὸ μετακαλέσασθαι ἀνεβάλλοντο· καὶ ἦσαν

89. Epistola igitur per omnem locum delata, ea potiuntur etiam illi de quibus proxime diximus; statimque praeter ecclesiasticarum rerum occupationem, corporali quoque sua potentia gloriantes, verbis quae ad me saepissime delata sunt, homines qui epistolae auctorem custodia durissimoque carcere tenerent, ad exilii locum mittunt ex utroque palatino ordine delectos; quorum qui de nostro genere sunt, appellantur vigiliae; qui autem ex ethnica vel quavis regione, baranchi dicuntur. Atque hanc primam patriarchae nostro ianuam ad tribunal patefaciunt, nempe ne ullam colloquendi cum aliquo copiam habeat, nec quicquam significandi. Ac de reliquo valide custodiebatur. Postquam qui custodiendi illius curam gerebant, negotium sic suum Atramytii confecerunt, ut diximus, Byzantium revertuntur, captivi hominis negotium nova consideratione disquirunt, et quomodo missa ab eo epistola ad omnes dimanasset. Et ne post illam missam multo iam transacto tempore, hic insigni ac numeroso inclusus monasterio eadem ad aures monachorum recineret, dant operam ut his ad illum aditus non pateret. Exin cum omnia pro libito agere possent, volebant equidem hunc ad se vocare, praesentemque condemnare, ut aequa facere multitudini viderentur: sed mox reputantes, quale huic argumentum prae manibus esset, quam loqui promptus et disputare de iis quae assereret; timentesque ne hinc liquido perverterentur, quae ipsi diffamatione constante, omni verborum et artificii genere, causa ipsius accusandi vulgaverant; praetereaque refutationem formidantes

ἐπὶ τούτῳ μέχρι πολλοῦ φροντίσι συχναῖς διαμεριζόμενοι· ἐρήμην μὲν οὖν
ἱστῶσιν αὐτοῦ τὰ πρῶτα καταψηφίσασθαι, μὴ δεῖν ὅλως ἐνδεδημηκέναι νομί-
σαντες, καὶ τὸν εἰς τοῦτο τόμον συντίθενται· κἀπειδὴ πρὸς ὑπογραφὰς ἐκκα-
λεῖσθαι πάντας παρεσκευάζοντο, καὶ τὸν περὶ τούτου λόγον ἐποιοῦντο πρὸς cod. f. 57. a.
τὰ ἀνάκτορα, ὅθεν ἰσχὺς ἅπασα σφίσι, καὶ ἡ τοῦ δρᾷν ἐξουσία ὅσα ἂν ἔχοιεν
πρὸς βουλήσεως, τῶν τινες κοινολογουμένων φᾶναι προάγονται, ὡς οὐ δεῖ τοι-
αῦτ' ἐκείνου καταπραχθῆναι, δίχα τοῦ παραγενέσθαι, καὶ κοινὸν δοθῆναι οἱ
ἀκροατήριον· καὶ ταῦτα δήλην οὕτω θεμένου, καὶ κατεσπουδασμένην τὴν πρὸς
αὐτὸ ἀναζήτησιν· ἄχρι τοσούτου περὶ τὸ εἰλικρινὲς τῆς ἀληθείας οἱ τοιοῦτοι
εὐγνωμονήσαντες, οὐ μὴν ἐφεξῆς καὶ ἐπέκεινα, τὸ μὴ παθεῖν ὑπὲρ αὐτῆς οἷα
τοῦ παθεῖν προελόμενοι· πλὴν αὐτοὺς πείθουσι τῷ τέως πρὸς οὓς ὁ λόγος καὶ
μὴ αἱρουμένους ἀποστῆναι τοῦ ἐγχειρήματος, καὶ μετάπεμπτον εἰς κρίσιν
ἀγαγέσθαι τὸν ὑπερόριον· καὶ δὴ τούτων ἑνὸς τοῦ τὴν πνευματικὴν ἀρχὴν τυ-
ραννοῦντος, ἀπαναινομένου μὲν σφοδρῶς καὶ ἀπείργοντος, παραθαρρυνομένου
δὲ βεβαίως πρὸς ὧν αὐτῷ πᾶσα πεποίθησις καὶ κραταίωσις, ὡς οὐδέν τι τῶν
ἀβουλήτων ἀποβῆναι τούτῳ συγχωρηθείη.

ϙ'. Καὶ σχολῇ κατανεύσαντες, μετάκλητος ὁ ἐν εἱρκταῖς τοῦ Θεοῦ ἀρχι-
θύτης τοῖς ἐκ τῶν βασιλειῶν ἐπὶ τούτῳ καταπεμφθεῖσι τῇ μεγαλοπόλει ἐπι-
δημεῖ, καὶ παραυτὰ τῷ πρὸ θυρῶν αὐτῆς ἱδρυμένῳ φροντιστηρίῳ τῶν θαυμα-
τουργῶν Ἀναργύρων ἐγκλείεται, ὑπὸ τοῖς αὐτοῖς οὐχ ἧττον ὅτι μὴ καὶ μᾶλ-
λον φρουροῖς καὶ φύλαξιν ὀπτανόμενος, μὴ θεατὸς γένοιτο τῶν ἁπάντων
τινὶ, μὴ δι' ὁμιλίας ἔλθῃ, μὴ δι' ἐντεύξεως, μὴ διά τινος ὁπωσοῦν τῶν
παρ' αὐτὸ φερόντων τρόπων ἀφίκοιτο· καὶ αὐτὸς μὲν οὕτως ἐπὶ τῷ δικαστη- cod. f. 57. b.

eius, quem varie et multipliciter sciebant causam hanc tractasse; appellationem illius ad iudicium differebant: atque hac super re diu variis curis distracti manebant. Solitudinem ei primum decernunt, versari in turba non debere iudicantes, et de hac re tomum componunt: cumque ad subscribendum cunctos invitassent, et eadem super re apud regiam aulam verba fecissent, unde ipsis omne robur, et omnia pro libito agendi potestas; quidam de consultoribus processerunt dicentes, non oportere talia de eo decerni ante quam praesens adesset, et publicum ei auditorium concederetur; praesertim quia ille tam publicam fecerat et contestatam huius causae quaestionem. Hactenus isti purae veritatis studium prae se tulerunt; non tamen postea nec ulterius, quia pati pro illa noluerunt. Interim persuadent illis, quos alloquebantur, invitis licet, a suscepto consilio discedere, et exulem in iudicium vocare: etsi unus ille qui spiritalem auctoritatem tyrannice tenebat, vehementer obsisteret ac vetaret; simul tamen firme confidens, ab iis qui totam ei fiduciam viresque ministrabant, numquam permissum iri ut quicquam praeter eius voluntatem accideret.

90. Aegre igitur Cyprio annuente, advocatur ex vinculis pontifex Dei, missis propterea ex regio palatio apparitoribus. Venit ad urbem magnam, statimque in eo, quod ante portas est, prodigiosorum Anargyrorum monasterio includitur, sub iisdem, nisi forte et pluribus, custodibus vigilibusque coram spectantibus, ne cuiquam extraneo foret visibilis, ne quis cum eo loqueretur, neque alio quolibet illuc modo ad eum

*

ρίου τάχα τυχεῖν προσκληθείς· οἱ δέ γε κριταὶ καὶ ἀντίδικοι, καὶ πᾶν εἴ τι τοιοῦτον ὁμοῦ, ἢ καὶ ὑπὲρ ταῦτα τυγχάνοντες, τοῖς ἀνακτόροις παραβάλλοντες καθεκάστην βουλὰς καὶ σκέψεις ἐτίθουν, πανημερίως ἔστιν οὗ, καὶ παννυχίως αὐταῖς προσπαλαίοντες, ὅπως ἂν συνέδριον δῆτα τὸ γενησόμενον ὑπέρ τε ἑαυτῶν, καὶ καθ' οὗ ἡ ἀντιδικία μέλλοντες ἀποπερατῶσαι, νομίμως νομισθεῖεν τελέσαι, καὶ μὴ λαβήν τισι δοῖεν δυναστείας ὑποίσασθαι· διαμηνύματα γοῦν σφίσιν ἐκεῖθεν πρὸς τὸν ἐν φρουρᾷ καθημέραν ἐπέμποντο, πᾶν τὸ κατὰ σκοπὸν πειρωμένοις μαθεῖν· ὁ δὲ ἦν οὐδαμῶς ἀποκρύπτων, ἀλλ' ἐξαγγέλλων ὅσα καὶ μόνῃ τῇ ἀληθείᾳ θαρρῶν, καὶ μὴ τὸ μόνος εἶναι πρὸς ὅλους εἰς ἀντικατάστασιν δεδιώς· ὃς καὶ βίβλον ὀπτὴν, ἣν ἐν τῇ ὑπερορίᾳ λογογραφεῖ, καθ' ὧν οἱ τοῦ μέρους τῶν εἰρημένων κεφαλαιωδῶς ἐν δόγμασι κατ' αὐτοῦ συντεθείκασι, τοῖς μεταστελλομένοις πρὸς αὐτοὺς, ὡς τῇ βασιλευούσῃ μόνον προσπελάσειε πέπομφεν, ἀεὶ κατάδηλα τὰ οἰκεῖα ποιῶν οὐχ ὑποστελλόμενος· ἡμερῶν μὲν οὖν ἐπὶ πλείστων παραδρομῇ, πυκνοῖς οἷά τισιν ἀκροβολισμοῖς ταῖς ἐκ τῶν ἀρχείων ἀγγελίαις ἐβάλλετο, δεινῶς ἀπειλούμενος, εἰ πρὸς τὸ δικαστήριον ἀπαντήσας, τολμήσειεν ὅλως ἐρεῖν κατὰ τοῦ τῷ οἰκείῳ θρόνῳ ἐπιπηδήσαντος· οὐ γὰρ ἕξει πλέον ἐπ' ἀδείας ἐγκελευόμενος, ἢ τὸ ὑπὲρ ἑαυτοῦ μόνον ἐπὶ τῇ τῶν ἐκκλησιῶν ὑποθέσει ἀπολογήσασθαι, ὅσον θελητὸν αὐτοῖς λαλῆσαι οἷον ὁροθετούμενος, καὶ μὴ τὸ βουλητὸν, ὥς τι τῶν
cod. f. 58. a. νενομισμένων ὁρίων ὑπερβῆναι σφίσι παραχωρούμενος, ἐκεῖνο λογιζομένοις, ὡς αὐτοὶ μὲν οὕτω τῶν ὧν συνοίδασιν ἑαυτοῖς ἀνώτεροι τηρηθεῖεν, καὶ προσέτι μεγαλουργίαν τῆς προτέρας περιβοητοτέραν ἐργάσαιντο, μεγαλόνικοι γενησόμενοι·

perveniret. Atque ita ille ut in iudicium celeriter adsit citatur. Iudices autem et adversarii, et quicquid huiusmodi hominum simul erat, vel etiam supra numerum, in aulam ventitantes quotidie consilia et deliberationes conferebant, modo tota die, modo etiam integris noctibus disceptantes, ut mox futurum synedrium, quod pro se et et contra adversarios peracturi erant, legitime celebrare aestimarentur, nec ansam quibusdam praeberent quasi praepotentiam exprobrandi. Exploratores itaque quotidie ab his mittebantur ad manentem in custodia, omnia quae scopo conferrent scire volentes. At ille nihil omnino celare, sed ultro profiteri, uni veritati fretus, neque vereri quod solus contra omnes decertaturus foret: namque et librum ostensum, quem in exilio composuerat (contra quosdam qui in praedictorum partibus cum essent, capitulatim de dogmatibus contra eum scripserant) legatis illis redeuntibus tradiderat, cum iam ad regiam urbem appropinquaret, publica semper sua faciens non subtrahens. Plurimis ergo transactis diebus, crebri quasi sagittae ex aula regia nuncii veniebant cum minis, ne cum ad tribunal venerit, quicquam dicere ausit adversus eum qi ipsius sedem inscenderat: etenim haud plus libertatis habere iubebatur, quam ut uni sibi in hoc ecclesiarum negotio patrocinaretur; sic nimirum tantum loqueretur, quantum ipsis praefinire lubebat; neque sinebatur pro sua voluntate quasi ultra legitimos fines progredi: illudque reputabant, fore ut sic ipsi quidem quae sibi ad victoriam favebant conservarent, et praeterea grande aliquod opus priore famosius ederent, postquam praeclari triumphatores evasissent.

ϛα'. Οὗτος δὲ τῆς προβάσης ἐκκλησιαστικῆς πραγματείας ὑπεραγωνιεῖσθαι συναπαχθεὶς, οἷς μέλλει τὸν ὑπὲρ ἑαυτοῦ ποιεῖσθαι ἀπόλογον, εὐθύνας τῶν πρὶν χαλεπωτέρας εἰσπράξεται, ἐλλόγους πᾶσι φανησομένας, ταῖς καθ' Ἰταλῶν ὁμολογουμέναις προλήψεσι· καί τοι τρία ἦν ἀριδήλως κραυγάζων, ἐφ' οἷς ἐζήτει παῤῥησιάσασθαι· τοῦτο τε προηγουμένως, τὸ ὑπεραγορῆσαι δή φημι ἑαυτοῦ, καὶ τὸ τὸν ἀντιδικοῦντα καθαρῶς ἀπελέγξαι δόγμασι τῶν πατέρων ἐναντιούμενον, ἀδείᾳ τοῦ καθ' ὧν εὐαπόδεκτον τοῖς πλήθεσι λέγειν, τρανῶς αἱρετίζοντα· καὶ τρίτον δεῖξαι κατὰ κανόνας ἀνιέρως τῶν ἱερῶν ἐπιβαίνοντα· καὶ εἰ πρὸς ἄμφω, ἢ καὶ ὅσων ἂν ἑτέρων ηὐπόρει, ὃς δὴ νόμος πάλης ἐστὶν, οὐκ ἔδει κατὰ τοῦ ἐναντίου μαχέσασθαι πρὸς ἓν δὲ μόνον τὸ αὐτῷ τε δόξαν καὶ τοῖς συμμάχοις δοτέον· καὶ γὰρ πῶς ἂν καὶ πρὸς τοῦτο λογική τις ὅλως ἐγεγόνει διάλεξις, εἴπερ οὐκ ἦν ἐν αὐτῇ τὸν βάλλοντα βάλλειν, οἷς εἶχεν ἐπαφιέναι λόγοις ὡς βέλεσι, καὶ δεικνύειν ὅπη ἂν ἀτοπίας ἀπάγοιτο; καὶ μάλιστα οἷς ἐβόα πρὸς ταῦτα διαυγῶς ἀποφῆναι τοῦτον παρασυρέντα τοῦ καθ' ὧν ἐπεποίθει δογματίζειν ὡς ἐν προσχήματι. Ἀλλ' οὕτως ἐδέδοκτο τὰ περὶ αὐτῶν· καὶ οὐ δέον περὶ τούτου τὸ παράπαν μακρηγορεῖν· προσώπων δὲ περὶ ὧν ἔδει καὶ αὐτὸν ἀνακαλέσασθαι τὸν δικασθησόμενον, τί χρὴ καὶ λέγειν; ἢ ὡς ἀσπαστὸν κἀπὶ τούτῳ τοῖς δυναμένοις γεγένηται· ἵνα γὰρ τ' ἄλλα παρήσω, δύο τῶν οἰκείων ἀρχιερέων ἀκροατὰς καὶ τούτους (τὸ πᾶν ἐπείπερ τοῦ ἀγῶνος ἐν δόγμασιν ἐσομένου αὐτὸς ὑπῆρχεν ἀναδεχόμενος, ὅσα δὴ καὶ θεσπισμάτων οὗτος ἐκ πατρικῶν τὴν ἐκκλησιαστικὴν εἰρήνην συγκροτεῖσθαι παραστησόμενος) αἰτήσασθαι καταντᾷ, λογιότητι τῶν συναπελαθέντων σφίσι προέχοντας, ὧν ὁ μὲν τῆς Κυζικηνῶν μητροπόλεως ἀληθὴς ἀρ- cod. f. 58. b.

91. Is itaque a defendendo ecclesiastico, qui erat in manibus, tractatu abductus, et ad sui apologiam redactus, acriter expostulat (quod rationabile omnibus visum est) de manifestis adversus Italos praeiudiciis. Et quidem tria aperte clamitabat, quorum sibi copiam fieri volebat: in primis ut pro se apologiam faceret: deinde ut adversarium diserte coargueret dogmatibus patrum contradicentem, et securitate loquendi placentia populo, manifeste haeresim docentem: tertio denique ut demonstraret illum secundum canones sacrilege sacra tractare. Et si contra duo vel alia quotlibet, valebat, ut certe lex belli est non oportere se aiebat cum adversario manus conserentem, contra id solum pugnare quod huic bellique auxiliaribus concedendum sibi videretur. Quomodo enim rationabilis disputatio ageretur, siquidem non licebat percutientem percutere, ea quae poterat loquendo vibrare tela, atque ostendere in quantam pravitatem ille ruisset? praesertim quia clarisona voce clamabat, demonstraturum se deviantem illum ab iis quibus fidebat dogmatibus, tamquam obtentui. At illis sic visum fuit: neque opus est hac de re prolixius loqui. De hominibus autem, quos iudicio contendentem pro se advocare oportebat, quid interest dicere? quoniam in hoc etiam arrisit fortuna potentibus. Nam, ut cetera omittam, duos de suis episcopis et quidem auditores (quoniam hactenus ipse totam futuri pro dogmatibus certaminis molem exceperat, patrumque auctoritates pro concilianda ecclesiastica pace exhibendi) duos, inquam, postulat, litteratura prae ceteris exilii sociis eximios; quorum unus

χιποίμην, θάτερος δὲ τῆς Νικομήδους κανονικαῖς εἰσάπαν θεσμοθεσίαις προβέβληται· καὶ παρευθὺς οἱ καὶ δοκήσεως ἄχρι τὸ συνάρασθαι οἱ φαινόμενον περιτρέποντες, τοῦ μὴ παραγενέσθαι τὸ μὴ παρεῖναι σφᾶς αἰτίαν εὑρίσκουσιν· καὶ ἦν μὲν ἀληθὲς τὸ ἀπεῖναι, ἐξορίστους γὰρ καὶ αὐτοὺς ἐποιήσαντο μετὰ τὴν ἰταμωτάτην ἐκείνην τῶν οἰκείων θρόνων ἐξώθησιν· οὐ μὴν ἀδύνατον τὸ παρεῖναι· ῥᾴδιον γάρ, εἴπερ ἠβούλοντο. Ἐπεὶ δὲ καὶ περὶ ἡμῶν ἀμφοτέρων ἐνδεδημηκέναι τῇ ἐξετάσει ἐμνήσθη, τοῦθ' ἡμῖν συγκατακρίτου χαρτοφύλακος καὶ ἐμοῦ· τί καὶ πρὸς αὐτὸ διατίθενται; δράξασθαι μὲν ἀφορμῆς, ἧς κἀπὶ τοῖς ἐγγυτάτω διαληφθεῖσι μὴ ἔχοντες, ἑκάτερος γὰρ ἦμεν, ὁ μὲν ἔν τινι τῶν κατὰ τὴν Κωνσταντίνου φροντιστηρίων, ἐγὼ δὲ τῷ ἐμαυτοῦ κελλίῳ, ἠρέμα καὶ καθ' ἑαυτοὺς ἐνσχολάζοντες, ἑτέραν μετέρχονται· ἀλλὰ τοῦτον μὲν ἐνστατικώτερον πρὸς αὐτοὺς διατεθέντα καὶ πρὶν θεωρήσαντες, τῆς μεταβολῆς ἡνίκα πρώτως ἐπεισφρησάσης, ὁ καθ' ἡμῶν πάνδημος σχεδὸν ἐκεῖνος καὶ ἀλλόθρους ὡς ἀμυδρῶς ἐνεσημάνθη τοῖς κεκινηκόσι κεκίνηται τάραχος, ὑπὲρ ὧν καὶ μᾶλλον λογοειδῶς καὶ αὐτὸς ἀνεφάνη τὴν τῶν ἐκκλησιῶν συνδρομὴν παραστῆσαι ὡς ἀγαθόν, τοῖς αὐτοῖς διδασκάλοις ἐπερειδόμενος, οὐ πείρᾳ προσβάλλουσιν, ἀπηγορευμένον ὡς οἶμαι τὸ πρὸς ἑαυτοὺς μεταθεῖ-
cod. f. 59. a. ναι διανοούμενοι· ἐμὲ δὲ μὴ τηνικαῦτα κατιδόντες ἐνστάντα λόγοις οἷς τὰ τῆς ἐπισυστάσεως ἐκείνης διηγούμενοι ἐπεμνήσθημεν, ἄλλως τε καὶ πατέρα παίδων εἰδότες, ἀτελῶν ἔτι καὶ τούτων, κἀντεῦθεν οἷς ἂν ἐθέλοιεν ἐφελκύσασθαι βεβαιούμενοι, μετελθεῖν ἑτέρως παρασκευάζονται· εἰ δὲ καὶ λοιποὶ πρὸς τοῦτο λόγοι καὶ τρόποι πεφύκασιν, οἴδασιν αὐτοὶ καὶ εἰδέτωσαν· ἡμῖν γὰρ προσῆκον τοσοῦτον ἐπισταμένοις, καὶ πρὸς μικρὸν ἐνθαδὶ τὸν λόγον εἰς τὰ

erat Cyzicenorum metropoleos verus pastor, alter Nicomediae iuxta itidem canones electus. Protinus vero adversarii, ut vel probabilem defensionem illi eriperent, causam statim inferunt quominus ei adsisterent, quod praesentes non essent. Et re sane vera aberant, quia utrumque in exilium egerant, post crudelissimam illam de propriis sedibus expulsionem. Neque tamen ut adessent, curari non poterat; nam facile id erat volentibus. Quoniam vero et de utroque nostrûm mentio incidit, ut quaestioni interessemus, de damnationis inquam consorte meo Chartophylace et de me; quid etiam circa hoc excogitant? Ansam quidem eandem capere quam in superioribus non habentes, uterque enim eramus, ille quidem in quodam Constantinopoleos monasterio, ego autem in mea cellula, solitarii ambo degentes; aliam rationem ineunt. Namque illum vehementius contra eos concitatum iam antea noscentes, quo tempore primum versa rerum vice, ille contra nos generalis et clamosus, ut breviter adnotavimus, a seditiosis factus fuit tumultus: tunc enim et Chartophylax rationabiliter admodum peroravit, ecclesiarum unitatem bonam esse demonstrando, iisdem (quibus nos) magistris fretus. Hunc isti propterea experiri nolunt, de eo ad se convertendo desperantes. Me vero cum ignorarent iis rationibus insistentem, quas dum illam seditionem narraremus commemoravimus; alioquin liberorum adhuc impuberum parentem, ideo ad suam voluntatem pertrahere confidentes, alio modo adgredi parant. Quod si forte alii praeterea sermones rationesque extiterunt, ipsi sciunt et utique sciant.

καθ' ἡμᾶς καταστησαμένοις τὰ τῆς ἐπιχειρήσεως οὕτω σφίσι, καὶ μεθόδου πρός με διαλαβεῖν.

ϙβ'. Μετὰ τὰς προτέρας ἐκείνας καθ' ἡμῶν ἐξουδενώσεις καὶ καταδίκας, καθ' ἑαυτὸν ἐκαθήμην διάγων, ὥς μοι διήγγελται, τὸ μὲν ἔργον τῆς τῶν ἐκκλησιῶν ὁμονοίας γινώσκων οὐράνιον καὶ θεοφιλές, ἃ δὲ οἱ πράττοντες ἐπ' αὐτῷ διαπράττονται τῶν ἀθέσμων πάντη καὶ ἀνοσίων· καὶ μή τι γε καθάπαξ ἐπ' ἀγαθῷ τινι πράγματι ὡς ἐνταῦθα, ἀλλ' οὐδ' ἐπὶ φευκτῷ καὶ ἀποτροπαίῳ, καὶ τῶν εἰς κακίαν ἐληλακότων ὑπερβολὴν, ἐκκλησιαστικῷ δ' ὅμως, τελεσιουργηθέντα ποτὲ τὰ χριστιανῶν, ἐξ οὗπερ ἐπισκοπῇ θείᾳ κρατεῖν ἐπὶ γῆς καὶ πολιτεύεσθαι πεφανέρωται· εἴπερ ἱστορίαι πᾶσαι καὶ πράξεις συνοδικαί, καὶ τὰ ἐντεῦθεν ἡμῖν παραδεδομένα, τὸ σαφὲς αὐχοῦσι καὶ ἀψευδὲς καὶ καθαρῶς ἀναμφήριστον· ἤμην οὕτω τῇ καθ' ἑαυτὸν ἐπιμένων σχολῇ, καὶ ἄλλους μὲν ὑπὲρ τῆς ῥηθείσης ὑποθέσεως πεπονθότας, ἀξίως δὴ καὶ τῆς πολιτείας μισθαποδοσίας μεγάλας λήψεσθαι λογιζόμενος, ἐμὲ δὲ τῶν τινῶν πολυαρίθμως μοι συμπεφορημένων ἀμπλακημάτων εὑρήσειν ἀπαλλαγήν· κἀπὶ τούτῳ ἡδόμενος, οἵαν ἄῤῥητον ἡδονὴν, ἀλήθειαν μαρτυρεῖ μοι τὸ συνειδός, ἣν παντὸς τοῦδε προεστησάμην πονήματος· καὶ εἴ μέ τινες τοῦ λοιποῦ πειράσαι θελήσαιεν, ἀπαραιτήτως ἐσκόπουν, μικρᾶς ὁπωσοῦν ἀδείας δοθείσης, ὃ καὶ πρώην ὁ λόγος ἐνέφηνε, τρανῶς ἂν ὑπὲρ τοῦ καλοῦ τῆς τῶν ἐκκλησιῶν ὁμογνωμοσύνης λαλῆσαι, καὶ παῤῥησίᾳ ἐρεῖν, ὅπως αὕτη χρηστὴ, καὶ λυσιτελὴς, καὶ φιλόθεος, κἂν ἀπώσωνται, μόνον στέρξαι, καὶ πρὸς ἑαυτὸν ἠρεμῆσαι· καὶ πάλιν, εἰ δέ γε καὶ συνθέσθαι τοῖς κατ' αὐτῆς, ὡς ἀπευκταίας ὅλως αἰτήσαιεν, ἐνστῆναι καὶ ἀνατλῆναι εἴ τι ἂν ἐπὶ τούτῳ ἐπινοηναι τελέσαι διαγνωσθείσης, ὥς μοι διέγνωσται, παντελῶς ἀδύνατον ἐνομί- cod. f. 59. b.

Nos autem decet, quatenus gnari sumus, eatenus heic breviter res nostras, et illorum adversus nos aggressiones atque astutiam exponere.

92. Post nostras illas priores clades et damnationes, mecum ipse habitabam, ut iam dixi, tractatum certe uniendarum ecclesiarum conscius caelestem Deoque gratum esse; quae vero isti contra agerent, illicita prorsus et impia: et neque umquam in bono aliquo ut heic, neque in vitando ac detestando hominum in extremam malitiam perlatorum, ecclesiastico tamen negotio inter Christianos, ex quo sacer episcopatus in terra versari et potestatem habere coepit, tale aliquid cognitum esse: quam rem historiae omnes et acta synodica, et inde nobis percepta notitia, perspicuum, verum, indubiumque probant. Ego itaque sic in otio versabar: et ceteros quidem hanc ob causam patientes, dignam vita sua magnamque mercedem percepturos reputabam, me autem multorum meorum veniam peccatorum; huiusque rei causa inenarrabili voluptate perfundebar. Conscientia mea testis mihi est veritatis, quam omni huic afflictioni praetuli. Et si qui me deinceps tentare voluissent, sine dubio cognovissent, exigua qualibet data libertate, prout etiam praecedens sermo ostendit, me pro ecclesiarum concordia locuturum, et bonam hanc esse et utilem Deoque gratam fiducialiter dicturum; eamque, quamvis ipsi renuerent, me amplexurum, et de cetero quieturum. Itemque si me forte consentire cum ipsis adversus illam quasi re-

θείη τῶν δυσχερῶν· τὸ μὲν γὰρ τῶν ἀπειρημένων τί κατ' αὐτῆς καταβιασθῆζετο· τὸ δὲ μὴ βουλομένων στέργειν αὐτὴν τῶν πρὸς τοῦτο διαπληκτίζεσθαι, οὔ μοι ἐδόκει, τῆς ἡμετέρας ἐκκλησίας ἔθιμον πᾶν, καὶ πληρεστάτως πᾶσαν παράδοσιν ἀσφαλῶς κατέχοντι καὶ πρεσβεύοντι· καὶ τί πρός με τῇ διανοίᾳ συμβαλλομένῳ, εἰ τῆς ὁμονοίας ἐκ τῶν φωτοφόρων θεηγόρων ἀστραπτομένης, οἷς ἐξ αὐτῶν ὁ τῆς ἀθανασίας καὶ μᾶλλον φερώνυμος ἐπὶ τοῖς αὐτοῖς ἔθνεσι πεπραχὼς κατεφάνη, οἷς θ' ὁ μέγιστος Μάξιμος διαῤῥήδην ὤφθη τρανώσας 1)· τὴν ἔχθραν οὗτοι περὶ πλείονος ἀνθαιροῦνται, καὶ τὰ πρὸς ἐπίτασιν ταύτης διαφερόντως ἐργάζονται, μαχέσθωσαν, ταραττέσθωσαν, εἰ βούλονται καὶ πλείω καὶ καινότερα τῶν πραχθέντων, ὡς ὁ ἀγὼν αὐτοῖς ἀτελεύτητος εἴη, δραματουργήτωσαν, ἡμεῖς ἡσύχως διαιτήσομεν ἑαυτοὺς ἐπὶ θεῷ τῶν ἡμῖν καὶ σφίσι πραγματευθέντων ἐφόρῳ καὶ μάρτυρι.

ϙγ'. Τούτοις ἐπαναπεπαυμένῳ τοῖς λογισμοῖς, ἥκει τις ἐν μιᾷ χάρτας ἐγκολπίους ἐπιφερόμενος, οὓς καὶ παρευθὺς ἀνὰ χεῖρας λαβὼν ἐγχειρίζει μοι, εἰρηκώς· ἴδε τούτους, καὶ δίελθε, καὶ μαθήσῃ ὡς οὐ μάτην ἦσαν οἱ λόγοι λεγόμενοι πρὸς ἀλλήλους πολλάκις οὕτως ἐποιούμεθα· εἴθε δὲ μάτην καὶ εἰς κενὸν, ὡς οὐκ ἔστι τοὺς τοσαύτας ἀνοσιουργίας διηνυκότας, μὴ καὶ ἐν τοῖς θείοις δόγμασι τῶν πατέρων τὴν οἰκείαν περιστῆσαι σπουδὴν, καὶ καινοτομῆσαι κακίαν νῦν πρόσφατον· ἐγὼ δὲ καθ' ἑαυτὸν ἀναγνοὺς, ζήλου ὅλως ἐπλήσθην, καὶ ἐφ' ἱκανὸν συννοίᾳ ληφθεὶς καὶ μόγις ἀνενεγκὼν, χάριτας τῷ θεῷ ὡμολόγησα, ὅτι με τῆς τῶν ταῦτα δογματιζόντων συναυλίας ἀποστῆναι προῳ-

spuendam prorsus exegissent, restiturum me et omnia quae excogitari possent mala perpessurum. Namque ad illicitum aliquid agendum contra illam tam evidenter mihi cognitam, adigi me posse, impossibile omnino videbatur. Vicissimque nolentes concordiam illam amplecti, ad eamdem vi compellere, haud mihi probabatur, qui nostrae ecclesiae morem omnem et universam plenissime traditionem teneo et profiteor. Et quidem mente recolo, quomodo concordia haec ex deiloquis luminaribus eluceat, quorum de numero Athanasium, cum iisdem illis populis idem egisse exploratum est, quemadmodum eximius Maximus diserte narrat. Sane hi grave odium suscipiant, eiusque incrementum studiose curent, pugnent, tumultuentur, et praeteritis plura atque inaudita si volunt faciant, certamen ipsis infinitum sit, tragoedias agant; nos interim tranquille ad Deum nos componamus, operum tum nostrorum tum etiam illorum spectatorem ac testem.

93. In his considerationibus dum conquiescerem, venit quidam certa die chartas in sinu gerens, quas confestim manu corripiens, mihi tradit dicens: vide has, et collustra, cognoscesque haud vanos fuisse sermones, quos saepe mutuo habuimus. Atque utinam vani fuissent et cassi! Certe fieri nequit, quominus hi qui tam sacrilega egerunt, divinis quoque patrum dogmatibus vim inferant, et novam subitamque nequitiam committant. Ego vero solus relegens, zelo repletus sum, et diu cogitatione defixus, vixque demum expergiscens, gratias Deo professus sum, quod me ab huinsmodi dogmatizantium consortio abesse curasset. Posthinc enim non solum,

1) Rem narrat etiam Theodorus Studita in editione Sirmondi epist. 49. libri I.

κονόμησεν· ἤδη γὰρ οὐ διάξω μόνον κατ' ἐμαυτὸν, ἔφην, ἀλλά γε δὴ καὶ τῆς τῶν κολλωμένων σφίσι κοινωνίας ἀφέξομαι, τὸ μετ' αὐτῶν ὅπως εἴη μοι παντελῶς ἀνεπίμικτον· εἰ δέ που καὶ εἰς λόγους κληθείην, ὥς μοι προμεμελέτηται, ἀγῶνα τὸν ἐπὶ τούτοις δραμοῦμαι πολλῷ τοῦ προυποτεθέντος ἐπικρατέστερον· καὶ ἦν μοι ταῦτα γνωσθέντα πρὸ τοῦ τὸν ἀληθῆ ποιμενάρχην τῆς Προύσης πρὸς τὴν Κωνσταντίνου μετακληθῆναι, συντεθειμένα ὡς ἔοικεν ἐξ ὧν αὐτοῦ πρώην ἀπόντος καταψηφίσασθαι συνετάξαντο· ὡς δὲ ἀφίκετο, καὶ οἱ ἀντιδικοῦντες καθ' ἑκάστην ὡς ἔθος τοῖς βασιλείοις φοιτῶντες, πρὸς αὐτὸν ἐκεῖθεν διαμηνυόμενοι καθειστήκεσαν, πᾶν μὲν τὸ καὶ μόνην τουτωῒ συνεργίας ἐμφαῖνον ὑπόληψιν ἀποσκευαζόμενοι, τὸ δ' ἄλλως ἔχον καὶ προσιέμενοι· ἐπείπερ οὗτος καὶ πάντας ἁπλῶς τοὺς ἀντικαταστάντας τῇ ὑποθέσει μοναχοὺς, καὶ λοιποὺς τῶν καὶ ποσῶς εἰδότων, ἀνακαλούμενος ἦν εἰς ἀκρόασιν· καὶ εἰς ἀμφοτέρους ἡμᾶς κατηντήκεισαν· καὶ τοῦ μὲν ἀπεῖπον πειρασασθαι, ἐμοῦ δὲ καὶ μάλιστα διεγνώκασι· πῶς καὶ τοῦτο διασκευάζονται, καιρὸς ἤδη κατὰ τὸ ὑποσχημένον ἐρεῖν· ἑσπέρα ἦν, καὶ ἡ νὺξ τὸ πᾶν ἄρτι καταcod. f. 60. b. σχοῦσα προέκοπτε, καί τις ἀγγέλλεταί μοι τῷ κελλίῳ παραβαλεῖν τῶν λογάσι κατειλεγμένων ἐκκλησιαστικοῖς, Κάλλιστος τουπώνυμον ὁ ἀνήρ· ὃς δὴ καὶ κληθεὶς καὶ πλησίον γενόμενος, λόγους ἐξ αὐτοῦ μοι κομίζει τοῦ τὸ πατριαρχικὸν ἀξίωμα δυναστεύοντος, τὰ τῆς προσαγορίας πρῶτον εἰπὼν, εἶτα τὰ λοιπὰ προθέμενος εἰς ἀφήγησιν· καὶ ἦσαν ἐκ προοιμίων φιλίας ἀνάμνησις πρός με χρηστολογίαις ἐπὶ συχναῖς· καὶ τὸ κεφάλαιον, αὐτὸς ὁ ἐν φυλακαῖς τοῦ θεοῦ ἱεράρχης, ὡς ἥκει, καὶ ὡς κέκλημαι πρὸς τῆς ἐκκλησίας, ὡς ἐχθρὸν αὐτῆς καταπολεμῆσαι· τῶν διαμηνυομένων δὴ τούτων τόνδε μὲν οὕτως, ἑαυτοὺς δ' ἐκκλησίαν κατὰ πολλὴν ὀνομαζόντων αὐτονομίαν· καὶ ὡς

inquam, solitarius versabor, sed ab eorum communione abstinebo, ne umquam cum iis commiscear. Quod si forte ad colloquia vocabor, quod antea mihi erat delibetum, pugnam multo vehementiorem praeteritâ decertabo. Atque haec mihi explorata fuerunt, ante quam verus ex urbe Prusa pastor Constantinopolim accerseretur, consarcinata ut videtur ab illis, qui absentem illum damnare constituerant. Cum autem adfuit, adversarii quidem more solito in palatium quotidie ventitabant, atque illinc huic significabant, ne spem quidem cuiuslibet auxilii exhibentes, cetera ultro offerentes. Tunc ille (Cyprius) monachos omnes qui (pacis) negotio contradixerant, ceterosque quomodocumque conscios ad auditorium vocabat: et nos quoque ambos quidam convenerunt; et illum quidem tentare noluerunt, me vero maxime decreverunt. Iam quomodo rem hanc tractaverint, tempus est ut promisi dicendi. Vespera erat, et sera iam nox cuncta obumbraverat. Nuntiatur mihi quendam ad domunculam meam adventasse de ecclesiasticorum procerum numero, Callistum nomine; qui intro vocatus accedens, verba mihi obtulit eius qui patriarchalem dignitatem vi tenebat; salutemque praefatus, reliquam subdidit narrationem. In exordio quidem, amicitiae commemoratio benignis plurimis verbis: summa vero erat, illum qui sub custodia tenebatur Dei praesulem venisse, et me quoque ab ecclesia vocari, ut hostem eius oppugnarem. (Sic hi, qui haec significabant, illum quidem tali nomine appellabant,

εἰς προκοπὴν ἀποβαίη μοι πέρας, καὶ γέρας οὐ τὸ τυχὸν, εἰ τόδε ποιήσαιμι, οὐκ ὀλίγων κἀπὶ τούτῳ λόγων ὑποσχετικῶν κενωθέντων ἐμμεθόδως καὶ πιθανῶς· κἀγὼ μὲν οὐκ ᾔδειν οὐδὲν, ὧν αὐτοὶ πρὸς τὸν ἐν φρουρᾷ σφίσιν ἐλογοπράγουν περὶ ἡμῶν, οὔτε μὴν περὶ ἑτέρων οὐδ' ὁπωσοῦν· μεθ' ὕστερον γὰρ ἡμῖν ἡ τούτων γνῶσις ἐφίσταται· ἄλλως δὲ διηρεθισμένος ἐξ ὧν ἀνωτέρω διῆλθον, καὶ τὸ κατ' ἀρχὰς ἐπισχὼν, ὅμως βραχεῖαν οὕτω τίθημι τὴν ἀπόκρισιν· ὡς ἐλεύσομαι, καὶ τῶν λεχθησομένων ἀκροασάμενος, τῷ συνειδότι πάντως ἐπιτρέψω τὴν βάσανον· καὶ οἷς ἂν τὴν ἀλήθειαν διαγνοίη, τὴν οἰκείαν ἀνενδοιάστως δώσω ῥοπήν.

ϙδ'. Διαπορθμεύεται ταῦτα τῷ διακομιστῇ πρὸς τὸν στείλαντα, καὶ ὃς μηδαμῶς ἀρεσθεὶς οἷς περ ἀκούσειε, τὴν ταχίστην αὖθις διὰ τοῦ αὐτοῦ ἀντιπέμπει, δηλῶν ὡς οὐκ ἔδει με οὑτωσὶ ἀποκρίνασθαι· ἔδει δὲ μᾶλλον εὐθὺς ὑποσχέσθαι διαγωνίσασθαι καθ' οὗ τὸ πᾶν ὑπῆρχεν αὐτῷ τοῦ σπουδάσματος· cod. f. 61. a. πρὸς ἅπερ ἔγω γε ἀντεπάγω τῷ μεταβιβάσαντι ὁμιλῶν, πῶς οὐ δέοντά μοι τὰ τῆς ἀπολογίας, εἰ μεθ' ὧν ἡ ἀλήθεια διαγνωσθείη μοι καθεστάναι, μετ' αὐτῶν ἔσεσθαι διηγόρευσα· ἐγώ φημι ἀντιστρέψας, καὶ μάλα δὴ καθηκόντως, ὡς οὐκ ἔδει τοιαῦτα ἀκηκοότα μᾶλλον αὐτὸν ἐθελῆσαι πλέον ζητῆσαι, καὶ μὴ τὸ ἀρκοῦν ἐπίπαν ἔχειν ἡγήσασθαι, εἴ γε καταφωνῶν ὅσα τοῦ ἀντιδίκου καθ' ἑκάστην ὁρᾶται, σύνοιδεν ἀληθῆ, καὶ μετὰ τῆς ἀληθείας εἶναι συνόλως ἑαυτὸν ἐξεπίσταται· οἷς ἀκολούθως ἐφ' ὅσον εἰρηκέναι μοι τὸ ἐντὸς ἀνεζωπυρήθη, εὐχερὲς ἐντεῦθεν τοῖς ἐχέφροσι συλλογίσασθαι· τὰ πολλὰ πλὴν οὕτω παρερχομένῳ, ἐκεῖνο μοι δέον μὴ παρελθεῖν ὃ λαληθέν οἶδα τούτοις μετέχον ἀστεϊσμοῦ· ἐν μιᾷ τῶν πρὸς ἡμᾶς ἀγγελλιῶν ὁ ἀγγέλλων φθάνει καὶ τόδέ μοι φήσας, κεκελευσμένον αὐτῷ πρὸς τοῦ πέμψαντος, ὡς διεμηνύ-

semet vero ecclesiam multo sane cum arbitrio vocitabant.) Porro me valde provectum iri, nec modica praemia consecuturum, si ita agerem, non paucis verbis ac promissionibus callide apteque ad persuadendum oggerebant. Ego vero nihil sciebam eorum, quae isti cum illo captivo de nobis vel quibuslibet aliis tractaverant; nam nonnisi postea ea res mihi innotuit. Alioquin ob ea quae supra dixi indignatus, attamen sub initio memet cohibens, breve hoc responsum reddidi: veniam, et iis quae dicentur auditis, conscientiae meae totum disquirendum committam; ac prout haec veritatem agnoverit, meum indubitate suffragium feram.

94. Haec a legato referuntur mittenti; qui auditis non contentus, rursus mittit qui diceret, non debuisse me sic respondere, sed ilico potius promittere me decertaturum adversus hominem, cuius causa res ea tota ab eo gerebatur. Quibus ego respondebam, cum internuncio loquens: nulla opus esse mihi excusatione, si cum illis quibus veritas faverit, me fore recepi. Ego immo converso convenientissime argumento aiebam, non oportuisse eum qui talia audisset, ulterius velle pluraque exquirere; sed potius id satis habere, quod dum quotidie adversarium obiurgare conspicitur, quae vera sunt probe agnosceret, et se cum veritate omnino versari pervideret. Quae cum dicerem, merito me intus exarsisse, facile cordati colligent. Iam multis huiusmodi praetermissis, illud non omittam, quod ab illis lepide dictum audivi. Namque in una ex legationibus,

νατό τινι ὁ τοιοῦτος, παρεικάσας αὐτὸν ἀλβανίτῃ πολεμιστῇ· τούτῳ γὰρ ἔθος ἀεὶ τῶν πολεμουμένων ἀμφοτέρων τὰ μέρη τηρεῖν· καὶ οἷς ἂν καταπτῆναι τὴν νίκην ἐναργῶς ἀτενίσειε, σφίσι καὶ αὐτὸν παραχρῆμα εὑρίσκεσθαι συναρίθμιον· καὶ τέλος ὁ καὶ ἀρχόμενος, ὡς οὐ πρός με ἀλλὰ πρὸς ἕτερον ὁ λόγος ἐστίν· ἀληθῶς δ' οὐκ ἔχω τὸ παράπαν αὐτὸς συνιδεῖν, ὅπως κἀκ ποίας ὁποσονοῦν ἀφορμῆς τῷ πεπομφότι τάδε διαμηνύεται, εἰ μή που συνελαθῆναι τοῦτον φαίη τις ἀτεχνῶς, ἔνθεν ἄκοντα περὶ ἑαυτοῦ τὸ ἀληθὲς ἀποφήνασθαι· ὡς γὰρ εἰς ἅπαν ἀπολογούμενος, κἀνταῦθα δὴ ἐγενόμην, ὁ μὲν ἀγγελιαφόρος πάλιν ἐπέκειτο πυκνῶς ἐπιλέγων τὸ, οὐ πρός με ἀλλὰ πρός ἕτερον· ἐγὼ δ' οὐκ ἄξιον ἀντετίθουν τὸ ποσῶς ἐμοὶ δηλωθὲν, μὴ τυχεῖν ἀποκρίσεως· καὶ γοῦν εὖ ναὶ ὡς ἔχει φθέγγομαι διινκρίνηται, τὸ τὸν μαχητὴν ἀλβανίτην ὁποτέροις ἂν εἴη τῶν συῤῥηγνυμένων ἐν ὑσμίναις τὴν νικῶσαν ὁρᾶν, ἐν ὑστέροις ἅμα σφίσι καθαρῶς ἐνοπτρίζεσθαι, αὐτὸ δὴ τοῦτο δι' ὅλου, καὶ μηδὲν ἄλλο σκοπούμενον· κἀγὼ μὲν οὐκ ἄν ποτε τοιοῦτος κριθείην παρά τινι, εἴ γε καταφανὲς ὑπάρχει πάντη καὶ ἀναμφίλεκτον τὸ, νῦν με τῇ παρούσῃ νίκῃ τῶν νικησάντων μετὰ τῶν σφοδρῶς πεπονθότων συναριθμεῖσθαι, καὶ τοῖς ἰταμῶς καταβεβλημένοις συνεξετάζεσθαι· ἐκεῖνος δὲ τοιοῦτος ἄγαν ἐμφανῶς ὁπλίτης, ἢ καὶ πολεμιστὴς, ὃς ἀριδήλως τῆς ὑποθέσεως, δι' ἣν αἱ πτώσεις αὗται καὶ δόξαι, καὶ τὰ λαμπρὰ γέρα, καὶ αἱ τροπαιουχίαι, πρὶν μὲν ἄλλως ἐχούσης, καὶ νῦν αὖθις ἑτέρως, περίδοξος ἐν ἑκατέροις ὑπῆρξε καιροῖς, μηδαμῶς τί τῶν δυσχερῶν ὑποστὰς, ἀλλ' ἐν ἀμφοῖν νικηφόρος ἀναφανεὶς καὶ περίβλεπτος· καὶ ἁπλῶς καλῶς μὲν ἔχων καὶ πρώην, καὶ λίαν περιφανῶς, νυνὶ δὲ κρειττόνως καὶ περιφανεστέρως πολλῷ· ἵνα καὶ αὐταῖς cod. f. 61. b.

missus ante omnia dixit, imperatum sibi a mittente fuisse, ut mihi significaret, se cuidam dixisse, similem illum esse militi albano, cui mos perpetuus erat dimicantium utrorumque latera observare, et cui fortunam manifeste favere vidisset, huic se statim connumerare. Finem fecit ut coeperat, dicens non de me sed de alio sermonem fuisse. Atqui ego, inquam, veritatem satis dispicere nequeo, cur vel quamobrem misso suo haec significaverit (Cyprius); nisi forte quis auctorem ipsum ignorasse imperite putet, quod de se ipso invitus veritatem pronunciaret. Atque haec quum apologiae meae tantum causa dicerem, missus instabat denuo affirmans, non de me sed de alio id dictum fuisse: at ego respondebam, aequum fuisse, ut qualicumque propositioni responsum congrueret. Porro ut recte et ut reapse est loquar, liquido apparet, albanum militem utri pugnantium victoria eveniret observantem, in his hodiernis quasi in speculo pure spectari, quoniam illud solum nec aliud quicquam ei propositum erat. Iam ego haud profecto talis a quoquam iudicabor, si constat indubiumque est nunc me in praesenti alienae victoriae triumpho cum graviter clade affectis connumerari, et cum crudeliter vulneratis in quaestionem vocari. Ille potius est manifeste miles immo et pugnator in negotio hoc, in quo hinc clades, illinc gloria, ac splendida praemia et triumphi; ubi prius aliter se res habebat, nunc rursus aliter; qui gloriosus utroque tempore extitit, nihil adversum passus, sed utrimque victor; et antea et nunc bene habens ac splendidissime: nunc tamen multo melius et illustrius; ut ipsissima,

*

αἷς εἰρήκειν χρήσωμαι λέξεσιν. Ἀκούει ταῦτα τῶν λόγων ὁ ἀγγελεύς· κα οὐκ ἦν ἐκείνῳ πάντως ἀμφιδοιάσαι ᾧ τινι καὶ ἐφήρμοσται· ὅλως δ' ὡς τὸ ἀστεῖον τοῦτο, οὕτω γὰρ ὁ στείλας ἀληθεύων ἐκάλεσε, καλῶς ὡς ὁ λόγος τυγχάνει διαμεμηνυκὼς τὰ κατάλληλα ἑαυτῷ ὡς ἄκων ἐξαγγείλοι σαφῶς, οὔ τινι τῶν ἁπάντων οἶμαι ἀξυμφανές· διαβιβάζεται δ' οὖν ὅμως καὶ ταῦτα τῷ διακομιστῇ πρὸς τὸν πέμψαντα· κἀκεῖνος τὰ ἐξ ἔθους ποιῶν ἄγγελος εὐθὺς γίνεται τῶν τοιούτων πρὸς τὰ ἀνάκτορα, κἀκεῖσε συντεταχὼς τὰ καθ' ἡμῶν ἀμφοτέρων ἀρτύει, παρασκευασμένων εἰς ἃ τουτωῒ μὲν δρᾶν, πάσχειν δ' ἡμᾶς, ἐπινοηθήσεται.

ϟε'. Καὶ τοῦ λοιποῦ καλούμενος ἦν ἐκεῖθεν ὁ τοῦ θεοῦ ἀρχυθύτης εἰς τὸ δι᾽ ηὐτρεπισμένον τοῖς ηὐτρεπικόσι συνέδριον, ὡς πρὸς τοῦτο κληθησομένων δὴ καὶ ἡμῶν· ὃ γνωστὸν ἐκείνῳ ἦν οὐδαμῶς, οὐδέ τι τῶν ὧν διαμηνυθέντες ἡμεῖς cod. f. 62. a. ἀπολελογήμεθα· ὥσπερ οὐδ' ἡμῖν τῶν ἐκείνῳ τί λεγομένων, ἢ ἀνταποκρινομένων οὐδ' ὁπωσοῦν· πλὴν οὕτως ἐκέκλητο, κἀπὶ τῇ κλήσει ταύτῃ καὶ ἀπειλαὶ ἦσαν παραμιγνύμεναι, τοῖς πλήθεσιν ἔκδοτον ἐαθῆναι, εἰ μὴ τῶν ὧν ὑπῆρχεν ἀναζητῶν εἰς ἀπαιτουμένην δικαστηρίου τάξιν ἀφέμενος, ἀφίκοιτο ἂν εἰς τοῦτο, ὡς οἱ καλοῦντες εἴσιν ἑτοιμάσαντες· καὶ ὃς μὴ ἀγνοῶν, ὡς αὐτοὶ καὶ κριταὶ καὶ διαγνώμονες ἔσονται οἱ ἀντίδικοι· καὶ μόνον ἓν ἀπαραίτητον ἔχων τὸ ἐπὶ τῇ ἀληθείᾳ διαβαλλομένῃ παρρησιάσασθαι· τὰ δ' ἄλλα δεύτερα λογιζόμενος, ἐξουθενισμοὺς καὶ κακώσεις, καὶ ὃ πάντων ὑπέρτερον τὸ πρὸς ὅλους ἕνα ἑαυτὸν ἀντικαταστήσασθαι, καὶ θάνατον εἰ συμβαίη τὸ ἔσχατον θαρραλέως καὶ οὕτω καθυπισχνεῖται τὴν ἄφιξιν· καὶ οὕτοι κυροῦσι τὴν κυρίαν παρ' ἑαυτοῖς· καὶ προσκαλεσαμένων, παραγίνεται μὲν αὐτὸς, παραγινόμεθα δὲ καὶ ἡμεῖς εἰς τὰς ἐν Βλαχέρναις βασιλείους ἑστίας τὸ τῆς

quibus tunc usus sum verba usurpem. Haec audiebat missus, nec cuinam homini quadrarent dubitabat. Nihilominus id tamquam ioculare (prout revera mittens appellaverat) accurate ut fama est, retulit invitus; verba scilicet satis illi congruentia, quod nemini obscurum puto. Haec nihilominus a misso renunciantur mittenti; qui ilico more suo fit horum in palatio nuncius; ibique contra nos ambos struit paratos ea pati, quae ipse facere excogitaret.

95. Deinde evocatus illinc fuit Dei pontifex ad paratum ab auctoribus ipsis synedrium, quo nos quoque vocandi eramus, quod ei prorsus erat ignotum, nec quicquam ei significaverant eorum quae nos responderamus, nec omnino vicissim nobis si quid ille dixisset aut respondisset. Attamen sic vocatus fuit, vocationique admixtae minae, fore ut populi arbitrio permitteretur, nisi quaestionem ob quam in iudicium postulabatur omittens, ad ea veniret quae postulatores paraverant. Ille vero haud ignorans eosdem fore et iudices et inquisitores et adversarios, in hoc uno inexorabilis mansit, nempe ut accusatam veritatem confidenter defenderet, cetera deteriore loco habens contemptum scilicet et adflictiones; quodque plurimi erat, contra omnes unum se decertare, mortemque ipsam postremo subire; animose nihilominus se adfuturum promisit. Atque ita ei vadimonium decernunt apud se: et his vocantibus adest ipse: adsumus et nos in regias Blachernarum aedes, ubi conventûs praestituta fuerat statio. Et ille quidem

συνελεύσεως ἔνθα προστέτακτο σύνθημα· ὁ μὲν μηδὲ τοῦτ' αὐτὸ τὴν ἡμετέραν
εἰδὼς ἐνδημίαν, τὴν αὐτοῦ δὲ μόνον ἡμεῖς ἐγνωκότες διὰ τὸ τῆς ἐπὶ ταύ-
τῃ κατάδηλον κλήσεως· λοιπὸν δὲ μή τι τῶν προηγησαμένων αὐτῆς οὐδαμῶς·
καὶ ὁ μὲν δι' ἑτέρας εἰσόδου τὸ δικαστήριον προεισέρχεται· αὐτοὶ δὲ κατό-
πιν δι' ἑτέρας εἰσδύομεν, μὴ τῳδὶ θεαθέντες, λόγων ἄχρι κινήσεως ἱκανῶν,
ὁπηνίκα καὶ ἡμᾶς ἐπὶ τοῦ μέσου ἐδέησε φθέγξασθαι· ὃ καὶ ἀπροόπτως αὐ-
τῷ μικρὸν οἱονεί πως ἐπιφαίνεται παραμύθιον, πηλίκον ἀγῶνα μόνῳ τεθαῤῥη-
κότι, καὶ παρ' ἐλπίδας εὑρηκότι τῆς προθέσεως κοινωνούς. Ἔστι μὲν οὖν οὐκ
ἐμὸν καθεξῆς διαζωγραφῆσαι τῷ λόγῳ, καὶ ἀπηκριβωμένως διαμορφώσασθαι
τά τε τοῦ συνεδρίου πρὸς ἅπαν ὅπως συντέτακται, καὶ τὰ τῶν διαλέξεων ὅθεν
ἄρχεται, καὶ πῆ πεπεράτωται, κατὰ λεπτὴν πᾶσαν ἀκολουθίαν καὶ ἀμοι-
βαίαν συνάφειαν· ἄλλοις γὰρ ἔργον ὡς οἶμαι γενήσεται τοιουτοτρόπως ταῦ- cod. f. 62. b.
τα διαλαβεῖν· καὶ ἴσως ἂν ἀνυστέον τοῦ λέγειν ἀναλόγως, καὶ τὸ τῆς μνή-
μης ἔχουσιν ἰδιαίτατον· ἐμοὶ δ' ἀρκέσει, τὸ πᾶν τῶν ἀντιθέσεων ἐν κεφα-
λαίοις περιληψόμενον, τὸν ἐφ' ἑκατέρων μερῶν ἐν τούτοις νοῦν παραθεῖναι,
τὰ τῆς παρασκευῆς τοῦ δικαστηρίου μετρίως πῶς προδιασαφήσαντα· οὐδὲ γὰρ
ἂν δέον ἐν πᾶσιν ἄλλοις σχεδὸν, ἃ τερματώσας ὁ λόγος ἐστὶ, τρανῶς τὸ τοι-
οῦτον μεταχειρισαμένους, ἑτέρας ἐνταυθοῖ μεθόδου γενέσθαι ἡμᾶς αὐτοὺς,
ἔνθα καὶ μᾶλλον εἴη τὸ συνάγεσθαι, μή ποτε περιαυτολογεῖν οἷς ἀνάγκη
δόξωμεν ἐπιμένειν, καὶ τοῦ εἰκότος πλέον ἐκτείνεσθαι.

ϟϛʹ. Οὐκοῦν ἵν' ὁμοίως κἀν τοῖς ὧδὶ προχωροίημεν, εἰσήχθημεν τὸ συνέδριον ὡς προέφημεν· καὶ ἦν οὕτως ἔχον δὴ καὶ ὁρώμενον· καθῆστο μὲν ὁ αὐτοκράτωρ ἐπὶ κλίνης χρυσοκολλήτου βασιλικῆς, περιειστήκει δὲ τοῦτον οὐκ

interventum nostrum ignorabat, nos soli adventum ipsius, propter publicam ad eum locum appellationem; ceterum aliud nihil de praecedentibus rebus. Et ille per alium aditum ad tribunal ingrediebatur, nos vero parte alia postica introducebamur, nihil videntes nisi post multorum fluxum verborum, quando et nos oportuit in medium prodeuntes loqui; quod ei non praevisum aliquanto solatio fuit, qui cum solus certamen tantum ausus fuisset, causae suae participes insperato nanciscebatur. Non est autem munus meum deinceps verbis depingere exquisiteque deformare acta omnia synedrii qualia fuerint, qui dialogi, unde coeptum, ubi explicitum, et subtiliter totam rerum seriem mutuamque connexionem. Aliorum hoc erit opus, ut arbitror, tali modo haec enarrare; et fortasse accuratior opera danda est, ut digne dicantur ea quae dici merentur. Mihi quidem satis erit totam contradictionum struem summatim complecti, atque ita utriusque partis hac in re mentem exponere; si tamen iudicii apparatum modice prius repraesentavero. Non enim decet in aliis prope omnibus, quae sermo noster detexuit, simpliciter materiam tractasse, nunc autem aliam sequi methodum, cum maxime contrahere oportet, ne nimis multum de nobis ipsis loqui, ubi immorari necesse fuerit, videamur, et plus aequo dilatare orationem.

96. Ergo ut pari modo in praesentiarum quoque procedamus; introducti nos fuimus in synedrium, ut iam diximus. Erat autem eius conspectus huiusmodi. Sedebat imperator in aureo regali pulvinari: circumsistebat non exigua praecipuae affi-

ὀλίγη τῶν τῆς πρώτης οἰκειώσεως κατὰ συστοιχίαν ἀπόμοιρα· παρῆσαν οἱ τῶν ἀντιδιατιθεμένων ἡμῖν κορυφαῖοι, τὰ μεγάλα παρὰ τῷ κρατάρχῃ δυνάμενοι· ὁ μὲν ὁ τῆς πατριαρχικῆς ἐπιβήτωρ ἀξίας ἀγχοῦ παραδρεύων· οἱ δὲ οἱ τῆς συγκλήτου βουλῆς προηγοὶ καὶ προασπισταὶ τουδὶ καὶ συλλήπτορες παρὰ μέρος συνεδριάζοντες, ὅ τε τῶν μεγιστάνων ὡσαύτως ἐπίλοιπος σύλλογος τῆς συνεδρίας ταύτης, καὶ ὁ καινουργηθεὶς τῶν οἰκείων ἀρχιερέων ὅμιλος ἦν, τάς τε διαγνώσεις καὶ κρίσεις καὶ ἀποφάσεις ἐπιστημονικῶς ἄγαν συγκροτοῦντες καὶ ἐπιφέροντες τοῦ δηλωθέντος πολλάκις περιζητήτου συστήματος· ἐπιδημοῦντες ἦσαν οἱ κρείττους καὶ ὑπερέχοντες, σὺν ἑτέροις σφῶν οὐκ ὀλίγοις, ἐφ' ὧν ἕκαστος τόπων ἠξίωται, οἱ μὲν ἐριτίμων ἁπλῶς ἐπὶ καθεδρῶν, οἱ δὲ τοῖς ἄλλως ἑζομένοις ἢ καὶ παρισταμένοις συμμέτοχοι, καὶ στίφος ἕτερον ἦν ἠθροισμένον ἀριθμοῦ προῆκον ἐπὶ πολὺ, ἔκ τε τῶν τῆς βασιλείου αὐλῆς καὶ διαφόρων τάξεων συγκαταλεγόμενον· ὧν ἐπὶ μέσον ἁπάντων τὰ τῆς λογικῆς συμπίπτουσι προσβολῆς· κἀπειδήπερ οἱ τῶν ἀντικαθισταμένων ἡμῖν προεξάρχοντες ἐπ' ἐκείνοις ἤθελον τὸν ἀγῶνα συστήσασθαι, οἷς ὁ κρινομένου καὶ κατακαταδίκου τόπον ἐπέχων τοῦ θεοῦ ἱεράρχης, ἐπὶ φανερώσει τῆς ἐκκλησιαστικῆς εἰρήνης συνθέμενος ἦν, τὴν τοῦ πλήθους καθ' ἡμῶν ἐντεῦθεν ἀγανάκτησιν ἐπισπώμενοι, οὐκ ἀποδυσπετήσας οὗτος ἐφάνη, προηγουμένως τῶν ὧν εἶχεν ἑτέρων ἐπὶ τούτῳ διαγωνίσασθαι σπουδὴν τιθέμενος ἀμετάθετον· τῷ τοι καὶ λόγων ἀμφοτέρων κινηθέντων συχνῶν, ἓν ὥς τι τῶν ἀτόπων τοῦτο τοῖς ἐξ ἐναντίας συμπεραιοῦται κεφάλαιον, καὶ τῶν ἄλλων προτάττεται, τὸ τοῖς συγγράμμασι τοῦδε δι' υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα λέγειν τὸ ἅγιον· καὶ γοῦν ὡς ἐκ πατρικῶν θεολογιῶν εἰδόσι συγγραφὴν αὐτοῦ πᾶσαν ἀντεχόμενον

cod. f. 63. a.

nitatis secundum gradus pars: aderant adversariorum nostrorum coryphaei, qui magnopere apud imperatorem gratia valebant: patriarchalis autem dignitatis ascensor prope adsidebat: quem senatores primarii et defensores atque adiutores circumsistebant, nec non procerum similiter delectus ad hunc consessum globus, itemque creatorum recenter episcoporum turba, qui disquisitiones, sententias, et definitiones sapienter admodum collaudabant et efferebant dicti iam iudicialis consessus: aderant potiores ac praecipui, cum amicis suis non paucis, in adsignatis cuique locis, alii decoris in cathedris, alii aliter sedentium vel etiam adsistentium comites, et miscella alia magno numero turma, tum de regia aula, tum de aliis ordinibus collecticia. Quorum omnium in medio verbalis conseritur pugna. Et quoniam adversariorum nostrorum coryphaei, ab iis voluerant certamen ordiri, quae rei simul et condemnati personam gerens Dei pontifex ob adserendam ecclesiasticam pacem praeparaverat, ut sic nimirum multitudinis contra nos indignationem commoverent, haud moleste id ferre noster visus est, quia de hoc praecipue ante alia controversiae capitula disceptandi constans studium gerebat. Quare post multos utrimque commotos sermones, unum tamquam ex absurdorum numero a parte contraria designatur capitulum, aliisque praeponitur, quod nempe in eius (Vecci) scriptis diceretur SPIRITUS SANCTUS A FILIO EXISTENTIAM HABERE. Et quia ipse theologicis patrum sententiis scriptum suum totum tuebatur, atque id fundamenti loco ponebat; nullam quippe, quicumque eius (Vec-

ὀχυροῦσθαι, καὶ ἀριδήλως ἑδράζεσθαι· οὐδεμίαν γὰρ ἂν δογματικὴν ἴδῃ τις πραγματείαν, ὡς ταύτην δὴ τὴν τούτῳ ληφθεῖσαν τοσαύταις χρήσεσιν ἐμφανῶς θεηγοριῶν διδασκαλικῶν ἐνστηρίζεσθαι· τὸ πᾶν σφίσι γίνεται τῆς ὁρμῆς, δεῖξαι μὴ κατὰ τοὺς πατέρας ἐρεῖν· ἀλλ᾽ ἃ μᾶλλον αὐτοὶ μὴ εἰρήκασιν εἰρηκότα, καὶ ἃ μηδαμῶς ἐδογμάτισαν δογματίσαντα· "οὐδεὶς γάρ φασι τούτων δι᾽ „ υἱοῦ ὕπαρξιν παραδέδωκε· καὶ τὸ παρὰ τὴν παράδοσιν αὐτῶν λελεγμένον „ βλάσφημον ἡμῖν ἥγηται καὶ ἀπόβλητον." Τῶν οὖν ἐπ᾽ αὐτοῖς ἀντιῤῥήσεων καθ᾽ εἱρμὸν ἐπιπλεκομένων, καὶ τὸ δι᾽ υἱοῦ τὸ πανσθενὲς ἐκπορεύεσθαι πνεῦμα, ὡς εἰ στερκτὸν ἔχοιεν οὗτοι προβαλλομένων, τὸν λόγον εὐθὺς ἐπισχόντες ὁμολογεῖν ὑπισχνοῦντο, τὸ προφανὲς ἅτε τῶν πατρικῶν ῥήσεων μὴ δυνάμενοι παρακρούσασθαι. cod. f. 63. b.

ϟζʹ. Αὖθις δ᾽ ἦσαν ἐνστατικῶς ἀπαιτοῦντες τὴν ὕπαρξιν ἐπὶ λέξεως εἰ εὕρηται δι᾽ υἱοῦ· καὶ μέχρι τούτου στῆναι μὴ συγχωρούμενοι τὸ συνειδὸς οἷα τῷ καθαρῷ τῆς θεολογίας, ὡσεί τινι βέλει κεντούμενοι, καὶ σημασίας οἰκείας ἐπὶ ταύτῃ παραδοῦναι κατεναγκάζονται προφέροντες οὑτωσί. "Ἡ ὕπαρξις τοῦ „ παναγίου πνεύματος ὁμολογουμένη ἐστὶν ἐκ πατρός· διὰ τοῦτο ἡνίκα ἂν αὐτὸ „ ἐκ πατρὸς ἀκούοιμεν ἐκπορεύεσθαι, τὴν φυσικὴν αὐτοῦ νοοῦμεν ἐκεῖθεν ἔχειν „ καὶ ἀΐδιον ὕπαρξιν· καὶ τοῦτο δηλοῦν ἀναντιῤῥήτως τηνικαῦτα τὴν ἐκπορεύεσθαι λέξιν οἴδαμεν καὶ πιστεύομεν· ἡνίκα δ᾽ ἐκ πατρὸς δι᾽ υἱοῦ ἐκπορεύεσθαι διδασκόμεθα, τοῦτο μὲν καὶ αὖ ἐκ πατρὸς, δι᾽ υἱοῦ δὲ οὐ τὴν ὕπαρξιν, ἀλλὰ τὴν ἀΐδιον φρονοῦμεν σημαίνειν ἔκφανσιν, καὶ τὴν ἔκλαμψιν· δεῖ „ γὰρ εἰς ὀρθὴν ἔννοιαν ἐκλαβέσθαι τὴν ῥῆσιν καὶ τὸ τῆς ὀρθῆς ἐννοίας οὐκ

ci) scripta legerit, dogmaticam rem tot deiloquis doctrinis, quot hanc manifeste comprobatam comperiet; propterea totis adversarii viribus ad demonstrandum incumbunt, hoc non secundum patrum sententiam dici, sed ipsum potius dicere quod ii non dixerunt; et quae dogmata illi non tradunt, ab hoc componi. « Namque aiebant: » nemo illorum Spiritum habere existentiam per Filium tradidit: quod autem prae- » ter illorum traditionem dicitur, blasphemum ab se iudicari ac reiecticium. » Sed enim obiectionis huius refutationibus ex ordine cumulatis, et per Filium procedere omnipotentem Spiritum, ut admitterent, nobis demonstrantibus, verba illi statim omittentes, confiteri id promittebant, quandoquidem scriptorum a patribus textuum evidentiam declinare non poterant.

97. Rursus pertinaciter postulabant, num dictio EXISTENTIA PER FILIUM reapse ad litteram reperiatur. Atque in hoc persistere a propria conscientia non permissi, propter theologiae evidentiam, teloque veluti confixi, sensus suos circa id exponere coacti, sic aiebant. « Spiritus sancti existentia sine dubio ex Patre est. Pro- » pterea cum eum ex Patre audimus procedere, naturalem intelligimus ipsum illinc » sempiternamque habere existentiam: atque id citra controversiam significari a vo- » cabulo PROCEDERE, scimus et credimus. Cum autem ex Patre per Filium procedere » docemur, tunc a dictione EX PATRE PER FILIUM, non existentiam, sed sempiternam » Spiritus manifestationem et splendorem denotari intelligimus. Oportet enim recto » sensu vocabulum accipere; et quidem rectus significatus nullus alius est. Qui autem

„ ἄλλως ἔχον ἐστίν· οἱ δὲ τὴν ὕπαρξιν λέγοντες δι' υἱοῦ, δότωσαν ἐπὶ λέ-
„ ξεως, καὶ πάνθ' ὅσα διηγορευκότες εἰσὶν ἐφ' οἷς ἐγεγράφεισαν, τῆς εὐθύ-
„ τητος οὐκ ἐξίστανται· τοῦτο γὰρ βάθρον ἀληθῶς καὶ κρηπὶς, καὶ εἰ τοῖς
„ πατράσιν εἰρημένον ἐστὶ, τὰ ἐπ' αὐτῷ δὴ ᾠκονομημένα, τὸ στεῤῥὸν αὐχοῦσι
* cod. οὖν. „ καὶ πάγιον· εἰ δ' οὔ*, θεμελίων ἀπ' αὐτῶν ἀνατέτραπται.„ Εἰς ταῦτα λή-
γει τὰ τῶν ἀντιθέσεων αὐτοῖς ἰσχυρὰ, καὶ κυρωθῆναι πᾶσιν ἐγκελευόμενα.

ϟη'. Σκοπητέον λοιπὸν ἃ καὶ ἡμεῖς τούτοις ἀντιβαίνοντες ἀντείπομέν τε καὶ ἀντιλέγομεν, δυνάμεως ὡς ἕκαστος εὐπορεῖ. Καλῶς ἔχειν ἡμῖν συνομολογεῖται τὸ τὴν τοῦ παναγίου πνεύματος ὕπαρξιν ἐκ πατρὸς εἶναι φρονεῖν, καὶ κηρύττειν, καὶ μηδὲν ἄλλο ἢ τοῦτ' αὐτὸ τὴν ἐκπορεύεται λέξιν ἐπ' αὐ-
cod. f. 64. a. τοῦ παριστάνειν, ἡνίκα ἂν μόνῳ τε προσαρμόττοιτο αὐτῇ· καὶ ἡνίκα ἂν αὖθις τὸ δι' υἱοῦ ἔχῃ συνεκφωνούμενον· καὶ οὐκ ἔστιν ὃς μὴ τοῦθ' οὕτω πρεσβεύων, τῇ ὀρθῇ μοίρᾳ τῶν πιστευόντων ἐγκριθείη ποτέ· τὸ δ' ἐπὶ τοῦ υἱοῦ ἡνίκα ἂν δι' αὐτοῦ τὸ παναλκὲς καταγγέλλοιτο πνεῦμα, τὴν αὐτὴν λέξιν κειμένην ἕτερόν τι φάσκειν σημαίνειν, παρὰ τὴν αὐτοῦ φυσικὴν καὶ ἀΐδιον ὕπαρξιν, οὔμενουν ἂν ἡμεῖς φαίημεν πώποτε· καὶ τί καινὸν τοῦτο, φασί; καὶ μέντοιγε σαφῶς ἡμῖν ἐνωπίοις εἰρήκασιν· τί καινὸν ὁμωνυμοῦσθαι τὴν ἐκπόρευσιν ἐπὶ τοῦ πνεύματος ἐκδιδάσκεις; ἤδη γὰρ πρὸς αὐτοὺς ὡς εἰς ὁμαιχμίαν παρατάξεως μίαν τοὺς λόγους καὶ αὖ ἀπευθύνομεν· καὶ οὐ λογίζῃ καινὸν, διαφόρους αὐτῇ σημασίας οἴκοθεν ἐπιπλάττειν, καὶ οὐ ξένον ἤτῃ; τοῖς θεοειδέσι διδασκάλοις ἀπεναντίας φθεγγόμενος φαίνῃ· καὶ οὐ φωνῶν νομίζεις νεοφανῆ; τίς αὐτῶν ἐπὶ τῇ ἐκπορεύσει διαστολὰς ἐδογμάτισε; τίς ἄλλως ἐν τῇ ἐκ πα-

» existentiam dicunt per Filium, demonstrent id ad litteram dictum: quod si fece-
» rint, quicquid hactenus dixerunt aut scripserunt, a veritate non aberrabit. Hoc
» enim est revera fundamentum ac basis. Quod si ita forte locuti sint patres, quae
» exinde deducta ratiocinando fuerunt, stabilitate fruentur ac firmitate: secus, fun-
» damentis ipsis laborant.» Hactenus validiora ab ipsis obiecta, quae ab omnibus sanciri volebant.

98. Superest nunc videndum, quae nos quoque pro suis quisque viribus contra dicamus ac respondeamus. Bene esse nos confitemur sancti Spiritus existentiam ex Patre censere ac praedicare, nihilque aliud a vocabulo PROCEDERE significari, quum hoc uni sensui congruat. Cumque item dictioni PER FILIUM iunctum pronuncietur, nemo ita agens, recte credentium parti non accensebitur. Iam vero ad Filium quod attinet, cum per eum omnipotens Spiritus PROCEDERE praedicatur, idem vocabulum alium gerere significatum, praeter naturalem Spiritus sempiternamque existentiam, nos quidem numquam dicemus. Quid vero novi hoc est, aiunt illi? Et quidem id coram nobis dixerunt. Et tu, inquam ego, cur noviter doces, in Spiritu PROCESSIONEM homonymum esse vocabulum? Iam enim contra illos tamquam foederata acie verba dirigimus. Non putas novum te facere cum diversos eidem vocabulo significatus marte proprio adfingis? Nonne, inquam, peregrinum id est? Certe divis magistris te contraria loqui apparet. Neque tu consideras vocum novitatem? Quis patrum in processione distinctiones dogmatizavit? Quis aliter in dictione EX PATRE vocabulum PRO-

πρὸς ἐκφωνήσει ταύτην νοεῖσθαι, κἂν τῇ δι' υἱοῦ ἑτέρως ἐθεολόγησε; καὶ τὸ δὴ παράδοξον, ἐφ' οὕτω μιᾷ ῥήσεως βραχυτάτῃ ὑφῇ ἐκ πατρὸς δι' υἱοῦ, ἔνθα καὶ εἰ τῶν ὁμωνυμουμένων τὰ τῆς λέξεως ἦν· ὑποτεθήτω καὶ γάρ· οὐκ ἂν δυσὶν ὀνόμασι τούτοις ἐπιπλακέντα καθ' ἑτερότητας ἐννοιῶν, ἐλάθη τὸ τοιοῦτον τοῖς θείοις ἑρμηνεῦσιν ἀδιασάφητον· αἰνίγμασι γὰρ ἂν ἦν ἐοικός· τὸ ὑψηλὸν αὐτῶν αἱ χρήσεις αὐχοῦσι καὶ δυσθεώρητον πράγμασιν ἀληθῶς, ἔστιν οὗ καὶ νοήμασι, καὶ ἀμφοτέροις παρὰ τὰ ἐν οἷς, ἢ ὑπὲρ ὧν ὁ λόγος ἐστί· τροπαῖς δὲ καὶ ὁμωνυμίαις τηλίκων λέξεων οὐδαμῶς· οὐχ ἁπλῶς οὗτοι καὶ ἀδιαστόλως διάφορον τρόπον, καὶ ἀλλαχοῦ πάλιν τρόπον ἄλλον ὑπάρξεως τὴν ἐκπόρευσιν ἡρμηνεύκασιν· οὐκ αὐτὸς σφίσιν ἀντινομοθετῶν, ἔστιν οὗ μὴ τὴν ὕπαρξιν παριστάνειν, ἡνίκα ἂν δι' υἱοῦ δογματίζοιτο; καὶ τοῖς διὰ γλώττης λόγοις ἐμόρφωσας, καὶ γραφαῖς ἐπεκύρωσας, καὶ τοῦτο παραδιδοὺς εἰς ὀρθὴν ἔννοιαν ἄγειν τὴν ῥῆσιν ἐπέκρινας; οὐ σὸν ἐστὶ τὸ ἀπαιτεῖν, τίς τῶν ἁγίων ἔφη; τίς τῶν πατέρων διηγορεύκει; καὶ ὁ μὴ πᾶν αὐτῷ λελεγμένον κατὰ τὰς σφῶν παραδόσεις δεικνύων, βλάσφημος καὶ ἀπόβλητος· κρίναι οὖν ἐνταῦθα κατὰ τὴν ἐκ τοῦ συνειδότος σοι τρανουμένην διάγνωσιν, μὴ ἐξ ὧν ἄδειά σοι λέγειν, εἴ τι καὶ βούλοιο, πολλοῖς εἰς τοῦτο τρόποις θαῤῥῶν. cod. f. 64. b.

ϙθ'. Τίς 1) ὁ τὴν ἀπόφασιν, ἣν ἀπεφήνω καθ' ἑαυτοῦ ἐπισπώμενος, ὁ τὴν ἐκπόρευσιν εἰς ὕπαρξιν κατὰ τοὺς εἰπόντας, πατέρες δὲ οὗτοι, μόνως ὁμολογῶν καὶ κηρύττων; ἢ ὁ ἔστιν οὗ μὴ εἰς ὕπαρξιν ἐννοεῖσθαι τούτοις

CESSIO intellexit, et in dictione PER FILIUM aliter theologice loquens docuit? quodque paradoxi instar est in uno brevissimo dictionis textu EX PATRE PER FILIUM, etiamsi vocabulum PROCESSIO de homonymorum numero esse praesumatur. Non enim si duobus his nominibus adiuncta vox esset cum significatus diversitate, id inexplicatum sivissent divi interpretes: quippe aenigmatibus id simile foret. Mysterium esse sublime, patrum verba ostendunt, et aegre comprehensibile re et intellectu, immo et utroque, et supra omnem qui fieri potest sermonem: sed ob tropos atque homonymias talium vocabulorum nusquam. Nequaquam patres simpliciter et indistincte diversum modum, et alibi rursus alium modum existentiae esse processionem interpretati sunt. Nonne tu ipsis contraria doces, qui existentiam significari negas, cum ea PER FILIUM esse adfiirmatur? Dum rem verbis linguae creas, dum scriptis confirmas, atque ad rectum sensum dictionem te trahere iudicas? Nonne tuum est inquirere quis sanctorum id dixerit? quis enarraverit? Sane dum quod indictum plane illis est, id tu analogum illorum traditionibus ostendere niteris, blasphemus es ac reiiciendus. Iudica igitur secundum conscientiae tuae perspicuam diagnosim; non autem ex tua libertate quicquid volueris dicendi, multifariis tropis te iactes.

99. Quis (inquit ille) quod protulisti effatum sibi vindicavit? Quis processionem nihil aliud esse quam existentiam, secundum certe patres, confitetur et praedicat? Nonne alicubi nequaquam intelligendam esse existentiam e contrario perspi-

1) Verba haec tribuenda videntur adversario respondenti; fitque saepe ambiguus hic dialogus, dum eius personae tamquam foederata acie (ut p. praecedente dicitur) loquentes vix distinguuntur; praeter ceteras scriptoris non optimi obscuritates, quae interpreti, paene ad impatientiam, crucem figunt.

ἀπεναντίας διδάσκων ἀναφανδόν; οἶδα ὡς οὐχ ἕλοιο ἂν τοῖς οἰκείοις σαυτὸν φανερῶσαι πτεροῖς ἁλισκόμενον· ἀλλά σε καὶ μὴ βουλόμενον ἁλῶναι ἡ ἀλήθεια φανεροῖ· ἡμεῖς 1) δέ σου καὶ τὰς ἀϊδίους ἐκφάνσεις καὶ τὰς ἐκλάμψεις δεχόμεθα, οὐχ ὡς ἐπινενοημέναι σοι καθεστήκασιν εἰς ταύτας ὅτε τὴν ἐκπόρευσιν μεθιστῶντι, καὶ τηνικαῦτα θεσμοθετοῦντι, σημασίας ἄλλης εἶναι παρὰ τὴν ὕπαρξιν, ἀλλ' ὡς οἱ θεοφόροι παραδεδώκασι· ἐκπόρευσιν οὗτοι διαρρήδην ἔφησαν ἐκ πατρός· καὶ ἡμεῖς σεβόμεθα ἐκπόρευσιν ἐκ πατρὸς δι' υἱοῦ· καὶ οὐ διαφερόμεθα· εἰς ἑνιαῖον τὶ καὶ ἁπλοῦν τὸ εἰλικρινὲς αὐτῆς ἐξηγήσαντο, καὶ τοῦτο στέργομεν καὶ οὐχ ἕτερον· ἔκφανσιν αὖ οὗτοι τεθεολογήκασιν ἐκ πατρὸς, ἔκπεμψιν προσέτι, πρόχυσιν, ἔκλαμψιν, καὶ ἀνάβλυσιν, καὶ οὐκ ἀντιτείνομεν, οὔτε μὴν ἐντεῦθεν ἑτέρας δεκτικὴν ἐννοίας εἶναι τὴν ἐκπόρευσιν ἐπιπλάττομεν· ἀλλ' ὅτι περ αὕτη ἐκ τοῦ πατρὸς, ὡς τοῖς θεοφόροις διήρθρωται, κἀκεῖνα καταλλήλως διομολογεῖσθαι πρεσβεύομεν· τὰ αὐτὰ σφίσι διηγορεύεται δι' υἱοῦ, καὶ δεόντως ἐνστερνιζόμενοι, οὔμενουν εἰς ἀλλοιώσεις ἐντεῦθεν ἢ προσλήψεις τοῦ ἁπλοῦ καὶ ἀμεταπτώτου σημαινομένου τῆς ῥηθείσης ῥήσεως ἀπαγόμεθα· ἀλλὰ ταύτην τε κἀκεῖνα ὡς ἐῤῥέθη καὶ διευλυτώθη τοῖς τῶν θείων ἐκφάντορσι καταγγέλλομεν· τῷ Χρυσοῤῥήμονι θεοπρεπῶς εἰς τὸ εἰδέναι τὰ τοῦ θεοῦ βάθη, τὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸν παράκλητον διηυκρινηκότι πειθόμεθα, καὶ οὐκ ἀντιβαίνομεν· καὶ ποῦ ἂν εὑρεῖν ἐν τούτοις ἔχῃ τις ὁπωσοῦν, ὡς τάδε δηλοῦν ἡ λέξις βούλεται, καὶ οὐχὶ τὴν ὕπαρξιν, ὡς αὐτὸς ὑπάρχεις διοριζόμενος; ἢ ὅλως τί τοιοῦτον ἐννοήσασθαι ἀπαυθαδειάσαιτο; μενοῦν γε καὶ μάλιστα τῆς τοῦ μεγάλου δια-

cod. f. 65. a.

cue doces? Equidem scio nolle te propriis videri alis captum; verum enimvero te nolentem quoque capi, veritas convincet. Atqui nos, inquam, tuas quoque sempiternas manifestationes et splendores admittimus, non tamen quomodo a te intelliguntur, dum in has processionem commutas, et sic statuis alium esse significatum quam existentiae; sed nos prout theophori patres tradiderunt tenemus. Processionem isti dixerunt ex Patre; et nos veneramur processionem ex Patre per Filium: neque idcirco discrepamus. Ipsi in unum quid et simplex, rei veritatem redegerunt; et hoc quoque nos complectimur, nequaquam aliud. Manifestationem hi theologice dixerunt ex Patre, emissionem insuper, profusionem, splendorem, effluvium; nos autem haud adversamur, neque idcirco alterius rationis patientem esse processionem confingimus; quod ea ex Patre fiat, ut theophori explanarunt, confiteri nos consone adfirmamus. Item patres dicunt per Filium; idque ut par est amplectimur; non idcirco tamen in praesumptiosas diversitates simplicem et immutabilem dicti vocabuli significationem abducimus, sed tum hoc tum alia prout dixerunt et explanaverunt divinarum rerum interpretes, nos quoque praedicamus. Chrysostomo qui Dei profunda scire, processionem esse Paracliti ex Patre mirifice exponit, credimus et non contradicimus. Et quomodo invenire aliquis in hoc textu poterit, quod ea quae dicis, significare vocabulum velit, et non potius existentiam, ut tu distermi-

2) Rursus auctor noster loqui videtur. Et mox adversarius vicissim. Quis hunc graecum Scotigenam moleste non ferat?

νοίας ἐξηρτημένος, παρὰ τοῦτο τὸ ὑπερτελὲς εἰδέναι πνεῦμα τὰ τοῦ θεοῦ βάθη ἐρεῖ, παρόσον τῆς αὐτοῦ πατρικῆς ἐστὶν οὐσίας ἐκπόρευμα ἐνυπόστατον, καὶ παρ' αὐτῆς λαμβάνει, καὶ τὴν φυσικὴν αὐχεῖ καὶ οὐσιώδη ὀντότητα· καὶ τούτου δὴ ὡμολογημένου, καὶ τὸ εἰδέναι καὶ ἐκφαίνεσθαι καὶ ἐκλάμπειν τὸ προσφυὲς πλουτοῦσι καὶ εὐπαράδεκτον· ἄλλως τε καὶ εἴ σοι μὴ ἐπ' ἀναιρέσει τῆς ὑπερφυοῦς καὶ ἀκαταλήπτου ὑπάρξεως ἡ μεταπορθμευομένη σοι κατὰ λέξιν ἀΐδιος ἔκφανσις ὑπετίθετο, καὶ οὕτως ἂν σοι καλῶς τὸ τῆς ἐκπορεύσεως ἐτηρεῖτο ἰδιοσήμαντον, εἴπερ μὴ ὡς ἐν παρέργῳ κἀκεῖνο διέρχῃ, καὶ μὴ τῶν τυχόντων ὁ εἰρηκώς σοι λογίζεται· τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον, διαφόρους καὶ τὰς κλήσεις πεποίηκεν· οὐ γὰρ ἂν τερατολογήσῃς κἀνταῦθα εἰς παράστασιν τῆς οὐσιώδους cod. f 65. b. ὑπάρξεως εἰλῆφθαι τῷ θεολογηκότι τὴν ἔκφανσιν.

ρ'. Εἴ σοι γοῦν μηδὲν νομίζοιτο ἀπεικὸς τὴν τῆς ἐκπορεύσεως ὅτε μεθιστάνειν εἰς ἕτερον διασάφησιν, μετάλλαττε καὶ τὴν τῆς γεννήσεως, ἐπειδὴ δύο ῥήσεις αὗται δυοῖν ἐπὶ τοῖνδε προσώποιν, υἱοῦ δηλονότι καὶ πνεύματος, τοῖς θεολογικωτάτοις διδασκάλοις ἀπεκληρώθησαν εἰς φανέρωσιν, καθόσον ἐστὶ χωρητὸν τῆς ἀμφοῖν ἐκ πατρὸς διαφερούσης ὑπάρξεως, καὶ ὡς ἰδιάζοντα ταύτης τρόπον ἡ γέννησις ὡρισμένως παρίστησιν ἐπὶ τοῦ υἱοῦ, καὶ οὐκ εἰς ἄλλό τι παρὰ τοῦτο μεταληφθείη ποτέ· τὸν αὐτὸν δὴ λόγον κἀπὶ τοῦ πνεύματος ἡ ἐκπόρευσις ἰδιοτροπίαν οὐσιώδους ὑπάρξεως ἐκδιδάσκουσα, οὐκ ἔστι ὅπη ἂν μεταβαίη πρὸς ἕτερον σημαινόμενον· ἀλλαχοῦ γὰρ οὐκ ἐνταῦθα τὸ αὐτῆς ἐστὶ κατιδεῖν πολυσήμαντον· σὺ δ' ὡς ταύτῃ διαστολὰς ἐνθαδὶ

nas? vel quis quidvis eiusmodi cogitare audebit? Itaque magni praecipue huius viri qui mentem secutus fuerit, ideo perfectissimum Spiritum profunda Dei scire dicet, quia paternae eius substantiae processio enhypostatica est, et ab ea accipit, naturalemque habet ac substantialem essentiam. Quod ubi in confesso fuerit, et manifestari et effulgere congrua sunt, et facile admittuntur. Alioqui si a te haud ob supernaturalis et incomprehensibilis existentiae exclusionem, traieticia ad litteram sempiterna manifestatio ponatur, sic etiam bene tibi conservabitur processionis proprius sensus: si certe haud quasi perfunctorie illud quoque consideras, et si eius dicti auctorem (Chrysostomum) inter gregales minime numeras. Manifestationis autem, ut ita dicam, aut mutuae relationis differentia, appellationes quoque diversas fecit. Non enim absurde heic dices, ob adserendam substantialem existentiam, positam esse a theologo viro manifestationem.

100. Age vero si tibi non videris absurde facere, dum vocabulum PROCESSIO ad aliud significandum transfers; fac similiter immutes vocabuli quoque GENERATIO sensum, quoniam duo haec verba (generatio et processio) in duabus personis, Filio videlicet et Spiritu, a summis theologis adhibita sunt ob ostendendam, quoad fieri potest, amborum ex Patre diversam existentiam: atque ut huius proprium modum generatio ostendit in Filio, neque alio umquam sensu adsumetur; eadem ratione etiam in Spiritu PROCESSIO, quia proprium modum substantialis existentiae item denotat, non licet eam ad alium sensum detorquere: alibi enim, non hoc loco, vocabulum hoc cognosci-

παρενείρων ἑρμηνειῶν, κἀπὶ τῇ γεννήσει παρομοίως παρέγραφε· καὶ εἰ βούλει, εὐπορίᾳ σοι κἂν ταύτῃ ἐκφάνσεων καὶ ἐκλάμψεων, ὡς ἐκφωνουμένων εὖ κἀπὶ τοῦ υἱοῦ, πρὸς αὐτὰς ὡσαύτως μετατίθει τὰ τῆς γεννήσεως ἐφ' ἑτέρᾳ σαφηνείᾳ παρὰ τὴν ὕπαρξιν, ἵν' ἡμῖν ἔτι μᾶλλον τὰ τῆς διανοίας ῥιζοτομήσῃς προθέλυμνα, ὡς ὧδὶ τὰς τῶν φωνῶν τοιαύτας ἀσπαζομένοις, μὴ τοῦ τῆς γεννήσεως ἰδιοσημάντου τὸ σύνολον εἴῃ ἀνατροπῇ, οὕτω κἀπὶ τοῦ πνεύματος· οὐμενοῦν ἐπ' ἀναιρέσει τῆς ἰδιοτρόπου φωταυγείας τῆς ἐκπορεύσεως· καὶ μὴ τοῦτο σκοπῶν ἔσο τὰ κατ' αὐτὴν, ὅτι σοι πρὸς εἰρημένας φωνὰς μετενήνεκται, ἀλλ' ὅτι τὰ τῶν πατρικῶν ἐπ' αὐτῇ διδαγμάτων προδήλως ἀνασκεύασται ἐπὶ λέξεων, σφίσι τὸ καταφασκόμενον ἀποφάσκοντι· καὶ ὡς εἰς ἀῤῥαγὲς ἤδη σοι συμπέρασμα τοῦτο, τὸ περισπούδαστον ἐκεῖνο ἀποκαθίσταται, τὸ εἰς ὀρθὴν τὰς τῶν διδασκάλων χρήσεις ἔννοιαν ἐκλαμβάνεσθαι. cod. f. 66. a.

ρα'. Ἀλλὰ σὺ μὲν ὑπὸ τῆς ἧς ἔχεις ἀδείας ταῦτα μὴ συνορῶν, ἢ καὶ παρατρέχων ἑκὼν, ὥς τινα τῶν ἀφορήτων ἐγκλημάτων ἐπάγεις τὸ, ἐκπόρευσιν οἱ θεηγόροι διετράνωσαν δι' υἱοῦ· καὶ τοῦτο λέγειν ὀφείλομεν, καὶ οὐχ ὕπαρξιν· οὐ γὰρ εὕρηταί τις οὕτω κατὰ ῥῆμα θεολογῶν· καὶ ὡς εἰ λελεγμένον ἐστὶ, τὸν φήσαντα δεδειχέναι χρεών· ἡμεῖς δέ σοι καὶ αὖ μηδαμῶς ἀποδοῦναι λόγους οἷς αἰτιᾷ κατανεύοντι, μόνοις δ' ἡμῖν τὸ τοιοῦτον δεσποτικῶς ἐπιτάττοντι, ἀνταποκρινόμεθα, ὡς κἀπὶ τῇ τῆς ἐκπορεύσεως ἐκφωνήσει, κἀπὶ τῇ τῆς ὑπάρξεως δι' υἱοῦ τοῖς θεοβραβεύτοις ἐσμὲν διδασκάλοις ὑπείκοντες· καὶ τὴν μὲν ῥῆσιν οἴδαμεν ἐκ τῶν ἱερῶν σφίσιν εὐαγγελίων ἀπολεχθεῖσαν, τὴν δὲ πρὸς τῶν αὐτῶν παραδεδομένην ταυτησὶ κατάλληλον διευλύτωσιν ἅπαξ ἀνα-

tur polysemum. Tu vero si heic distinctiones invehis interpretationum, idem in voce quoque GENERATIO scribe. Quod si tibi placet etiam in PROCESSIONE copia manifestationum et splendorum, prout sunt voce prolatae etiam de Filio, transfer similiter vocem GENERATIO ad alium praeter existentiam sensum, ut eo magis hanc significationem radicitus nobis amputes, qui hoc loco vocabula haec retinemus, ne generationis proprius sensus omnino subvertatur: atque ita etiam ubi de Spiritu agitur; non autem ob proprium explendescendi modum perimendum. Neque sic processionem consideres prout ea a te ad alia vocabula translata fuit; sed potius reputes, patrum doctrinas labefactari, dum quod illi his verbis adfirmant, negas. Dum ergo haec tibi insolubilis conclusio conficitur, illud quoque desiderabile admodum obvenit, ut magistrorum dicta recto sensu intelligas.

101. Interim tu, pro ea qua uteris libertate ac fiducia, haec minime considerans, aut etiam sponte praeteriens, tamquam gravissimam criminationem infers hanc: processionem, inquis, deiloqui patres dixerunt per Filium; et hoc dicere debemus, non existentiam: nam nemo invenitur ita ad verbum theologice locutus: et si forte dictum fuerit, ab eo qui id adfirmet demonstrari oportet. Nos vero tibi, etiamsi criminationum tuarum rationem reddere non promittenti, et nobis tantum praepotenter hoc imperanti, respondemus: nos, inquam, et in processionis et in existentiae per Filium praedicatione, religiosissimis magistris obtemperamus. Et vocabulum quidem ex sacris evangeliis ab eis depromptum scimus, eiusdem autem ab ipsis traditam idoneam

πτυχθεῖσαν οἱασοῦν χωρὶς διαστίξεως. Καὶ τίς ἡ λεπτότης αὕτη τῶν νοημάτων, ἢ μᾶλλον ἡ σαφὴς εὑρεσιλογία, τὸ τὴν ῥῆσιν, ὡς ἐῤῥέθη, ἀνεξηγήτως δῆθεν φάσκειν διακελεύεσθαι; καί τοι γε αὐτὸς σὺ ὁ ταῦτα θεσμοθετῶν, οὐκ ἀρκοῦν ἐλογίσω τὸ καθ' ἡμῶν ἐνταῦθα στῆναι σοι ἐπιχείρημα, ἀλλὰ καὶ πρὸς ἐξηγήσεις οἰκείας ἐχώρησας, καὶ καταδήλους ταύτας πεποίηκας· καὶ πῶς ἡμᾶς ὡς τοῦτο δεδρακότας, καὶ ταῦτ' οἰκεῖον μηδὲν εἰρηκότας, ἀποβλήτους ἡγῇ; οὐ τοῖς οἷς αὐτὸς ἀποφαίνῃ περιπίπτεις καταιτιάμασιν; εἶτα τῆς λέξεως σημασίαν ἐξ ἀνάγκης αὐχούσης, οὐ γάρ ἐστιν οὐδεμία καὶ τῶν πάντη σχεδὸν νομιζομένων καταφανῶν μή τοι γε τῶν ὡς αὕτη βάθος ἐχουσῶν διανοίας, καὶ τὴν οἰκείαν πλουτεῖν διασάφησιν· καὶ σοῦ πρὸς ἰδίας ἐπὶ ταύτῃ θεωρίας παρορμηθέντος, τίνι τῶν ἐπ' αὐτῇ προαχθεισῶν ἐξηγήσεων προτρέπῃ προστεθῆναι ἡμᾶς, ἣν αὐτὸς οἴκοθεν παραδίδως; οὐ γὰρ ἔχεις ἀρνήσασθαι· ἣ καθάπαξ ἣν οἱ πατέρες φθάσαντες διετράνωσαν· οὐ ἆρ' ἐναργῶς τὴν αὐτῶν ὑπεκκλίνων, τὴν σαυτοῦ παρεισάγεις καὶ συνθέσθαι ταύτῃ τυραννικώτερον συνωθεῖς; ὁ τῇ ῥήσει τὸ ἀνεπεξήγητον ἐντελλόμενος, καὶ προφάσει τοῦ μὴ οὕτω τηρηθῆναι τὰ τοσαῦτα κομπάζων δραματουργῆσαι δεινά· ὅταν δὲ ταῦτα ποιῶν καὶ λέγων, καὶ αὐτὸς ἑαυτῷ περιπίπτων, πρὸς τῷ παρορᾶν τὰ τῶν θεηγόρων, τά τε τῆς οἰκείας σπεύδειν συνιστᾷν διανοίας, καὶ ἐναντία σφίσιν εὑρίσκοιο ἐκτιθέμενος, ἐφ' ὧν ὕπαρξιν ἀδιαστόλως διευλυτοῦσι, σὺ μὴ ὕπαρξιν ἔστιν οὗ ἀντιδιαστέλλων, ποίους ἀνελίττων ἧς τῷ συνειδότι σοι διαλογισμούς· ἂν μὴ παρὰ φαῦλον τοῦτο τιθῇς, εἰπὲ καὶ αὐτὸς, οὐ γὰρ βασανίζων τὰ σὰ, παραδραμοῦμαι δὴ τὰ ἐμὰ, ὡς ἡμετέρου νοός ἐστι, καὶ οὐ τῶν πατέρων τὴν cod. f. 66. b.

explanationem simpliciter fuisse expositam absque distinctione. Quae est autem (ait adversarius) haec cogitationum subtilitas, vel potius merum commentum, ut nempe vocabulum prout prolatum est, sine interpretatione pronunciari imperetur? Atqui tu ipse qui hanc legem fers, haud eum modum reputasti praescribere tibi in eo quod contra nos statuisti argumento, sed ad proprias explicationes excurristi, et has in lumine collocasti. Cur ergo nos idem facientes, et quidem nihil proprio marte dicentes, reiiciendos iudicas? Nonne in tuas ipse criminationes incurris? Praesertim quia vocabulum necessariam significationem habet: non enim ullum propemodum est omnium quae existimantur, perspicuorum vocabulorum, nedum profundo sensu pollentium, quod a semet ipso habeat explicationem. Et quia tu ad proprias theorias incumbis, cuinam a te adductarum explicationum nos adhortaris adhaerere, ex iis quae de penu proprio depromis? Non enim potes inficiari illam quam patres pridem proposuerunt. Nonne manifeste illorum explicationem declinans, tuam obtrudis, eique nos subscribere tyrannice admodum impellis? qui vocabulum absque interpretatione esse iubeas; et obtentu, quod haec non accurate observentur, iactabundus tragoedias agis. Cum vero haec facis aisque, tibimet contradicis, dum neglecta deiloquorum sententia, tuam stabilire conaris, et contraria illis proponere coargueris, quatenus illi existentiam absolute praedicant, tu vero distinguis. Quaenam, inquam, conscientiae tuae ratiocinia nobis exhibes? Nisi id nugaciter facis, dic tu ipse: non enim ut tua expendam, mea praetermittam; quasi nostra cogitatio sit, non vero patrum,

ἐκπόρευσιν εἰς ὕπαρξιν ἐκλαμβάνεσθαι· ὡς τὰ σφῶν ἐπὶ τοῦτο παρατρέχομεν ἀριδήλως, τὰ ἡμῶν ἀντεισάγοντες, ὡς ἀντικαθεστῶτες καθορώμενα ἑαυτοῖς, ἅπερ ἐξαγγέλλειν ὡς ἐρρέθη παρακελευομένοις τούτων οἴκοθεν ἐξηγήσεις εἰσφέρουσιν, ὡς ἐναντιοφωνῆσαι ταῖς τῶν διδασκάλων ἑρμηνείαις ἐπὶ λέξεων συνηλάθημεν· εἴ τι τοιοῦτον ἔστι σοι, ἀνάβόησον· ἀλλ᾽ οὐκ ἂν δύναιο ἐξειπεῖν· καὶ ἵνα τί τούτοις σεαυτὸν ἐμπεδώσας τῇ καθ᾽ ἡμῶν ἀκαθέκτῳ μανίᾳ ἐναβρύνῃ ὡς μεγάλα κατωρθωκώς; ἔστιν ἕτερον λόγων καὶ πρακτέων βασανιστήριον, μὴ προλήψεσι καὶ δυναστείαις παρακρουόμενον, εἰ καὶ τὸ παρὸν ἐπέχεις, ἢ καὶ παριάγεις αὐτός.

ρβ′. Νῦν δ᾽ ἀλλὰ τοῖς ἀπηριθμημένοις σοι πρόσθες καὶ τὰ λοιπά· εἴ
cod. f. 67. a. τις ἡμῶν καὶ ἑτέρων ἐφευρετὴς ἐξηγήσεων πρὸς τοῖς δηλωσθεῖσιν ἐπὶ τῇ περὶ ἧς ὁ λόγος χρήσει τῶν θεόθεν κοινῶν δοθέντων καθηγεμόνων γεγένηται, ὡς αὐτὸς σὺ καὶ τῆς σῆς εἴ τις συμμορίας ἀπόλεκτος· προανάταξον τὸ, παρὰ τὸ ὁμοούσιον εἰρῆσθαι τὸ ἐκ πατρὸς δι᾽ υἱοῦ ἐκπορεύεσθαι· ὡς εἴ τις ἀρίστως θεολογῶν, παρὰ τὸ ὁμοούσιον τὸ γεννᾶσθαι τὸν υἱὸν ἐκ πατρὸς φαίη· καὶ οὐ παρὰ τοῦτο μᾶλλον ἐκεῖνο ἐρεῖ, παρὰ τὸ γεννᾶσθαι δηλονότι τὸ ὁμοούσιον, περὶ οὗ πλατύτερον διειλήφαμεν· τούτοις μὴ ἀρεσθεὶς, τὸν ἔλεγχον ὅσα πάλαι λαβὼν, ἐφ᾽ ἕτερον τράπηθι· δίδαξον τὸ δι᾽ υἱοῦ, ἀντὶ τοῦ μετὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι, εἰς τὴν ΜΕΤΑ τὴν ΔΙΑ μεταμείβων κατὰ παράδοσιν νέων πατέρων, οὓς σχεδιάσας ἔχεις τοῖς ἄρτι καιροῖς, ἵνα μὴ εἰς κενὸν ὀφθείην τὰ τοῦ θαυμαστοῦ τοῦδε θεωρήματος διαγράφων, τὸ σαφὲς αὐχοῦντα καὶ ἐμφανὲς, ἐπὶ διαβατικωτέραν ἔννοιαν ἄλλην ταυτὶ ἐάσας ἀνάχθητι, τὴν τὸ ΗΚΕΙΝ, καὶ ΔΙΗΚΕΙΝ διαλευκαίνουσαν· τῶν ἀγράφως ἔτι σοι τρα-

processionem tamquam existentiam admittere. Quare illorum argumenta in hoc praetermittimus, nostra recitamus; tamquam opponentes opinionem nostram iis qui suas proprias explicationes proferunt, ut nos ad contraria dicenda patrum explicationibus pertrahamur. Si quid tibi superest, clama; sed non poteris eloqui. Cur vero tu in tua adversus nos vesania defixus, gloriaris quasi magnum aliquid effeceris? Est alius verborum et operum explorandorum modus, a praeiudiciis et praepotentia invictus, etiamsi rem praesentem habes, vel etiam ipse circumagis.

102. Nunc age iam tibi enumeratis adde et reliqua; si quis certe inter nos est aliarum inventor explanationum, praeter hactenus elucidata, circa hanc de qua loquimur dictionem a Deo datorum communium praesulum, sicut tu ipse, et tuae si quis est factionis praecipuus. Praesuppone, propter consubstantialitatem dictum esse (Spiritum) ex Patre per Filium procedere. Veluti si quis egregius theologus, propter consubstantialitatem diceret genitum Filium ex Patre; et non contra potius dicat, propter generationem haberi consubstantialitatem, de qua re latius iam disseruimus. His haud contentus, ceu olim, ad aliud te converte. Doce dictionem PER FILIUM loco esse dictionis CUM FILIO, mutans particulam EX in CUM, secundum novorum patrum traditionem, quos subito natos habes praesenti tempore. Ne vero in cassum videar mirum hoc theorema scribere, manifestum oppido ac lucidum, ad faciliorem aliam, hoc omisso, dictionem perge, quae VENIRE et PERTRANSIRE sig-

γωθέντων ἀντιποιήθητι, ὡς μενέτω ῥηθὲν ἔνθα καὶ λέλεκται· ὡς οὐκ ἐξὸν πάσας ῥήσεις ἐντεῦθεν τῶν τῆς εὐσεβείας καθηγητῶν κηρύττειν καὶ καταγγέλλειν ἁπλῶς· ἐπείπερ ὡς αὕτη κἀκεῖναι, ποῦ, καὶ τίσιν ἐπὶ ὑποθέσεσι θεόθεν ἐμπνευσθεῖσαι διηγορεύθησαν· ἐῶ σε τῶν λοιπῶν ἀναμνῆσαι, ἴσως οἴκοθεν μιμνησκόμενον, τὸν ἐγγράφως ἡμῖν ἐνόντων καὶ ὅλως παρρησίᾳ λαληθέντων ἐπεὶ λόγος, ἵνα μὴ καὶ τὸ διαβάλλειν προσεπιτρίψῃς, ὃ καὶ αὐτὸ σὺ καθ' ἡμῶν οὐ παρῆκας ἀνερυθριάστως μεταχειρήσασθαι· διάγγειλον εἰ τῶν πολυπληθῶν τῶνδ' ἡμεῖς ἐξηγήσεων καινουργοί· ἔνστηθι εἰ μή σου ταῦτα τοῦ τῷ ἁπλῷ καὶ ἑνιαίῳ τῆς ἀληθείας ὅσα πεφυκότι ἐνασμενίζοντος· φράσον εἴπερ ἄλλό τι παρὰ τὴν παραδεδομένην ἐφ' οἷς ὁ λόγος μονολόγιστον διασάφησιν εἰρηκότες ἡμεῖς καθεστήκαμεν, εἰ μὴ ταύτην τηροῦντες ἐσμὲν εἰσαεὶ, ἐκπόρευσιν ἐκ πατρὸς δι' υἱοῦ καθομολογοῦντες, καὶ ἣν μονοειδῶς πρὸς τῶν θεοσόφων σημασίαν αὐτῆς παρελάβομεν ὕπαρξιν, μηδὲν ἕτερον εὐπαρρησιάστως φρονοῦντες αὐτὴν, ἢ ὅπερ ἐκείνην, κἀκείνην ὅπερ ταύτην ἁπανταχοῦ· ἐπεὶ γὰρ ἴδιος τρόπος ὑπάρξεως τοῦ πνεύματος ἡ ἐκπόρευσις, ὃ ὕπαρξις, τοῦτο πάντως ἐκπόρευσις ἐπ' αὐτοῦ· καὶ ὃ ἐκπόρευσις, τοῦτο ὕπαρξις ὁμολογουμένως ἐστὶ, καὶ ἀεί· καὶ οὐ πῆ μὲν, πῆ δ' οὔ, κατὰ τὰς σὰς ὑψηλὰς διαστίξεις, ἃς ἐκ τῶν διαφόρων σῶν συνελέξω διευλυτώσεων· ὡς γὰρ ἰδιότης ὑπάρχον τὸ ἐκπορεύεσθαι, οὐκ ἂν ἐφ' ἕτερον τοῦ οὗ ἐστι πρόσωπον μετασταίη ποτέ· ἢ πῶς ἂν ἰδιότης μείνῃ κινουμένη καὶ μεταπίπτουσα; οὕτως οὐδ' ἐπ' ἄλλό τι μεταβαίη ἂν σημαινόμενον· ἢ πῶς ἂν ἰδιάζων κληθείη τρόπος cod. f. 67. b.

nificet. Quae hactenus absque scripto dixisti retine, ut maneat dictum ubi et prolatum est; quatenus impossibile est dictiones cunctas religionis nostrae antesignanorum vel praedicare simpliciter et evulgare; nempe tum haec, tum illae, ubinam et quibusnam in argumentis Deo inspirante pronunciatae fuerint. Sino te reliquas commemorare, qui per te fortasse memineris earum quae scriptae nobis manent, confidenter dictarum ex quo loquimur, ne etiam calumniam aspergas, quam ipsam tu contra nos haud omisisti impudenter struere. Enarra numquid plurimarum harum explanationum novicium sit. Incipe, nisi tu forte his ob simplicem et unicam veritatis naturam adquiescis. Dic utrum aliud nos, praeter traditam de hoc argumento constantem explicationem, dixisse videamur, nec nisi hanc unam perpetuo dictionem usurpaverimus, processionem ex Patre per Filium confitentes, eamdem secundum theophororum sensum intelligentes esse existentiam; aliud quicquam audacter hanc esse censentes, praeter illam; et illam, praeter hanc ubique. Nam quia proprius existentiae modus Spiritui est processio; quae est processio, eadem existentia sine dubio est semperque erit; non autem modo utique, modo nequaquam, secundum tuas sublimes distinctiones, quas ex variis tuis collegisti interpretationibus. Cum enim procedere sit proprietas, numquam ad aliud, quam ad id cuius est persona, transibit. Nam quomodo maneret proprietas, si commoveretur aut transferretur? Sic itaque ad alium numquam sensum transibit. Vel quomodo proprius vocaretur existentiae modus (in hoc enim differentia consistit,) si non in se ipso per-

ὑπάρξεως; τοῦτο γὰρ ὁ διάφορος, μὴ ἐν αὐτῷ μένων, ἀλλὰ διαπίπτων πῆ καὶ πρὸς ἕτερον; ὡς ὕπαρξιν εἶναι καὶ μὴ ὕπαρξιν, κατά σε.

ργ'. Εἰ γοῦν μή τινα λοιπὸν ἄλλον, τὸν Δαμασκόθεν φεγγοβόλον λαμπτῆρα τῆς ἐκκλησίας αἰδέσθητι, τῶν ῥητῶν ἑκάτερον, τό τε ἐκ τοῦ πατρὸς, καὶ τὸ ἐκ πατρὸς δι' υἱοῦ ἐκπορεύεσθαι δογματίζοντα, καὶ μεμονωμένως τὰ τῆς λέξεως σαφηνίζοντα· καὶ εἰ διαστολὰς οὗτος οἶδεν, ἄμφω προφέρων πάντως ἂν διεστείλατο· οὐ γὰρ μικρὸν τοῦτο καὶ περὶ μικρῶν ὁ λόγος αὐτῷ· οὗ σὺ καὶ τῶν κατ' ἐκεῖνον μείζων καὶ ὑψηλότερος ὀρθὰς ἐννοίας ἐπὶ τοῖς οἰκείοις παρὰ τὰς ῥηθείσας σφίσι καινολογῶν. Πλὴν ὡς τείχεσιν ἀκαταμαχήτοις τούτοις ἡμεῖς πεφραγμένοι, καὶ τὸν ἐν θεορρημοσύνῃ πολὺν ἀντικαθιστῶμεν σοι
cod. f. 68. a. Κύριλλον ἐν τῷ δευτέρῳ σε τῶν πρὸς Ἑρμείαν ἀποπεμπόμενον, οἷς οὕτω διέξεισιν· "ἅγιον δὲ πνεῦμα προσερεῖς τὸ ἐκ θεοῦ πατρὸς δι' υἱοῦ προχεόμενον „ φυσικῶς, καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διὰ πνοῆς τὴν ἰδίαν ἡμῖν „ κατασημαῖνον ὕπαρξιν· οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τῶν τριῶν ὑποστάσεων „ ἐν ὑπάρξεσιν ἰδικαῖς ἰδιότητα τηρῶν, μίαν τε καὶ ὁμοούσιον τὴν ἁπάντων „ βασιλίδα προσκυνήσεις φύσιν. „ Εἰ ἀληθείας ἤρας, εἰ κακίας ἧς ἐμπέπλησαι καθ' ὑπερβολὴν ἠλλοτρίωσαι, οὔτ' ἐν τοῖς προδιειλημμένοις αὐθαιρέτων ἐξείχου ἂν ἀφορμῶν, ἐκπόρευσιν ἀκούων καὶ ὕπαρξιν ἀπαιτῶν, ὡς ἄμφω δεικνύναι θέλων τῶν ὀθνείων πρὸς ἄλληλα κατὰ προσδιορισμούς τινας σούς· καὶ εἴθε μόνων ἁπλῶς ἀφορμῶν πρὸς τὸ καὶ ἀψύχων εἰ δυνατὸν συγκινῆσαι φύσιν, εἰς προσθήκην τῶν καθ' ἡμῶν σοι πολυμηχάνων κακώσεων, ὧν ἡμῖν οὐκ ἔνεστιν ἐπιστρέφεσθαι, καὶ μὴ καθαρῶν πρὸς τους τῆς εὐσεβείας ὑπερ-

maneret, sed aliquando excideret, et quidem ad alium sensum? ita ut existentia esset, et simul non existentia, secundum te.

103. Itaque si non alium, certe Damascenum, splendidum ecclesiae lumen, reverere, qui utramque dictionem, et EX PATRE et PER FILIUM procedere, dogmatice tradit, et unum eumdemque sensum dictioni attribuit. Quod si distinctiones iste novisset, quoniam ambas dictiones usurpat, prorsus ea distinxisset. Non enim parva res haec, neque de parvis sermo illi est; cuius tu, et aliorum huic similium (quasi sis maior ac sublimior) rectos sensus ad tuos novos reformas, praeter illorum sententiam. Verumtamen nos his quasi muris inexpugnabilibus muniti, magnum quoque theologum tibi opponimus Cyrillum, qui in secundo ad Hermiam libro sic te alloquitur: « sanctum vero Spiritum dices illum ex Deo Patre per Filium naturaliter profusum, et veluti specie illius spirationis, quae ore fit, suam nobis patefacientem exi» stentiam. Ita tu claram et inconfusam trium personarum in propriis subsistentiis » proprietatem servans, unam consubstantialem omnium rerum reginam adorabis na» turam.» Si veritatem amasses, si nequitia, qua scates, temet abalienasses, ne praedictis quidem voluntariis tuis praetextibus indulsisses, PROCESSIONEM audiens, et EXISTENTIAM requirens, quasi ambas denotare volens invicem alienas, secundum quasdam distinctiones tuas. Atque utinam solis simpliciter (usus esses) praetextibus, ob inanimatorum quoque, si fieri potest, commovendam naturam, in additamentum tuarum contra nos multiplicium nequitiarum, quas nobis retorquere non licet, et non

μάχους ἐναντιώσεων, οἷς ἐστι καὶ λίαν παθαίνεσθαι· οὔτ' ἐνταυθοῖ προφάσεων ἰδιοθελῶν αὖθις ἀντεποιοῦ, ἣν ἐζήτεις ὕπαρξιν ἐπὶ λέξεως ἔχων, καὶ πρὸς ἕτερα μεταβαίνων διανοίας εὑρέματα· καὶ τί σοι ἂν ἐπὶ τούτοις προσείποιμεν, ἅπαξ σφίσι προσηλώσαντι ἑαυτὸν, καὶ μὴ ἀποσχέσθαι βουλομένῳ μηδοπωσοῦν; οὐδὲν ἄλλο ἢ τὸ θᾶττον ἂν ἐλλιπὲς ὀφθῆναι τὸ χῦμα συχνῶν τοῦ ἀριθμοῦ, καὶ μηδαμοῦ προσῆκον εἰς ἄπειρον, ἤ σε τῶν σαυτοῦ ληφθῆναι ἐφευρέσεων· τοῦτο μόνον καλῶς ποιουμένων, ὅτι σου πάντῃ καταφανὲς παριστῶσι τὸ ἐθελόκακον· καὶ νῦν γὰρ ἀντιφάσκων ἐπάγεις, ὡς σημαῖνον οὐκ ἔχον ἔφη τὴν ὕπαρξιν· δεῖ δὲ τοῦτο, μὴ ἐκεῖνο δεῖξαι τρανῶς· καὶ εἰ τὸ cod. f. 68. b. ἔχον σοι προὔκεισο, τὸ σημαῖνον ἂν ὡς ἐντελὲς ἀνηρευνᾶτο ζητούμενον· καὶ εἰ τόδε, πάλιν ἕτερον ἐπ' αὐτῷ, καὶ ἐφεξῆς ἄλλο· καὶ οὕτως ἂν κατὰ τὸν ὑποτεθέντα λόγον ἐλελείπει σοι μᾶλλον ποσότης, ἢ πορισμὸς σκήψεων εἰς ἀπέραντον 1).

ρδ'. Ἀλλ' ὦ οὗτος· πνεῦμα ἅγιον ἀκούεις ἀπὸ τοῦ ἐκ πατρὸς δι' υἱοῦ φυσικῶς προχεῖσθαι, τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν, καὶ τῶν ἀηττήτων σοι προβλημάτων ἐκστὰς, τοῦ σημαῖνον αὖ δράττῃ, ὡς ἐντεῦθεν συστῆσαι πάλιν τὰ τοῦ σκοποῦ, καὶ τὴν δι' υἱοῦ ὕπαρξιν ἀνελεῖν· καὶ εἰ τοῦτο πάνθ' ἁπλῶς ἀναιρῆσαι σε χρὴ, ἐπειδὴ λέξεσι καὶ ταῖς δι' αὐτῶν ἡμῖν σημασίαις καθόσον οἷόν τε φανεροῦται καὶ εἰς κατάληψιν ἔρχεται· οὕτω τε διὰ τοῦ Γεν-

meris adversus orthodoxiae propugnatores contradictionibus, quas nimium patimur! Neque heic rursus voluntarios obtentus prae te fer, quam quaerebas existentiam habens, et ad alia mentis commenta transiens. Nam quid tibi super his dicamus, qui te semel eis addixisti, neque recedere ullatenus vis? Nihil aliud, quam cito deficientem apparere numeri multitudinem, neque in infinitum procedere: aut certe te a frequentibus tuis irretiri commentis, quae nihil aliud quam voluntariam tuam nequitiam demonstrant. Et nunc enim contradicens addis, quod pronunciavit vocabulum significatum non habere, existentiam: oportet autem hoc, non illud, perspicue demonstrare. Quod si significatum habens tibi proposuisti, significatus ut perfectus rem quaesitam scrutatur. Et si hoc, rursus aliud post ipsum, et deinde aliud. Atque ita iuxta propositam rationem defecerit tibi potius quantitas, quam adquisitio commentorum in infinitum.

104. Sed heus tu: Spiritum sanctum audis ex Patre per Filium naturaliter effundi, atque ita nobis propriam ostendere existentiam. At enim tu ab invictis problematibus discedens, verbum SIGNIFICANS arripis, ut hinc scopum tuum denuo assequaris, et PER FILIUM existentiam perimas. Quod si fiat, cuncta a te perimi oportet, quandoquidem ea vocabulis, et horum significatibus nobis, quantum licet, manifestantur et ad mentis comprehensionem veniunt. Sic per vocabulum generare significatam vi-

1) Versamur in auctore apprime σκοτεινῷ. Audiendum heic summi hellenici Allatii iudicium de hoc opere et auctore lib. II. 9. de cons. et in dissertatione de Georgiis: *dictio in omnibus dura, compositio aspera, nullo fuco, nullo lenocinio emollita: ubique tamen pietatem redolet: sententiae graves, argumenta ad probandum id quod voluit firma, sed elocutione et compositione nominum horrida et confragosa.* Accedit ad stili duritiem scholastica argumentationis theologicae subtilitas. Utinam ipse Allatius in hoc opere interpretis munere fungi voluisset! quod minime ab eo factum apparet.

t

νᾶσθαι σημαινομένην ἡμῖν αὐχοῦμεν τὴν ἀπαθῆ καὶ ἀΐδιον ὕπαρξιν τοῦ υἱοῦ· καὶ διὰ τοῦ ἐκπορεύεσθαι, τὴν τοῦ πνεύματος· καὶ δι' ἑτέρων ἄλλα, ἵνα μὴ ἀπαριθμοίημεν ἕκαστα· καὶ τὰς ἑρμηνείας τῶν προτεθειμένων ἀμφοτέρων ῥήσεων τουτωνί, οὐ τὸ ἔχειν τοῖς θεοκοσμήτοις διδασκάλοις εὕρῃς ἂν παραλαμβανόμενον, ἀλλὰ διάφορον ὡς οἶδας, καὶ αὖ τρόπον ἄλλον, καὶ δήλωσιν ἰδίας ὑπάρξεως, καὶ τοιουτωδῶς ἀλλαχόσε διασαφούμενον· καὶ ὅτι μὴ ἐκεῖνο ἐγκείμενον παρὰ τοῦτο φαίης ἂν σημαίνειν ἢ δηλοῦν, καὶ οὐχὶ ἔχειν εἶπον τὴν ὕπαρξιν· καὶ ποῖον ἂν εἶδος οὐχ ὑπερβαίνῃς παραπληξίας λέγων ταυτί; καὶ σὺ αὐτὸς οὐχὶ ταῖς πρὸς ἀνασκευὴν ἐπινοηθείσαις σοι διαστίξεσι, τὸ οὐ καθαρῶς τὴν ὕπαρξιν βούλεται σημαίνειν ἀντέθηκας, διὰ λέξεως τῆς σημαίνειν, ταύτην ἀνατρέψαι πειρώμενος· ἀλλ' ἐρεῖς ἐπ' ἐκείνων ὡς τοῖς πατράσιν ἐλέχθη καὶ τὸ ἔχειν τὴν ὕπαρξιν ἐπί τε υἱοῦ καὶ πνεύματος ἐκ πατρός· καὶ παρ' ἡμῶν ἐνωτίσῃ ὡς εὖγε σοι, καὶ οὐ πάντως ἂν ἐνσταίης ὡς οὐκ ἐκ τῶν δηλωθεισῶν ῥήσεων τοῦ γεννᾶσθαι καὶ ἐκπορεύεσθαι, καὶ τῶν αὐταῖς ἀρα-
cod. f. 69, a. ρότως σημαινομένων οἱονεὶ θέσεων ἐναργῶν, καὶ ἀποδηλοῦν, καὶ ἔχειν ἐξεφωνήθη· καὶ τοιοῦτον εἴ τι περ ἕτερον, καὶ οὐκ ἂν ἀναιρετικὰ πρὸς ἄλληλα ταῦτα τολμήσαιο φθέγξασθαι, ὡς τῇ τοῦ ἑνὸς εἰσηγήσει τὴν θατέρου γίνεσθαι ἀποσόβησιν, εἰ μὴ μέμηνας· εἰ οὖν οὕτω ταῦτα συνομολογεῖται δέ σοι καὶ τὸ τὴν ἑτέραν ἑκατέρων τῶν οἱονεὶ πρὸς τάδε βάσεων λέξεων ἡρμόσθαι τοῖς δι' υἱοῦ, τίς ἡ ἐκ τοῦ σημαίνειν ἄκαιρος περιττολογία καὶ πλέον ἐπισφαλής; οὐδὲν ἄρ' ἐντεῦθεν ὀνούμενος, καὶ τὴν δι' υἱοῦ ὕπαρξιν τρανουμένην αὐχεῖς, καὶ προσέτι τὴν ἰδίαν· μὴ δὲ γὰρ τοῦτο παράτρεχε σκοπῶν ταῖς πατρικαῖς χρήσεσιν, ὁποῖον ἔνθεν πληρεστάτως τὸ ἀλληλένδετον, καὶ τὸ

demus impassibilem et sempiternam Filii existentiam: et per vocabulum PROCEDERE, illam Spiritus: et per alia aliud, ne singula adnumeremus. Et interpretationes amborum horum quae ante diximus vocabulorum apud divinitus ornatos magistros invenies, sed alio ut scis modo; rursusque alio modo, et ostensionem propriae existentiae, et hac ratione alibi explicatum fuit. Et ne illud tibi inhaereat, ut praeterea dicas significare aut ostendere, ideo non habere dixi existentiam. Et quodnam genus insaniae non exsuperes, si haec dicas? Et tu ipse nonne ad destructionem excogitatae a te distinctionis, quod haud pure vult existentiam significare, per hoc quod opponebas, vocabulum *significare*, hanc evertere conatus es. At heic insuper dices, quod a patribus dictum fuerit habere etiam existentiam Filium et Spiritum a Patre. Et a nobis audies: euge tibi; neque omnino mireris, quod non ex praedictis vocabulis GENERARI et PROCEDERE, et congruentibus eorum significatibus, quasi thesibus perspicuis, et denotare et habere pronunciatum sit. Atque hoc vel aliud, haud profecto invicem peremptoria audeas dicere, ita ut uno admisso, alterius fiat exclusio, nisi forte insanis. Si ergo haec ita tu confiteris, et harum alterutra, quasi vocabulorum basis iaciatur verbis per Filium, quae erit ex significatu importuna vel intuta superfluitas? Nulla hinc capta utilitate, et per Filium manifestam extstentiam profitens, et insuper propriam. Neque hoc item praetermittas, cernens in patrum textibus quam sit saepissime reciprocum, et in cunctis conspiratio atque consonantia. Quod enim

κατὰ πᾶν ὁμόπνουν καὶ σύμφωνον· ὃ γὰρ ἐκεῖ ῥῆσις ἡ ἐκπορεύεσθαι, μηδὲν ἄλλο ἢ ἰδίαν σημαίνουσα ὕπαρξιν, τοῦτ' ἐνταυθοῖ κείμενον ὁλοκλήρως κατὰ μηδεμίαν ῥηματίου παραλλαγήν.

ρέ'. Σὺ δ' ὡς ἐγκλήματα ταῦτα προσάπτων, καὶ τὰ τῆς σῆς ὑπερεξαίρων διανοίας γεννήματα, καὶ πρὸς τὰ λοιπὰ τῶν καθ' ἡμῶν σοι λεγομένων διάβηθι· κἀκείνοις ἵνα τὸ πρὸς τὴν ἀλήθειαν ἰθυτενές σοι δείξῃς καὶ ἀπαρέγκλητον· καὶ δεύτερος οὗτος ἀγὼν γενέσθω, τὸ καὶ τὰ τῆς θεολογίας τῆς τὸ προσεχῶς, καὶ διὰ τοῦ προσεχῶς κηρυκευούσης εἰς ἐννοίας ὀρθὰς ἀγαγεῖν· κἂν ταύτῃ γὰρ τοῖς προτέροις ὅμοια δρῶν φθάνας ἐγκελευσάμενος, ὡς τὸ πνεῦμα προσεχῶς ἐστιν ἐκ πατρὸς, οἰκεῖον ἀξίωμα τοῦτο παραδιδοὺς, ὡς ἐκεῖ μὴ τὴν ὕπαρξιν δι' υἱοῦ· κἀκ τούτων τὰ πατρικὰ διδάγματα διορθούμενος· "κἀνταῦθα γὰρ „ θεὶς τὸ διαληφθὲν, ἐπιφέρεις ὡς οὕτω δεῖ τοῦ λοιποῦ τὰ τῆς ῥήσεως καθο-„ μολογεῖν· εἴρηκεν ὁ εἰπὼν καὶ τοῦ ἐξ αἰτίας ἄλλην πάλιν διαφορὰν ἐννοοῦ-„ μεν· τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, καὶ οὐδεὶς ὁ ἀμφισβητῶν· εἶτα cod. f. 69. b.
„ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· ἐνθάδε φρονεῖν ἀνάγκη καὶ λέγειν, διὰ „ τοῦ προσεχῶς προσεχῶς· καὶ καθεξῆς αἱ κατασκευαί τε καὶ ἐρωτήσεις μετὰ „ σφοδρότητος· ἢ γὰρ οὐχ ὁμοτίμως ὁ υἱὸς, καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρός; ἢ „ γὰρ οὐχ ἅμα; οὐκοῦν καὶ ἄμφω δὴ προσεχῶς; ὢ μανίας· ὢ ἐθελογνώμονος σκαιωρίας νικώσης πᾶσαν ὑπερβολήν· ἰδού σοι καὶ αὐτὸ τὸ προδήλους σκήπεσθαι σκήψεις· ἐπισυσκιάσει τάχα τῆς οἰκείας ἐπὶ τοῖς ῥητοῖς ἀθετήσεως ἀπεσχοίνισται, καὶ λαμπρὰ πρὸς ταῦτα καὶ ἀπερικάλυπτος ἡ ἀντίρρησις· οὐκέτι σοι τὸ διορθοῦν μόναις ἀμφιλοχωρεῖν ἐννοίαις ἀποθρασύνεται, ἀλλὰ

illic verbum PROCEDERE significat, id heic textus integre positus, sine ulla vel voculae diversitate.

105. Tu vero ceu crimina haec traducens, tuaeque exaltans mentis conceptus, iam ad reliqua tuorum contra nos obiectorum perge, ut te in veritate rectum indeclinabilemque demonstres. Et alterum hoc certamen sit, ut quod theologia de eo qui proxime praedicat, et de eo qui ex proximo, ad rectum sensum dirigatur. Namque et in hoc paria superioribus faciens, nuper constituisti, quod Spiritus proxime ex Patre sit, a quo dignitatem accipit, illinc nequaquam tamen existentiam per Filium; et hinc patrum doctrinas corrigis. « Namque et heic dictum vocabulum ponens, in-» fers quod ita de reliquo oporteat dictionem confiteri. Dixit disputator: locutionis » quoque EX CAUSA rursus differentiam consideramus: nam proxime ex primo, de » quo nemo dubitat; deinde per eum qui est proxime ex primo. Heic necessa-» rio censere oportet et dicere proxime proxime. Et deinde argumentorum stro-» phae fiebant et interrogationes cum vehementia. Nonne pari honore Filius et » Spiritus ex Patre sunt? Nonne simul? Nonne ergo ambo proxime?» O insaniam! o voluntariam perversitatem, quae omnem gradum exsuperat! En tibi contingit ut manifesta quoque struas commenta, quae fortasse ut tuam confutationem obveles, fune veluti trahis. Sed splendida ad haec est et minime velata responsio. Iam non amplius tibi recte facere videris si in solis verseris praetextibus, sed et ipsas ad litteram aggredi audes propositas theologias. Et nos quidem Filium immediate, Spi-

καὶ αὐταῖς ἐνάλλεσθαι κατὰ ῥῆμα ταῖς κειμέναις θεολογίας ἀπαναιδεύεται· καὶ ἡμεῖς μὲν τὸν υἱὸν προσεχῶς, τὸ δὲ πνεῦμα διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου· καὶ διαφορὰν ἀμφοῖν τοῦτο· οὐ γάρ ἐσμεν ἄλλως ἢ ἀπαραλλάκτως, ὡς ἐῤῥέθη, κηρύττοντες, μεγάλης σοι ἀτοπίας κρινόμεθα· σὺ δὲ παρ' οὐδὲν τιθέμενος ταῦτα, καὶ ἀνέδην κατὰ λέξιν ἀποτρεπόμενος, καὶ τὸ διὰ τοῦ προσεχῶς προσεχῶς δογματίζων, καὶ τοιουτοτρόπως ἑκάτερον εἶναι προστάσσων, ὡς μὴ διαφορὰν τοῦθ' ὑπάρχειν, ἀλλ' ἀδιάφορον, ὑπερήγορον σεαυτὸν καὶ διορθωτὴν εὐσεβείας οὐκ αἰσχύνῃ ἀποκαλεῖν· καὶ σπουδαῖον ἀναιρέτην βλασφημιῶν· καὶ τίς τὴν ἐς τοσοῦτον ἐπεισχυθεῖσαν σκοτόμαιναν ἀποκλαύσεται, θρήνους ἐξισοῦν εἰδὼς πράγμασιν; ἀλλ' εἰ καὶ τῆς πατρικῆς εἰσηγήσεως τῆσδε κατεξανίστασαι, φράσον ἑτέρωσε τῶν ἁγίων, εἴπου τινὰ διατρανοῦντα τὸ προσεχῶς οὗρες ἐπὶ τοῦ πνεύματος· ὅσοι δεῖξαι οὐκ ἔνεστιν· πλὴν εἰ καὶ ἦν δοτέον· καὶ γὰρ ἐχρῆν καὶ οὕτω ταυτὶ πρὸς ἐκεῖνα, ἢ ἀντιστρόφος, τῶν εἰκότων ὁπότερον συμβιβάσαι, καὶ μὴ ἀνερυθριάστως οὕτω δογμάτων σε τῶν διδασκαλικῶν κατεπαίρεσθαι· τούτων γὰρ ἐναργῶς ἀναιρέτην, καὶ οὐχ ὧν αὐτὸς βρενθύῃ ἡ ἀρίδηλος ἀλήθεια παριστᾷ· ὅμως ἀπόχρη σοι πρὸς δεφένδευσιν, τὸ ὁμοτίμως, καὶ τὸ ἅμα προϊέναι μεγαλοῤῥημονεῖν ἐκ πατρός· ταῦτα δὴ τὰ μετὰ σφοδροῦ τοῦ πνεύματος ἐπ' ἀθετήσει λαμπρᾷ τῆς παραδεδομένης διαφορᾶς προφερόμενα· καί μοι δοκεῖς ἐντεῦθεν καὶ πρὸς ἐκεῖνο τὰ αὐτὰ διαιτῆσαι, πῶς ἐκ τοῦ πατρὸς, εἴπερ ἅμα τῷ πατρὶ καὶ ὁμότιμος ὁ υἱός; καὶ προσέτι πῶς εἴπερ ἅμα καὶ ὁμότιμον τῷ ἐξ οὗ, τῶν προσώπων ἑκάτερον ἐξ αὐτοῦ; ὧν τὸ εὐέλεγκτον ἐμφανὲς ὑπάρχον, καὶ πρόχειρον, κἂν τοῖς ἡμῖν ἄνω που προτεθειμένοις περὶ τούτου διείληπται, καὶ τὸ ἱκανὸν ἔχειν νενόμισται.

cod. f. 70. a.

ritum autem, per eum qui est immediate ex primo. Et haec est inter eos differentia: neque enim aliter aut variabiliter ut dictum est praedicamus, et tamen grandis absurditatis reos nos agis. Tu vero haec teruncii faciens, impudenter ad litteram pernegas; et per proxime dogmatizas proxime; atque hoc modo utrumque esse iubes, ut non huius rei sit differentia, sed sit indifferens: et dictatorem te ac correctorem rectae fidei non erubescis appellare, et praeclarum blasphemiarum extinctorem. Quis tantas offusas tenebras satis deploret, et rem luctu adaequare queat? Sed si contra patrum quoque doctrinam insurgis, dic aliunde quemnam sanctorum vocabulum proxime de Spiritu adserentem inveneris, quod tibi certe ostendere non licebit. Verumtamen si hoc fieret, nam et hoc tibi permittitur, sic etiam oporteret haec cum illis, et vice versa conferre, quid magis conveniret disquirere, non autem adeo impudenter dogmaticis doctrinis adversari. Harum enim te extinctorem, et non illarum, quas iactas, manifesta veritas arguit. Attamen tibi ad defensionem sufficeret illud *pari honore*, et alterum *simul procedere* magna voce praedicare *ex patre*. Haec magno cum spiritu ob destruendam traditam differentiam prolata. Et mihi hinc videris, eadem in illo quoque disponere, quomodo ex Patre, si certe cum Patre est pari honore Filius. Et insuper, quomodo si simul et pari honore cum eo nude est, utraque persona ex ipso est; cuius rei reprehensio evidens est et obvia; atque a nobis, in superioribus de hoc dictum fuit, et bene se habere definitum.

ρϛ'. Νῦν δ' ἕτερον ἐπὶ τοῦ μέσου σοι προαχθήτω· τὸ αἴτιον διὰ τοῦ υἱοῦ τὸν πατέρα λεχθῆναι, καὶ λογοπραγηθήτω σοι ἐμβριθῶς, κἂν ἑωρακὼς εἴης οὕτω κείμενον τοῦτο, καὶ συνημμένως εὐθὺς ἐπαγόμενον, τὸ, προβολεὺς γὰρ διὰ λόγου τοῦ ἐκφαντορικοῦ πνεύματος· ἀποπήδησον· κἂν ἐρόμενος τίς τῶν πατέρων αἴτιον δι' υἱοῦ εἰρήκει τοῦτ' αὐτὸ πάλιν ἀκούσαις, ὁ προβολεὺς φάμενος διὰ λόγου, μὴ προσχεῖν ἀνάσχοιο τὸ παράπαν, ἀλλὰ ῥιζόθεν ταμεῖν κατεπείχθητι, τὸ, προβολεὺς μὴ τὸν αἴτιον ἐνθαδὶ λέγειν ἀποφαινόμενος· καὶ τῶν συνήθων κἀνταῦθα γενοῦ σοι διαστολῶν· ἄλλως τὸν αἴτιον ἡνίκα μὴ δι' υἱοῦ δογματίζοιτο· ὡδὶ δὲ μηδαμῶς ἐμφαίνειν διοριζόμενος· καὶ πόσης ταῦτα δεσποτείας, ὅσης κυριαρχίας εἰσὶν, εἰ ὁ τὴν ὁμολογουμένην ἔννοιαν γεγραφώς; πάντες γὰρ οἱ θεηγόροι μονομερῶς ἐπὶ τῆς αἰτίας τὸ προβολεὺς ἐξειλήφασι· καὶ οὐδεὶς οὔμενουν ὁπουδήποτε πρὸς ἕτερον εὕρηται μεθιστῶν, τῶν ἀσύγνωστα παρανομησάντων σοι γράφοιτο· σὺ δὲ ταύτης ἀπάγων καὶ ἀριστῶν τῆς κοινῇ σφίσιν ἁπλῶς εἰλημμένης, καθ' οὓς οἴκοθεν σχεδιάσας ἐφάνης ἀφορισμοὺς, εὖ ποιῶν οἴει καὶ φρυάττῃ διακενῆς· καὶ οὐ πάντως ἀγνοεῖν σε φαίην ἂν ἔγωγε, ὡς ἰδιαιτέρως ἐδήλωσε τὴν αἰτίαν τοῦ πνεύματος ὁ τὸ προβολεὺς καταγγείλας, ἢ ὁ τὸ αἴτιος· ὥσπερ ὁ τὸ γεννήτωρ, ἢ τὸ αἴτιος αὖ ἐπὶ τοῦ υἱοῦ· τὸ μὲν γὰρ κοινὸν καὶ καθόλου· τὰ δὲ ἴδια· παρ' ὃ καὶ ἀμφοῖν μὲν αἴτιος ὁ πατὴρ, ἀλλ' οὐκ ἀμφοῖν γεννήτωρ, ἢ προβολεὺς, θατέρου δὲ μᾶλλον κατὰ θάτερον αἴτιος· καὶ ἀμφοῖν κατ' ἀμφότερα· ὡς τοῦ μὲν καθ' ὃ γεννήτωρ αἴτιος ἀνομολογεῖσθαι, τοῦ δὲ καθ' ὃ προβολεύς· τῷ τοι καὶ ὁ τὸν πατέρα τοῦ πνεύματος αἴτιον λέγων καθ' ὃ προβολέα cod. f. 70. b.

106. Nunc aliud a te in medium producatur, nempe quod Pater per Filium causa dicatur, idque gravibus a te verbis declametur, etiamsi videas sic se habere textum coniunctimque et statim addita verba : *profusor enim per Verbum effulgentis Spiritus.* Apage; etiamsi patrum aliquis *causam per Filium,* hoc vicissim tibi dictum audies : profusor dictus per Verbum : ne attendere patiaris omnino, sed radicibus amputare propera; vocabulum *profusor* negans heic *causativum* significare, solitisque nunc quoque distinctionibus tuis inhaerens. Aliâs dici *causativum* cum non *per Filium* dogmatizatur ; heic autem nequaquam id significare definiens. Quantae haec impudentiae sunt atque tyrannidis! qui confessum sensum scripsisti. Etenim omnes deiloqui concorditer ut causae significativam vocem *profusor* acceperunt : nemoque aliquando ad alium sensum transtulisse comperitur. Tibi ergo inveniabilia peccantium damnatio infligatur. Tu vero ab hoc sensu longe discedens, quem illi communiter adoptarunt, secundum quos sponte tua videris subitaneas intorsisse excommunicationes. Puta te bene egisse, et vana gloria te iacta. Neque ergo me plane nescire dicam, quod magis proprie denotavit Spiritus causam, is qui vocabulum *productor* intulit, quam qui *causativus :* sicut etiam *genitor* magis quam *causa,* cum agitur de Filio. Illud enim et commune et universale, haec autem propria. Unde et amborum genitor, aut profusor; sed alterius potius secundum alterum causa, et amborum secundum ambo; ita ut alterius quidem, secundum quod est genitor, causa improprie vocitetur ; alterius autem, quatenus est

αἴτιόν ἐστιν ἀναγορεύων, κἂν συνεκφωνῶν εἴη τόδε, κἂν μὴ συνεκφωνῶν· καὶ οὐκ ἔστιν ἄλλως ἢ οὕτως αἴτιον εἰρῆσθαι τοῦ πνεύματος· ὑπεξαιρουμένου γὰρ τούτου, ἀσεβὴς δὲ ὁ οὕτω φάσκων, συνεκβέβληται καὶ τὸ αἴτιον, εἰ μή που καθ' ὃ γεννήτορα, καὶ τοῦ πνεύματος αἴτιον ἐθέλει φρονεῖν· τρόπος γὰρ ἕτερος οὐδαμῶς· ὃ καὶ αὐτὸ προδήλου βλασφημίας ἐκτόκιον.

ρζ'. Πῶς οὖν ἰδιαίτατα τὸ τὴν αἰτίαν παριστάνων τοῦ πνεύματος, οὗ χωρὶς ὁ ταύτης εἰσαχθείη λόγος οὐδ' ὃ πωσοῦν· ἔστιν οὗ μὴ σημαίνειν τὴν αἰτίαν διϊσχυρίσαιο, ὡς εἴ τις τῆς ὁμοίας ὢν διαθέσεως, ἐπειδήπερ ὅμοιος ἐν ἑκατέροις ὁ λόγος, τὸ τὴν ἰδιάζουσαν αἰτίαν τοῦ υἱοῦ ἐκδιδάσκων, τοῦτο δὲ ὁ γεννήτωρ· ἔστιν οὗ φάναι μὴ δηλοῦν αὐτὴν ἀπαυθαδειάσαιτο· ἢ πῶς ὁ ταῦτα νομοθετῶν οὐ καινοφωνῶν εἴη τῶν πατρικῶν ἀλλότρια παραδόσεων; ἕν σοι τὸ ἀσφαλές, εἰ πατέρα ἔχεις τὸν οὕτω διοριζόμενον· ἀλλὰ τούτου μὴ ὄντος, δεῖξον αὖ εἰ ἐκ προφάσεως οἱασοῦν τῶν ἐπὶ τῇ ῥήσει διηγορευμένων

cod. f. 71. a. τῷ θεολογηκότι πατρὶ, συνῆκται σοι τὸ πρὸς ἑτέραν αὐτῆς παρὰ τὴν κειμένην ἔννοιαν ἔκπτωτον, εἴ ποθεν ὢν οὕτω φησὶν· « οἶδα ὅτι ἐστὶν ὁ πατὴρ ὑπερούσιος ἥλιος, πηγὴ ἀγαθότητος, ἄβυσσος οὐσίας λόγου, σοφίας, δυνάμεως, φωτὸς, θεότητος, πηγὴ γεννητικὴ καὶ προβλητικὴ τοῦ ἐν αὐτῇ κρυφίου ἀγαθοῦ, » ποία σοι ἐντεῦθεν λαβὴ, μὴ περὶ τῆς αἰτίας εἶναι τὸν λόγον, ἀλλ' ἑτέρας ἁπλῶς τυγχάνειν παρὰ ταύτην ἐμφάσεως; ὅτι πηγὴν τὸν πατέρα διαρρήδην βοᾷ· καὶ τίς ἀληθείας φίλος τοῦτο τρανῶς ἀκούων συμπερανεῖ, τὸ μὴ αἴτιον, ἀλλ' ὅτι τὴν πηγὴν γεννητικὴν εἶναι, καὶ προβλητικὴν διορίζεται

est profusor. Quamobrem et qui Patrem causam Spiritus dicit, quatenus est profusor, causam esse denuntiat; sive simul id pronunciet, sive secus: neque aliter licet nisi sic causam dicere Spiritûs; etenim hoc subtracto, irreligiosus fit qui ita loquitur. Simulque expellitur *causativum*, nisi forte quatenus Patrem etiam Spiritûs causam vult intelligere. Alius enim modus nullus est; immo et hic ipse manifestae blasphemiae foetus est.

107. Quomodo ergo apprime proprium sit causam exhibere Spiritus, sine quo de ipsa numquam sermo commoveretur? Est cuius significare causam non contenderes; veluti si quis pari esset habitu, quoniam similis in utrisque ratio, quae peculiarem Filii causam docet, id est genitor. Est ubi dicendi non ostenderes audaciam. Aut quomodo qui talia definit, non sit nova loquens, et a patrum traditionibus aliena? Unum tibi tutum est, si (theologum) patrem habes sic definientem. Sed si huius tibi copia non est, demonstra quonam praetextu doctrinae circa hanc dictionem a theologo patre traditae, colligatur tibi transitio ad alium eiusdem sensum, si forte sic dicat: « scio patrem esse supersubstantialem solem, fontem bonitatis, abyssum substantiae Verbi, sapientiae, virtutis, lucis, divinitatis, fontem generantem et profundentem id quod in ipso est bonum. » Quaenam tibi hinc ansa est, quominus de causa sit sermo, sed de altera omnino re sit haec locutio? siquidem fontem esse patrem diserte clamat. Quisnam veritatis amans haec liquido audiens, concludet non esse causativum, sed potius esse fontem genitalem et profundentem definiet absconsi in ea boni? Quis piorum dogmatum defensor,

τοῦ ἐν αὐτῇ κρυφίου ἀγαθοῦ· καὶ τίς δογμάτων εὐσεβῶν προϊστάμενος, τὸ μὲν γεννητικὴν οὐχ ἁπλῶς τῆς αἰτίας, ἀλλὰ καὶ εἰς διαφορὰν αὐτῆς δεόντως ἐκλήψεται; διάφορον γὰρ υἱοῦ καὶ πνεύματος αἴτιον ὁ πατήρ· τὸ δὲ προβλητικὴν, μὴ αἰτίας, μὴ διαφορᾶς εἶναι δηλωτικὸν ἀπαρνήσεται; πῶς γὰρ ὅλως διαφορᾶς, εἴ γε μὴ ἁπλῶς τῆς αἰτίας ἐστί; τίς δ' ὁ ταῦτα καλῶς εἰδὼς, καὶ ἀμφότερα τῆς αἰτίας, καὶ ἀμφότερα τῆς διαφορᾶς; ἐπείπερ ἀνάγκη· εἶθ' ἑπομένως αἴων κατὰ συνάφειαν, αὐτὸς μὲν οὖν ἐστι νοῦς, λόγου ἄβυσσος, λόγου γεννήτωρ, καὶ διὰ λόγου προβολεὺς ἐκφαντορικοῦ πνεύματος· καὶ τὸ μὲν γεννήτωρ λόγου, τοῦ διευκρινηθέντος κρίνων διορισμοῦ τῷ τούτων ἐκφαντορι· τὸ δὲ προβολεὺς διὰ λόγου πρὸς ἕτερον ἀπάγων ἐπινενοημένον αὐτῷ; οὐχὶ δῆλος ἐστὶν ἀναντιρρήτως τῆς τοῦ συνειδότος κατεξανιστάμενος διαγνώσεως; τί δὲ σοὶ καὶ τὸ μεγαληγορεῖν, ὡς προβολέα ἔφη, καὶ οὐχὶ αἴτιον; ἐπὶ ἐξαπάτη δῆθεν, ἢ πεποιθὼς ἧς τοῦ παρὰ τὰ διηγγελμένα τοῖς ἁγίοις φάναι παρασυρῆναι ἡμᾶς· τί φής; οὐχὶ παραδεδομένη τοῖς θεοφόροις λέξις ἡ προβολεὺς, ἀλλ' ἀσήμαντος· μενοῦν γε καὶ συνομολογήσαις, ὡς οὔτε μὴ παραδεδομένη, καὶ προσέτι σφίσι σημαντική· πῶς οὖν ἐπὶ διαφορᾷ αἰτίας πάντως ἐρεῖς; ἰδοὺ γοῦν σοι κατ' ἄμφω τὸ ταύτης σθεναρὸν καὶ ἀπροσδεὲς κατά τε δήλωσιν καὶ ἐκφώνησιν· ἀλλ' οὐχὶ δήλωσις ἡ αὐτὴ, ἡνίκα λέγοιτο δι' υἱοῦ· καὶ ἤδη σοι ὁ πόνος ἔστραπται ἐπὶ κεφαλῆς· τίς αὐτῶν ὁ διαστειλάμενος; ἢ δεῖξον, ἢ δεῖ σε στέρξαι τὸ σφῶν εἰς παράδοσιν οὐ διάστικτον· συμβαίη μὲν δέ σοι καὶ καθαρῶς, εἰ βούλει, οἱ παρὰ τὸ τῆς εἰρήνης καλὸν ὡς εἶδεν ὁ ἀλάθητος ὀφθαλμὸς, καὶ πρὶν ὑπερμογήσαντες οὐ μικρῶς, καὶ νῦν οἷς αὐτὸς ἐπέσκηψας κατεξεταζόμενοι· ὁμολόγησον οὐκ αἰτίαν μόνον ἀλ- cod. f. 71. b.

generativum quidem non simpliciter causae, sed etiam ad differentiam eius accipiet? Diversum enim est Filii et Spiritus causativum pater. At profusivum, nec differentiae nec causae esse significativum negabit. Quomodo enim omnino differentiae, si quidem simpliciter causa est? Quis vero haec probe scit, et ambo causae, et ambo differentiae? namque ita necessitas postulat; deinde consequenter audiens secundum connexionem: ipse itaque est mens, Verbi abyssus, Verbi genitor, et per Verbum profusor explendescentis Spiritus; dictionem *genitor est Verbi*, perspicuo sensu tribuat manifestatori; dictionem autem *profusor per Verbum* ad aliam notionem trahat? Nonne apparet hunc sine dubio contra conscientiae suae diagnosim loqui? Cur autem tu magnificenter dicis, quod profusorem dixerit, non causam? quia nempe hinc falleris vel confidis, dum extra sanctorum dicta nos dicis abstractos. Quid ais? Nonne tradita est a theophoris vox profusor? num haec significatu caret? Utique confiteberis, quod nec tradita non sit, et praeterea apud ipsos significativa. Quomodo igitur? Propter causae differentiam, prorsus dices. En ergo tibi in ambobus validus et nullius indigens significatus et praedicatio. Sed non est manifestatio haec, cum de Filio dicitur. Et iam tibi labor ad initium redit. Quis illorum distinxit? Vel ostende, vel oportet te dictum illorum amplecti tamquam traditum absque distinctione. Sed fac concedamus tibi pure, si vis; etiamsi nos ob pacis bonum, ut omnituens Dei oculus noscit, nec diu nec leviter iam laboravi-

λὰ καὶ διαφορὰν αἰτίας κατὰ τοὺς θεοειδεῖς ἀδιαστόλως διδασκάλους σημαίνειν τὸ προβολεύς· καὶ ἡμεῖς τούτῳ μόνῳ τὸ αἴτιον μὴ ἐκφωνοῦντες ἀρκεσθησόμεθα, καὶ γραφαῖς ἁπάσαις λόγων καὶ προφοραῖς· ἀλλὰ τὸν ἀναφαινόμενον ἐντεῦθεν αἰσχύνῃ μυκτηρισμόν· καὶ τί σοι τὸ λογισθῆναι τοδὶ πρὸς τὸ κερδανεῖν ἀδελφοὺς παροψομένους σοι τοσαῦτα ἐπὶ τούτῳ νεανιεύματα; μᾶλλον μὲν οὖν τάδ' ἐπιβεβαιῶν, καὶ ταῖς ἰδιασυστάτοις σοι χρήσῃ διαιρέσεσι καὶ διαστολαῖς· καὶ οὐχ ἁπλῶς τὸ τοῦ μυκτῆρος ὀφλήσεις σαφὲς, ἀλλὰ καὶ προφανὴς ἡ κατὰ τῶν κηρύκων τῆς εὐσεβείας στησεταί σοι ἀντικατάστασις· πρῴην μὲν γὰρ ἑνὸς μόνου τούτων ἔνοχον σεαυτὸν ἐδείκνυς, ἐπὶ δοκήσει δῆθεν θηρολεξίας ἠκριβωμένης· νῦν δ' ἐξ ὧν εἰς ταῦτα γραφαῖς παραδέδωκας, οὐχ ἕξεις ἀμφοτέροις ἐξαλύξασθαι τὸ ὑπεύθυνον.

ρη'. Καὶ τούτων οὕτως ἀποχρώντως ἐχόντων, ἐκεῖνα σοι καὶ τὴν αὐτολεξεὶ τῆς διὰ τοῦ υἱοῦ αἰτίας τράνωσιν παραθήσουσι· πολλάκις κατ' ἀναγ-
cod. f. 72. a. καίαν τῷ λόγῳ παραληφθέντα περίληψιν· ὧν καὶ ὁ γεννήτωρ οὐκ ἀφανὴς, ἀλλὰ τηλεφανὴς ἔστι σοι καὶ οὐράνιος· "τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμο-
„ λογοῦντες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα· ἐν
„ ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴ-
„ τιον εἶναι πιστεύειν, τὸ δὲ ἐκ τοῦ αἰτίου, καὶ τοῦ ἐξ αἰτίας ὄντος· ἄλ-
„ λην πάλιν διαφορὰν ἐννοοῦμεν, τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ
„ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου.„ Διαυγὴς ἰδοὺ πάντῃ σοι, καὶ ἐπίοπτον, ὡς κατὰ πρώτην διαίρεσιν, διαφορὰν υἱοῦ καὶ πνεύματος πρὸς τὸν πατέρα παραδιδοὺς, τὸν μὲν αἴτιον εἶναι διαγορεύει· ἄμφω δὲ ἐξ αὐτοῦ αἰτίας ὄν-

mus; et nunc prout tu decrevisti exagitamur. Confitere non causam tantummodo, sed et differentiam causae secundum divinitus videntes magistros, absque distinctione significare verbum PROFUSOR; et nos hoc tantum, ne pronunciemus CAUSAM, contenti erimus, et scripturis omnibus sermonum et pronunciationibus. Sed tamen emergentis hinc pudeat te irrisionis. Et quid tua interest hoc reputari, prae lucrandis fratribus, qui has tibi dissimulabunt circa rem hanc nugas? Magis itaque haec confirma; et tuis sponte conflatis utere divisionibus et distinctionibus; neque omnino risui manifesto patebis; immo manifesta erit tua contra orthodoxiae praecones adversatio. Antehac enim uni tantum ex his criminibus reum te demonstraveras, nempe quod videreris vocabulorum venator acerrimus; nunc autem ob ea quae scriptis commendasti, non poteris utriusque culpae vitare poenam.

108. Quae cum ita, ut par est, se habeant, illa tibi ad litteram affirmationem causae per Filium apponent, quam saepe in sermone nostro necesse fuit commemorare complexionem; quorum et genitor non est obscurus, sed longe illustrissimus et caelestis. « Indifferentiam naturae confitentes, differentiam causantis et cau-
» santis non negamus, qua unice distingui alterum ab altero intelligimus; quia il-
» lud causativum esse credimus, hoc autem ex causativo. Et eius qui ex causa est
» aliam rursus differentiam cogitamus: nam alterum immediate est a primo; alte-
» rum ab eo qui immediate est ex primo. » En tibi omnino perlucidum, iuxta primam distinctionem, differentiam Filii et Spiritus a Patre tradens; illum quidem cau-

τος αἰτιατά· εἶθ' ἑκατέρου πάλιν διασαφῶν τὸ διάφορον, τὸ μὲν φησιν ἐξ αἰτίου τοῦ πατρὸς προσεχῶς· τὸ δὲ διὰ τοῦ προσεχῶς ἐξ αὐτοῦ· τίνι γοῦν τῶν ἁπάντων οὐκ ἀναμφήριστον, ὡς ἐξ αἰτίας τοῦ πατρὸς διὰ τοῦ υἱοῦ, τὸ θεῖον πνεῦμα θεολογεῖ, καὶ ὡς αἰτιατὸν ἐξ αὐτοῦ διὰ τοῦ υἱοῦ δογματίζει; ὁπότερον βούλει· ἐπεὶ καὶ ἀμφότερον ἀριδηλότατα διαρθροῖ· καὶ τίς εὑρεσιλογία σοι τὸ παράπαν ἐνθάδε, μὴ αἴτιον διὰ τοῦ υἱοῦ τὸν πατέρα λέγεσθαι; εἰ μὴ καὶ αὖ συνθολοῦν ἐθέλεις τὰ δίκην φωτὸς ἀπαστράπτοντα· φαίης ἂν ὡς ἐκ τοῦ πρώτου τὸ προσεχῶς, καὶ διὰ τοῦ προσεχῶς εἰρήκει· ἀλλ' ἐμφραγείης ἀκούων, καὶ τοῦ ἐξ αἰτίας ἄλλην πάλιν διαφορὰν ἐννοοῦμεν, καὶ συνορῶν τοῦθ' ὅπερ ἐκεῖνο, κἀκεῖνο ὅπερ τοῦτο τρανῶς· ὁ γὰρ αἰτίαν ἐπὶ τῇ ἐξ αὐτῆς τῶν αἰτιατῶν ἀμφοτέρων διαφορᾷ κατωνόμασε, τοῦτ' αὐτὸ ἐπὶ τῇ διαιρέσει καθ' ἣν ἡ διαφορὰ πρῶτον ἐκάλεσε· διαφόροις ὀνόμασι ἐν τῇ προφορᾷ κατὰ λεκτικῆς εἰθισμένην ἀκολουθίαν, ἓν καὶ τὸ αὐτὸ πᾶσι δηλοποιῶν· ἄλλως τε καὶ οὐδ' ἀλλαχόσε οὐκ ἔστι πρῶτον οὐδαμῶς τὸν πατέρα ἐρεῖν, ὅτι μὴ ἐξ ἀνάγκης κατὰ τὸ αἴτιον· ἡνίκα δὲ καὶ διατόρως προαναφωνουμένων ἐνωτίζῃ, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα· ἐν ᾧ μόνῳ θεσπίζει τὰς τῶν προσώπων διακρίσεις θεωρεῖσθαι πρὸς ἄλληλα· καὶ αὗται δῆλαι καθεξῆς, καὶ διαφανεῖς, ὡς τὸ μὲν αἴτιον εἶναι· τὸ δὲ ἑκάτερον, αἰτιατὸν ἐξ αὐτοῦ· καὶ τούτου τὸ μὲν προσεχῶς, τὸ δὲ διὰ τοῦ προσεχῶς· ἔχῃς ἂν εἰπεῖν, ὡς διαφοραὶ ταῦτα ἑτέρου πρὸς ἕτερον, καὶ ὡς οὐχὶ κατὰ τὸν παραδεδομένον λόγον ἁπλῶς τοῦ αἰτίου δηλαδὴ, καὶ αἰτία τοῦ. cod. f. 72. b.

sativum esse pronunciat, ambo autem illos ex ipsius causa esse causatos. Deinde utriusque rursus declarans differentiam, alterum quidem dicit esse ex causativo Patre immediate, alterum autem per eum qui immediate est ex illo. Cuinam igitur non est indubitatum, quod ex causativo Patre per Filium, divinum Spiritum theologice tradit? et quod causatum ex ipso per Filium dogmatizat, quomodocumque dicere velis, quoniam et utrumque evidentissime edisserit? Et quaenam tibi omnino loquacitas heic est, ut dicas non esse Patrem causativum per Filium? Nisi forte obscurare velis quae lucis instar splendent. Dicas licet quod ex primo proxime, et per illum qui est proxime, dictum sit; sed obmutesces audiens, quod eius etiam rursus differentiam intelligimus; vidensque hoc quod illud, et illud quod hoc perspicue. Nam qui causam propter differentiam ex se causatorum amborum appellavit, hoc ipsum propter distinctionem, iuxta quam est differentia primum nuncupavit, diversis nominibus in pronunciando, secundum sermocinandi solitam sequelam, unum idemque significans. Praeter quam quod non aliunde licet primum ullatenus appellare patrem, nisi necessario propter causativum. Cum autem clare nuncupatum audis, causantis et causati differentiam non negamus: et in hoc tantummodo alterum ab altero distingui intelligimus; utpote in quo solo definit personarum distinctionem spectari inter se: et ipsae cognitae deinde ac manifestae sunt; ita ut altera persona sit causa, altera causativa ex illa; idque in una proxime fiat, in altera autem ex ea quae ex alia est proxime. Potes ne dicere non esse has differentias unius ab altera? et quod non secundum traditam doctrinam simpliciter, causantis videlicet et causati?

ρθ'. Ἢ καὶ τόδ' ἄκων ὁμολογῶν, ζητήσαις ἂν ἐπὶ πλέον, ὡς εἰ διὰ τοῦ υἱοῦ κατὰ λέξιν εὕρηται τοῦ πνεύματος αἴτιος ὁ πατήρ; οὔμενουν, εἰ μέτεστί σοι ἀληθείας τὸ σύνολον ἀλλὰ τοῦ οὕτω σε ὁδηγοῦντος, εἴ γε αἱρῇ, ἢ καὶ κατάγχοντος, εἰ μὴ βούλει· καὶ τάδε λόγῳ παραδείγματος λάμβανε τῷ κατὰ Μακεδονιανῶν περὶ τοῦ ἁγίου πνεύματος ἐκτεθειμένῳ λόγῳ 1) διατρανούμενα· "ἐφ' ὧν „ γὰρ ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάττωσιν, ἢ παραλλαγὴν ἔχει, πῶς „ ἐστὶν εὔτον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν, ἐλαττώσεως τινὸς, ἢ τῆς κατὰ φύσιν „ παραλλολαγῆς οἴεσθαι σημεῖον εἶναι; ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃ„ ρημένην βλέπων τὴν φλόγα (αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν „ πρώτην φλόγα, ἐκ διαδοσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν) ἔπειτα κατ„ ασκευάζοι πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἐφεξῆς ὑποβε„ βηκέναι καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν· τὴν δὲ τρίτην μηδὲ πῦρ
cod. f. 78. a. „ ἔτι λέγεσθαι, κἂν παραπλησίως καίῃ, καὶ φαίνῃ, καὶ πάντα τὰ τοῦ πυρὸς „ ἐργάζηται;„ Πῶς ἂν οὖν τὴν κακίαν ἐκτιναξάμενος, ἀρίστως διέγνως ταῖς θεοκροτήτοις ὅπως εἰσηγήσεσι τῶν πατέρων, μετρίως ἐφ' ὧν προβέβηκεν ἡ διά-

109. Quod si forte hoc vel invitus confiteris, quaeres insuper, an per Filium ad litteram comperiatur Spiritûs causa Pater? Minime gentium, si quid tibi veritatis inest. Sed quae te dirigant, si velis; vel suffocent, si nolueris, audi haec exempli causa in sermone de sancto Spiritu adversus Macedonianos edito, explanata. « In » quibus enim bonitatis operatio nullam deminutionem vel diversitatem habet, quo» modo rationabile sit, numeri ordinem existimare indicium esse deminutionis ali» cuius vel naturalis diversitatis? Veluti si quis in lucernis tribus subdivisam cer» nens flammam (causam autem tertii luminis supponamus esse primam flammam » quae per mediam influens accendat extremam) postmodum existimaret abundare » in prima flamma calorem; et in sequente deminui, atque in minorem commutari; » et demum in tertia iam ne ignem quidem dici posse, etiamsi similiter urat, et pa» reat, et omnia ignis officia peragat. » Quomodo igitur, depulsa improbitate, op-

1) Nysseni sermonem contra Macedonianos, quamquam revera ante nos ineditum, quater ex manuscriptis citatum a graecis hominibus diximus in huius bibliothecae tomo quarto p. 20; quibus addendus erat Allatius in vindiciis synodi ephesinae cap. 70. Insuper etiam Bandinius catal. gr. T. III. p. 324, plut. 86. in codice miscello 8, ait esse Nysseni fragmentum ex oratione de Spiritu sancto (quae eadem sine dubio est contra Macedonianos.) Tot vero testibus en nunc accedit Metochita noster, qui eamdem atque alii pericopen recitat. Et nos quidem in eodem tomo IV. capta occasione a testimonio genuino, quo Nyssenus dogma nostrum de processione Spiritus sancti etiam a Filio testatur, dissertationem scripsimus, qua varias a schismaticis inlatas patribus corruptelas recensuimus. Unam ceteroqui obliti sumus referre, quod nempe Zachariam S. Gregorii M. interpretem, circa hoc ipsum dogma corrupisse videntur. Rem dicam ipsis Maurinorum verbis in praef. ad dialogos opp. T. II. p. 118. Sic ergo Maurini. « Hanc interpretationem fuisse » corruptam in dialogorum libro II. cap. ultimo, antiqua est Iohannis diaconi (in Gregorii vita n. 75.) alio» rumque orthodoxorum querela; ubi enim latine legitur, *cum constet quia paraclitus Spiritus a Patre* » *semper procedat et Filio;* graecus interpres vel potius interpolator reddit: *manifestum est quod para-* » *clitus Spiritus ex Patre procedat, et in Filio maneat. (Quamvis astuta,* inquit Iohannes, *Graecorum* » *perversitas in commemoratione Spiritus sancti a Patre procedentis, nomen Filii suapte radens abtu-* » *lerit.)* Id ergo fraude Graecorum Spiritus sancti processionem a Filio impugnantium factum, quaeritur » Ioh. diaconus. Huius autem corruptelae auctorem fuisse Photium, peritissimum scilicet talium depra» vationum artificem, inde maxime suspicor, ait Maurinus, quod Zachariae opus et Gregorii dialogos plu» rimum commendet (cod. 252.) Nimirum ex illis interpolatis, iam sibi aut suis contra processionem Spi» ritus sancti arma conflabat, et machinas comparabat. »

σκεψις, τρόπον ἡλίου καθαρῶς ἀπαστράπτει, τὸ ἀλληλουχεῖσθαι καὶ συνᾴδειν πρὸς ἑαυτὰς, καὶ μὴ ἀσυμφώνως ἔχειν ὁποσονοῦν· Τίς γὰρ ὁ τὸ ἐκπορεύεσθαι δι' υἱοῦ πρεσβεύων, καὶ τὰ τῆς λέξεως, ὡς οἱ θεηγόροι διηρμηνευκότες εἰσὶν, ἀπροσδιορίστως φρονῶν, οὐ συνθείη μὴ ἂν ἄλλό τι κηρύττειν, ἢ τὸ προβολεὺς διὰ λόγου; καὶ τίς αὖ τοῦτο τρανῶς καταγγέλλων, ὡς οἱ αὐτοὶ κατὰ ῥῆσιν ἐκλαμβανόμενοι καθεστήκασιν, ἀποδυσπετήσειεν ἂν μὴ τοῦ ἐξ αἰτίας, τὸ μὲν προσεχῶς, τὸ δὲ διὰ τοῦ προσεχῶς ἀνομολογεῖν; καὶ μὴ μόνῳ ταυτὶ τῷ τοῦ αἰτίου καὶ αἰτιατοῦ λόγῳ πρὸς ἄλληλα διακρίνεσθαι, τό τε ἐξ οὗ φημὶ, καὶ τὸ ἐξ αὐτοῦ· καὶ τούτου αὖ τὸ δι' οὗ, ὡς οἱ θεαυγεῖς οὗτοι θεοπνεύστως ἀναπτύξαντες διεσάφησαν· καὶ τίς ὁ ταῦθ' οὕτω λέγων, καὶ διαρθρῶν, μὴ καὶ προφορᾷ γλώσσης καὶ διανοίᾳ, αἰτιατὸν ἐκ πατρὸς δι' υἱοῦ τὸ πνεῦμα, καὶ αὖ ἐξ αἰτίας τοῦ πατρὸς δι' υἱοῦ φάσκειν, καὶ διατρανοῦν ἀπαρνήσαιτο; οὐκ ἔστι τὸν, ὡς ἐρρέθη καὶ διευλυτώθη, τὰς θεοδιδάκτους ταύτας θεορρημοσύνας κατοπτριζόμενον, μὴ τὴν ἐν αὐταῖς οὕτω φεραλληλίαν καὶ ἀλληλουχίαν διαγινώσκειν λαμπρῶς· σὺ δ' ὡς τὸ φωτοφανὲς τούτων ἀειμέριμνον ἔχων σκοπὸν περιτρέπειν, τὰς εἰς ἄτοπον ἔτι σοι μᾶλλον ἀντιθήσεις ἀπαγωγάς;

ρι'. „ Πῶς ἄρα, λίαν ἐριστικῶς ἀντεπάγων, συμβαλεῖται τῷ πατρὶ ὁ υἱὸς „ ἐπὶ τῇ αἰτίᾳ τοῦ πνεύματος; εἴπερ αἴτιος ὁ πατὴρ δι' αὐτοῦ, ἀλλὰ τοῦ „ ἑνὸς, δύο αἴτιαι ὁ πατὴρ τε καὶ ὁ υἱός; ἀλλ' ἀτελὲς αἴτιον ὁ πατὴρ, ὡς cod. f. 73. b. „ ἑτέρου δεῖσθαι, κἀντεῦθεν συνεργὸν προσλαβέσθαι, καὶ συναίτιον τὸν „ υἱόν; ἀλλ' ἐκεῖνο αὖθις; ἀλλ' ἕτερον ἐπ' αὐτῷ;„ Καὶ σὺ μὲν ταῦτα διαπορήσεις, ἢ καὶ συμπερανεῖς· θαυμαστὸν δ' εἰ καὶ μὴ πρὸς τὰ ἐπὶ πλέον τού-

time cognovisti, divinas patrum doctrinas, quatenus convenienter progressa est disquisitio, solis instar pure splendescere, connecti scilicet et consonare inter se, et nusquam dissonare. Quis enim processionem per Filium confitens, et hanc dictionem prout deiloqui explanaverunt limite credens, non consentiet aliud nihil praedicare, nisi PRODUCTOR PER VERBUM? Et quis item pure confitens, prout iidem ad litteram acceperunt, repudiabit illud ex causa, aliud quidem contigue, aliud ex eo quod est contiguum, confiteri? Et hac una causae et causati ratione invicem distingui? nempe EX QUO, itemque EX IPSO; et hoc demum PER QUEM, sicut hi divinitus illuminati inspiratique explicantes commonstrarunt. Et quis haec ita dicens et exponens, tum linguae pronunciatione tum mente, causatum ex Patre per Filium Spiritum, itemque ex causante Patre per Filium, dicere et adfirmare recusabit? Nemo; qui si, ut dictum est et declaratum, divinitus tradita oracula consideraverit, ipsorum mutuam relationem et conexionem non splendide agnoscet. Tu vero quasi horum evidentiam destruendam tibi proposueris, tuas oppones ad impossibile reducentes rationes?

110. « Quomodo vero, valde contentiose respondit, coniungitur cum Patre Filius, quod attinet ad causam Spiritûs? Si Pater per se ipse causa est illius, num unius sunt causae duae, Pater et Filius? An imperfecta causa est Pater, ita ut alterius egeat, ac proinde cooperatorem assumat et concausantem Filium? An illud rursus, et aliud post illud? » Et tu quidem sic ambiges, aut etiam concludes;

των ἀπόῤῥητα προχωρέσεις· καὶ πῶς ἑκάτερον ἐξ ἑνὸς πολυπραγμονήσεις· καὶ πῶς οὐ καθ' ἕνα τρόπον, ἀλλὰ διάφορον· κἀκ τῶν καθ' ἡμᾶς τοῖς εἰς ἀδύνατον ἐπὶ τούτῳ χρήσεις καὶ συλλογισμοῖς ὑποβαλεῖς τὰ ἀσυλλογίστως ἡμῖν πρεσβευόμενα· ἡμεῖς δ' ἐπὶ πᾶσι σου τοῖς τοιούτοις, καὶ τοῖς εἰ μυρία μέλλεις εὑρεῖν ἐπιλοίποις, αὐτά σοι καὶ πάλιν τὰ τῶν διδασκάλων ἁπλοϊκῶς ὡς καθ' εἱρμὸν ἐξεφωνήθη ἀντιπαρατιθέαμεν, σφίσιν ἀρκούμενοι, καὶ τὰς ἐν αὐτοῖς σὰς καινοφωνίας, καὶ ἀτόπους ἐπινοίας ἀποπεμπόμενοι· εἰ δὲ δεῖ τι καὶ πρὸς ἔλεγχον ἀντερεῖν, ἀμυδρά σοι καὶ πρὸς αὐτὸν ἀποχρήσουσι· καί σοι ῥαδίως τὰς ἐνδείας καὶ ἀτελείας ἐπὶ κακῷ σεαυτοῦ, καὶ τὰς τὸ συμβάλλειν κατὰ τὸ δοκοῦν σοι καὶ λοιπὰ τοιαῦτα συναγούσας φωνὰς παραστήσουσιν· εἰ γὰρ ὅτι ἐκ τῆς αἰτίας διὰ τοῦ υἱοῦ τὸ πνεῦμα, ταῦτα σοι συμπεραίνεται, πόσων ἂν τοιούτων οὐκ ὀφθήσῃ συμπερασμάτων συναγωγεύς; ὅσης ἂν εὐπορίας οὐ παρεκτικὴ πρὸς τάδε γένοιτο ἡ ἐκπόρευσις διειλημμένη σοι κατὰ τὸ ἀρέσκον; οὐδὲ γὰρ ἀρτίως περὶ τούτου ζυγομαχήσομεν, ἐπειδὴ δι' υἱοῦ· πόσης οὐκ ἂν σε ἀτελείας ἐμπλήσειεν ἡ ἀΐδιος ἔκφανσις; ὅσης ἡ ἀΐδιος ἔκλαμψις, ὅτι σοι καθωμολόγηνται δι' υἱοῦ· οὐδὲ γὰρ τοῦτο λέγων κτίσματα καὶ αὐτὰς γνωματεύσαις· ταῦτα δή σοι τὰ πάνυ κομψά· καὶ προσέτι τὸ ἥκειν καὶ τὸ διήκειν, καὶ ὅσα τοιαδὶ τῶν σῶν ἐξηγήσεων· δοκεῖς δέ μοι καὶ
cod. f. 74. a. ἐνδεῆ προβολέα τὸν γεγεννηκότα πατέρα κατὰ τὸ ἑπόμενον ἀποφῆναι· ἐπειδὴ τοῦτο λέγεται καὶ ἔστι διὰ λόγου· καί τοι εἰλήφθω ὡς θελητόν· δίδοαμεν γάρ· καὶ δύο προβολεῖς ἔτι γε μὴν συμπερᾶναι λόγους δὴ κατὰ τοὺς αὐτοὺς, καὶ πολλὰ τοιαῦτα κατὰ τὸ ἐκ τῶν σῶν ἀκόλουθον θέσεων· καὶ εἰ

mirumque adeo est, quod non ad plura inaudita excurras; et quomodo uterque ex uno, requiras. Et quomodo non una ratione, sed diversa. Et ex dictis a nobis, quasi per impossibile, textibus et syllogismis oppugnabis quae a nobis extra syllogismum prolata sunt. Nos vero ad haec tua omnia, et si forte sexcenta alia excogitare poteris, eadem tibi rursus magistrorum simpliciter, ut iam in sermonis serie exposita sunt, opponimus; his nimirum contenti, tuaque super his vana verba et absurda commenta reiicientes. Quod si nihilominus refutandi causa dicendum est aliquid, pauca quaedam circa hoc tibi sufficient; quae defectûs et imperfectionis, et huiusmodi alia pro tuo libito a te collecta vocabula, ad tuum detrimentum convertent. Si enim, quia velut ex causa, per Filium Spiritus, illa tibi concluduntur, quot demum aliarum huiusmodi conclusionum consarcinator videberis? Quantae copiae fons fiet processio ad placitum tuum intellecta? Neque enim nunc de eo contendimus quod sit per Filium. Quantâ te imperfectione obruet sempiterna manifestatio? quantâ sempiternus splendor? quae tamen tu confiteris fieri per Filium. Non enim cum has dicis, creaturas esse cogitabis. Haec tua elegantissima sunt, et praeterea VENIRE et PERTRANSIRE, et quotquot aliaei nterpretationes tuae sunt. Videris autem mihi imperfectum quoque productorem consequenter obiicere gignentem Patrem; quia hoc dicitur et est per verbum. Et quidem pro libito intelligatur; etenim concedimus: itemque duos esse productores, ex eadem ratione concludi, et multa huiusmodi ex thesibus tuis consequentia. Et si dictionem per Filium invitus

τὸ δι' υἱοῦ ἄκων δεχόμενος, ἵν' αὐτὸ συγχέῃς καὶ περιτρέψῃς διὰ πολυπλόκων καὶ πολυελίκτων τοιωνδὶ σῶν ἐπιχειρημάτων, ἀδείᾳ καὶ θάῤῥει τοῦ λέγειν ὡς οἶδας, εἰς τοσοῦτον βόθυνον ὀλισθαίνεις, τί σοι τὸ ἐργομοχθεῖν καὶ διαφόροις κρημνοῖς πρὸς αὐτὸν καταφέρεσθαι, ἐνὸν ἁπλῶς καὶ δίχα πλείστων ἀνοδιῶν; περίελε καθάπαξ τὸ δι' υἱοῦ· παρὰ τοῦτο γάρ σοι τὰ πολυσχιδῆ ταυτὶ καὶ ἐργώδη, καὶ δι' ἑνὸς ὀλίσθου πρὸς βόθρον τόνδε κατενεχθήσῃ, τῶν ποικίλων καὶ πολυειδῶν ἀποστάς· ἔχεις καὶ τὸν τοῦτο σοι ὑποθέμενον ἐκ τῶν σῶν, εἰ καὶ μετρίως, ὥς ἐστιν εἰκάσαι λόγους εἴπερ ἐκείνους ἐν μέσῳ δικαστηρίῳ πρὸς ἡμᾶς λαληθέντας πρὸς τοῦ εἰπόντος ἐπὶ σοφίᾳ περιφανοῦς περιφέρεις τῇ μνήμῃ, ὡς οἱ ἀπ' ἀρχῆς διδάσκαλοι τοῦ κηρύγματος, τὸ ἐκ τοῦ πατρὸς εἰς πλάτος παραδεδώκασιν· εἶτα τινὲς τῶν πατέρων καὶ τὸ περὶ οὗ ὁ λόγος· διηρμηνεύκασι· καὶ κείσθω, ἢ γοῦν ἄπρακτον μενέτω καὶ παραφερέσθω σιγῇ, καθ' οὗ σὺ τὰ μέγιστα ἠγανάκτησας τὰ τῆς σῆς ἀμυδρῶς σκαιωρίας ὑπὸ τῆς ἀνάγκης ἐκθριαμβεύσαντος· ὃν ἡμεῖς παρὰ τοῦτο μόνον, παρὰ τὸ τὴν αὐτῷ κεκηρυγμένην ἀλήθειαν παρατρέχειν ἐπικρίνειν, μὴ ἔχοντες ἐπαινεῖν, τ' ἀλλ' εὐγνώμονά πως ἐφόσον εἰκὸς λογιζόμεθα, τῷ καιρῷ καὶ μὴ αὐθαιρέτῳ κακίᾳ συνυπαγόμενον· πλὴν οὕτω σοι καὶ τῶν εἰς ἄτοπον ἀπαγωγῶν ἀπεληλεγμένων, καὶ κατὰ τῆς σῆς ἐφευρημένων κεφαλῆς ἀποδεδειγμένων, τὸ ἀκραιφνὲς ἔτι σοι τῆς δι' υἱοῦ φωνῆς, ὅπως οὐδέν τι τούτων cod. f. 74. b. ἐμφαντικὸν, ἀλλὰ τέλειον περίστησι τὸ παρὰ τοῦ πατρὸς καὶ ἀνενδεὲς, κἂν τῇ ἄνω πρὸς τῶν θεοσόφων ἡμῖν συγκροτηθείσῃ θεηγορίᾳ κείμενόν ἐστι πλατυκώτερον, κἀκεῖνα τοῖς ὧδὶ συμπλακέντα τὸ ἱκανόν σοι παρέξουσιν· ἐν οἷς

admittens, eamque confundere ac subvertere conans multiplicibus variisque tuis hisce epichirematibus, libertate et audacia id dicendi quod tibi allubescit; si ita, inquam, in tam altam foveam prolaberis; cur laboras, et per varia praecipitia ad eam defereris, cum simpliciter possis et absque plurimis circumitionibus? Aufer prorsus dictionem per Filium (propter hanc enim tot tibi sunt distinctiones et labores) atque uno lapsu in hanc foveam defertor, omissis tortuosis et multiformibus. Habes enim et hoc a tuis subindicatum, etsi modeste, ut coniectare licet ex sermonibus, si meministi, in iudicio coram nobis habitis, ab illustri quodam philosopho, quod nempe ab initio magistri evangelicae doctrinae dictionem ex Patre explicate pronunciaverint. Deinde nonnulli patrum, aliam quoque dictionem, de qua nunc sermo, exposuerint. Sit hoc sane, id est quiescat, et silentio transmittatur: contra quem tu maxime indignabaris, quia tuam arcanam malitiam necessario palam faciebat: quem nos tamen, ob id solum quod praedicatam ab se veritatem deserendam iudicaverit, laudare non possumus; quamquam bona mente praeditum quantum fas est iudicamus, temporis occasione, non voluntaria malitia, abductum. Verumtamen postquam te tuae ad absurda aberrationes deduxerunt, et in tuum caput recidere demonstratum est, adhuc tibi integrum est illud per Filium, quasi nihil praedictorum significet, sed unice ostendat illud ex Patre, et nullius socii indigum; de qua re nos in superiore orationis parte latius tractavimus; quae illic dicta, si cum his coniungantur, sufficiens tibi responsum suppeditabunt; ubi etiam breviter expositum

τρανούμενοι ἔχεις διὰ βραχέων, καὶ τὸ μηδεμίαν αὖ τὴν δι' υἱοῦ ῥῆσιν διαρχίας παρείσδυσιν· εἴπερ αὕτη τῆς προκαταρτικῆς αἰτίας ὁμολογίαν αὐχεῖ· καὶ πρὸς τὴν πρώτην αἰτίαν τὰ τοῦ μονογενοῦς, ὥσπερ δὴ καὶ τὰ τοῦ πνεύματος ἀναφέρεται. Κοινῶν καὶ ταῦτα σωτήρων κοινῶν καθηγεμόνων καὶ ὁδηγῶν, καὶ οὐχ ἡμετέρας διανοίας εἰσὶ τὰ διδάγματα, οἷς ἡμῖν ἀεὶ τὸ ἐφ' ἅπασιν ἐπερείδεσθαι.

ρια' Σὺ δὲ καὶ πρώτην αἰτίαν ἀκούσας δυσχερανεῖς, καὶ χλευάζειν ἔνθεν καθ' ἡμῶν ὁρμηθήσῃ, ὡς πρὸς δευτέραν ἀναλίξεσι διανοημάτων παρασυρόμενος· καὶ γὰρ ἐν μέσοις ἀγῶσιν ἐφωρμήθης, οὕτω καὶ ἐδυσχέρανας, καὶ μακρὸν ἂν ὑπῆρξας ἐπὶ διαμάχῃ τούτου λόγον κεκινηκώς, εἰ μὴ παρά του τῶν σῶν ἐπεσχέθης προηγοῦ καὶ συμμύστου, ἐνταῦθα μόνον εὐγνωμονήσαντος· ἀλλ' ἡμεῖς τοῖς θείοις διδασκάλοις ἐρηρεισμένοι καὶ τὸ δι' υἱοῦ μὴ δύο αἰτιῶν ἔμφασιν ὅλως διδόναι ὁμολογοῦντες· ἐπειδὴ πᾶν εἴ τι ἐξ αὐτοῦ τε καὶ δι' αὐτοῦ καταγγέλλεται, πρὸς τὸν πατέρα θεολογικῶς ἐστιν ἀναγόμενον· ὅθεν αὐτῷ καὶ τὸ εἶναι συνανάρχως καὶ ἀϊδίως, πρῶτον καὶ ἀρχικὸν αἴτιον τὸν πατέρα, στόματι καὶ καρδίᾳ κηρύττομεν, καὶ οὐμενουν δεύτερον τὸν υἱόν· καὶ ὡς τοῦ Δαμασκόθεν ἀειφανοῦς λαμπτῆρος ἐπακροώμενοι, προβολέα διὰ λόγου τὸν πατέρα διευκρινοῦντος· καὶ πάλιν ἐξ αὐτοῦ διὰ τοῦ
cod. f. 75. a. υἱοῦ τὸ θεῖον πνεῦμα ἐκπορευόμενον, καὶ λοιπῶν ἐπὶ σοφίᾳ, καὶ ἁγιότητι περιόπτων τοῦτο διασαφούντων, οὐ δύο προβολεῖς ἐντεῦθεν, ἀλλ' ἕνα τὸν πατέρα κατὰ τοὺς ἀποδοθέντας θεολογικοὺς κανόνας μυούμεθα, τὴν πρὸς τὸν πατέρα διοριζομένους εἶναι πᾶσαν ἀναφοράν· οὕτω καὶ τοῦ Νύσσης θεοφεγγοῦς φωστῆρος ἐξ αἰτίας διὰ τοῦ υἱοῦ τὸ παναλκὲς πνεῦμα διαῤῥήδην ὑψη-

habes, quod dictio per Filium haudquaquam invehit duplex principium, quoniam principalem causam agnoscit et confitetur; et ad primam causam, quidquid habet Unigenitus ac Spiritus refertur. Sunt hae non mentis nostrae, sed communium servatorum, communiumque praesidum atque ducum doctrinae, quibus nos in cunctis semper innitimur.

111. At enim tu primam causam audiens stomacharis, et irridere nos pergis, quasi ad secundam funibus cogitationum pertractus. Nam in media disputatione concitabaris, et moleste ferebas, et diu in hoc argumento digladiabaris; nisi a tuo cohibitus fuisses praesule et rei sacrae socio, in hoc tantum recta mente utente. Sed nos divis magistris innixi, ne dictioni quidem per Filium, duarum causarum vim dare omnino profitemur. Nam quidquid ex ipso et per ipsum fieri praedicatur, ad Patrem theologice refertur: quare et ipsa Filii coaeternitas et immortalitas, primam habere originalem causam Patrem, ore et corde praedicamus: neque tamen in secundo loco esse Filium; sed Damasceno perpetuo luminari auscultamus, qui productorem per Verbum Patrem accurate pronunciat, itemque ex ipso per Filium Spiritum divinum procedentem. Nam et cum reliqui sapientia et sanctitate illustres id doceant, non duos idcirco productores sed unum Patrem secundum theologicas regulas edocemur, cuncta ad Patrem definite referentes. Sic videlicet Nyssenum quoque divinum luminare audientes ex causa per Filium omni-

γοροῦντος ἀκούοντες, οὐ δύο κατὰ τοὺς αὐτοὺς λόγους, ἀλλ' ἕνα τὸν πατέρα αἴτιον διδασκόμεθα· παρ' οὓς ἄρα καὶ τὸ πᾶν τῆς αἰτίας, καὶ μόνην πηγὴν καὶ ῥίζαν, καὶ μόνον αἴτιον εἶναι πιστεύομεν, οὐδαμῶς ἐπ' ἀναιρέσει τῆς εἰλικρινοῦς δι' υἱοῦ θεοῤῥημοσύνης τῶν ἱερῶν τῆς ἀληθείας προασπιστῶν· ἡ γὰρ ἀναντίῤῥητος ὁμολογία καὶ ἀψευδὴς κατ' ἐκεῖνα πάντως ἅπερ ἰδιαζόντως ἀπονενεμημένα τῷ πατρὶ καθηστήκασι, τὸ μόνος ἐκλαμβάνεσθαι ἀπαιτεῖ· ἐφ' ᾧ καὶ ἀναμφιβόλου ὄντος τοῦ τῶν θεολήπτων τισὶ διδασκάλων, πρῶτον ὡρισμένως καὶ ἀρχικὸν αἴτιον τὸν πατέρα δογματισθῆναι, καὶ οὐ τὸν ἐξ αὐτοῦ γεγεννημένον υἱόν· κατ' αὐτὸ δὴ καὶ τὸ μόνον τεθεολογημένον πέφυκεν ἐναργῶς· τοῦτο γὰρ μόνος ὁ γεννήσας, καὶ οὐχ ὁ γεννηθείς· οὐ γὰρ πρῶτον καὶ ἀρχικὸν αἴτιον ὁ υἱός· ἔστι γοῦν τὸ μόνος εἰλημμένον, καθ' ὃ εἴρηται καταδήλως, καὶ οὐ καθ' ὃ μὴ εἰρημένον ἐστίν· οὐ γὰρ ἀπηρνημένον τοῖς πατράσι τὸ δι' υἱοῦ, εἰ μὴ καὶ μᾶλλον ὡς ἐξετέθη διηυκρινημένως καθόσον ἦν χωρητὸν παραδέδοται.

ριβ'. Τίς οὐκοῦν κἀπὶ τῆς ἐνταυθοῖ μνημονευθείσης πηγῆς, μὴ κακίᾳ συνισχημένος, μόνην πηγὴν τοῦ πνεύματος τὸν πατέρα ἀκούων, καὶ πάλιν πηγὴν τοῦ πνεύματος τὸν υἱὸν (οἶδε γὰρ παρὰ θεῷ πατρὶ τὸν υἱὸν ὄντα τὴν πηγὴν τοῦ ἁγίου πνεύματος· ἐκεῖνο ὁ οὐρουνοφάντωρ καὶ πολὺς Διονύσιος, καὶ τοῦθ' ἡ τῶν δογμάτων κρηπὶς Ἀθανάσιος, ὅ τε Χρυσοῤῥήμων· διὰ τοῦτο ὁ σωτὴρ δείκνυσιν ἑαυτὸν πηγὴν ζωῆς, καὶ ὕδωρ ζῶν τὸ πνεῦμα τὸ ἅγιον) οὐ κατὰ τοὺς ἐκ τῶν θείων ὑφηγητῶν προσφυεῖς καὶ συνηρτημένους τούσδε λόγους ἐρεῖ, τὴν τῆς προκαταρκτικῆς αἰτίας, καὶ τοῦ δι' υἱοῦ θεηγορίαν θεσπίζοντας; αὐτός γε μὴν τὸ μόνος λαμβάνων, ὥς σοι δοκοῦν, cod. f. 75. b.

potentem Spiritum diserte sublimi ore praedicantem, non duos, sed unum Patrem, secundum praedictos sermones, causam esse discimus: iuxta quos, totam causam, et solum fontem atque radicem, et unicum causantem esse credimus; non ita tamen ut perimamus puram illam per Filium locutionem sacrorum veritatis defensorum. Nam firma et sincera confessio, ob ea quae omnino proprie tribuuntur, postulat ut solus ille intelligatur: quia et indubitatum est, divos magistros primam definite et originalem causam Patrem dogmatizare; non autem, qui ab eo genitus est, Filium. Id secundum ipsam dictionem *solus*, evidenti theologico sermone conficitur, namque huiusmodi est solus generans, non genitus: non enim primus et originalis causans est Filius. Ergo vocabulum *solus* intelligitur ea ratione qua evidenter dictum est, non qua non est dictum. Quippe non negant patres esse per Filium; immo potius, prout liquido propositum est, quantum rei natura fert, id tradunt.

112. Quis itaque etiam in memorato heic fonte, nisi improbitate percellatur, solum fontem Spiritus Patrem audiens, rursusque fontem Spiritus Filium (scit enim apud Deum Patrem, Filium esse fontem sancti Spiritus; hoc enim caelestium rerum enarrator magnus Dionysius; hoc dogmatum basis Athanasius, nec non Chrysostomus, proptereaque Salvator dicit se vitae fontem, et viventem aquam esse Spiritum sanctum) quis, inquam, non secundum divorum interpretum egregios hos et connexos sermones non dicet, tum principalem causam, tum dictionem per Filium esse tenen-

εἶτα δι' αὐτοῦ τὴν τοῦ παναγίου πνεύματος ἐκπόρευσιν, ὡς οἱ θεοφόροι διετράνωσαν ἀναισχύντως μὴ στέργων, ἀλλ' ἀθετῶν τὸ προβολεὺς ἀνέδην, ὡς παραδεδώκασιν ἀναιρῶν τὸ προσεχῶς, καὶ διὰ τοῦ προσεχῶς ἀνυποστόλως, ὡς διηρθρωκότες εἰσὶν ἀνατρέπων, μήθ' ἁπλῶς διάφορον, μή τε μὴν κατὰ μόνον τὸ αἴτιον καὶ αἰτιατὸν διακρίνεσθαι σφίσιν ἀπεναντίας νομοθετῶν, καὶ πᾶσαν ἄλλην ὁμοῦ θεολογικὴν εἰς τοῦτο φέρουσαν ῥῆσιν ἀπερικαλύπτως ἀποπεμπόμενος, εἰ καὶ τὸ παρὸν ἀρρεπὲς διαδράσεις βασανιστήριον, τί τῷ ἀφύκτῳ καὶ μέλλοντι δράσειας; ἔνθα οὐ πρόληψις, οὐ ῥαδιουργία, οὐ τὸ δράξασθαι πολυχρονίου διαμάχης ἀμφοτέρων χριστωνύμων φυλῶν, καὶ ὡς ἐν προσχήματι εὐσεβείας, καὶ τοῦ δοκεῖν ὑπὲρ μέρους λέγειν μεθ' ὧν ἐστι συνεξεταζόμενος οἰκείας διενεργῆσαι σκαιωρίας, κἀπὶ τούτῳ ῥήματα τόσων βλασφημιῶν ἀπερρεύξασθαι, πέφυκε τὰ ἰσχύοντα, ἢ ὅλως ἔχει ἀποκρυβῆναι, καὶ ὡς ἐν συγχύσει καὶ νυκτομαχίᾳ περιπολεῖν καὶ ἀνύειν τὰ πάνδεινα· πρὸς ἐκεῖνο μὲν οὖν ἀφορῶντες, τούτων ἡμεῖς ὡδί σοι κατέστημεν ὑποκείμενον.

ριγ'. Τοιγαροῦν ἄγε καὶ πάλιν πρὸς ὑμᾶς τοῦ λόγου τας ἡνίας ἐπαναστρέψωμεν, ὦ συνέσει καὶ ἀπροσπαθείᾳ φιλακροάμονες, ὅθεν ποτὲ καταπεμφθησομένους πρὸς τῆς αὐτοαληθείας, οὐκ ἀπελπίζοντες· ταῦτα τῶν γενναίων ἀγωνιστῶν· ταῦτα τῶν καινῶν ἀριστέων κἀν ταῖς ἐκφανθείσαις θεολογίαις τὰ κατορθώματα· ταῦτα τῶν καινῶν τροπαιούχων κἀν ταῖς θεοσδότοις διδα-
cod. f. 75. a. σκαλίαις τὰ ἀριστεύματα· ταῦτα ὡς δογμάτων ἄλλοις ἐπεγκαλοῦντες παραφθορὰν, οὕτω ψευδηγόρους ἀπελέγχει τοὺς αὐτῆς διαβολῆς ἡ ἀλήθεια· οὕτω νόμων οὗτοι θείων καὶ κανόνων καὶ πάσης ἄρδην ἐκκλησιαστικῆς κατορ-

dam? At tu verbum tantum *solus* admittens, quo tibi libitum est modo; deinde secundum hoc, sanctissimi Spiritus processionem secus ac theophori declararunt, impudenter non admittens; sed vocabulum *productor* audacter contra ipsorum traditionem delens, eum qui proximus est, per eum qui est ex proximo indistincte, quamquam sunt distincti, subvertens; neque omnino diversum neque secundum vocabulum *solus* causam a causato distinguendum esse, contra illorum effata, statuens; et aliam omnem simul theologicam ad id conferentem dictionem non obscure reiiciens, etiamsi praesens districtum effugias examen, quid ages in indeclinabili illo futuro? ubi non praeiudicium, non improbitas, non concitatio in pugnam duarum gentium christianarum, non sub obtentu orthodoxiae, et simulatione dicendi pro parte, cum quibus satagis tuas exequi improbitates, et hac in re tot verba blasphema eructare, neque omnino latêre, aut quasi in confusione et proelio nocturno vagari et pessima perpetrare. Ergo ad illud spectantes, haec nos tibi consideranda proposuimus.

113. Quapropter agesis, denuo ad vos orationis habenas convertamus, o sapientes et vitiosa omni adfectione carentes auditores, quos huc undequaque ab ipso veritatis auctore missum iri non desperamus. Haec sunt generosorum agonistarum, haec novorum heroum etiam in manifestis theologiis egregia facta: haec novorum triumphatorum etiam in divinis doctrinis facinora: haec illorum qui aliis dogmatum corruptionem imputant; sed ipsorum calumniam veritas redarguit: hi legum, hi divinorum canonum et omnis funditus ecclesiasticae contemptores traditionis, po-

χησάμενοι παραδόσεως, πέρας καὶ πρὸς ἀλλοτρίους ἐπιτεχνήσεις ἐπινοιῶν ἐπὶ τοῖς θεοφθόγγοις τῶν πατέρων θεσπίσμασιν ἀπηνέχθησαν, ἀπὸ κοιλίας ἰδίας φθεγξάμενοι, ἃ οὐδεὶς οὐδέπω μέχρι καὶ νῦν εὕρηται εἰρηκὼς τῶν ὅσοι λογογραφικὰς ἰδέας ἐκθέσθαι κατὰ Ῥωμαίων ἐσπούδασαν· σφῶν γὰρ ἅπαντες ὡς ἡ κακόχαρτος ἔρις ἐδίδου ἐκσκήψασα τῷ καιρῷ, τὰς ἀντιῤῥήσεις ἄλλως συσκευαζόμενοι, τῶν ἀνεμφιλέκτων πάντη πρὸς εἰρήνην ἀπεῖχον χρήσεων πατρικῶν ἑκοντὶ παρατρέχοντες· οὗτοι δὲ πρὸς αὐτὰς κεχωρηκότες διαμαχέσασθαι πρὸς τὸ πάντων ἔσχατον τῶν κακῶν ἐξετράπησαν Ἔνθέν τοι καὶ τὰ τοῦ ἀγῶνος ὡς ἔσχεν ἀφ' ἑκατέρων μερῶν κεφαλαιωδῶς ἐνταῦθα περιλαβόντες, λεχθέντα τε καὶ εἰσέτι λεγόμενα, εἴ τι που παραλελειμμένον αὖθις ἐροῦμεν, τὸν ὃν ἐν τούτοις καθ' ἡμῶν ἐξυφάνας ὑπαναγινώσκει τόμον, ὁ τῆς ἀντιθέτου μοίρας σχεδιασθεὶς ἀρχηγὸς, ἰδίαν λογικὴν ὑπόθεσιν ποιησόμενοι.

ριδ'. Νῦν δ' ὅπως οὗτος προέβη, καὶ τίνα τὰ ἐπ' αὐτῷ πραχθέντα συνοπτικῶς ὡς οἷόν τε διελθόντες, τὸν λόγον ἐν αὐτοῖς καταπαύσομεν. Ἐκροτεῖτο μὲν ἐν ἀνακτόροις, ὡς ἐῤῥέθη, τὰ δικαστήρια· κἀπειδὴ τῆς πρώτης συνελεύσεως τελουμένης, καὶ τῶν ἀντιθέσεων κινουμένων κατά τινα παρηκολουθηκυῖαν ἐντεῦθεν ἀνάγκην, ὁποῖα διαλόγοις φιλεῖ παρεμπίπτειν τοῖς λογικοῖς, πρὸς ἡμῶν ἀπολογουμένων ἐξεφωνήθη τὸ, ῥήματος πλήρη βλασφημιῶν τὸν τῶν ἐναντίων ἡμῖν προηγὸν γεγραφέναι· καὶ ὡς εἰ βούλοιντο κατεξετασθῆναι καὶ ταῦτα χρεὼν ἐκεῖνα λεγόντων, ὧν οἴκοι μοι καθημένῳ γέγονεν ἡ ἐγ- cod. f. 76. b.
χείρησις, καί με τῶν συμβάντων ἁπάντων κατ' ἐξοχὴν ὡς ἴστε τοῦτο διαγγελθὲν πρὸς τὸν ἀγῶνα παρώρμησεν· ἔτι τε λοιπὰ πρὸς τούτοις ἐχόντων, ἃ πρώην ὁ δηλωθεὶς ἀντιῤῥητικαῖς μεθόδοις συνέθετο· πρὸς μέσους ἐπεὶ ταῦτα

stremo et per alienas adinventiones commentorum deiloquis patrum decretis manus inferentes, a proprio ventre ut proverbium est loquentes, quae nemo hactenus dicere compertus est, ex eorum numero qui scripta sua contra Romanos edere voluerunt. Hi enim cuncti prout malae chartae rabies eos hoc tempore corripuit, struebant adversus pacem contradictiones, indubitabiles patrum auctoritates pensi non habentes. Hi vero adversus eas bello suscepto, ad omnium malorum supremum conversi sunt. Hactenus contentionis tenorem, prout ex utraque parte se habuit cum complexi summatim fuerimus, sive quae disputata sunt, sive adhuc in colloquio versantur, siquid forte praetermissum fuit, alias dicemus; illa quae in suo contra nos tomo contexuit, nuperus contrariae partis antesignanus, sermonis nostri materiam facturi.

114. Nunc quomodo hic progressus sit, et quae egerit, compendio quantum fieri poterit comprehendentes, finem libro in his faciemus. Actum fuit, ut diximus, in regio palatio iudicium; et primo congressu peracto; et contradictionibus commotis non sine quadam consequente necessitate, cuiusmodi in disceptationibus evenire solet, nobis causam defendentibus, succlamatum fuit: verba blasphemiarum plena antesignanum contrariae partis scripsisse: et quod vellent examinari etiam illa dicentes quae mihi domi sedenti erant in manibus, et me esse quae acciderunt omnium praecipuum auctorem: atque hoc ut scitis cognito, ille ad agonem decurrit: et insuper

διελαλήθη· ἦσαν μὲν ἐκ βασιλικῆς οὗτοι προστάξεως δεσποτικῶς ὡς ἐλέχθη προδιαπειλησάμενοι, μηδέν τι κατ' αὐτοῦ δῆτα παρεισαχθῆναι τοῦ τὴν ἡγεμονίαν σφίσι διέποντος, ὅμως ὡς παῤῥησιασάμενον τοῦτο κατεῖδον, ἄλλως τε καὶ ὅτι τὰ τῆς πτοίας οὐκ ἐν τοῖςδε τὸ παράπαν αὐτοῖς· ἢ γὰρ ἂν οὕτω καὶ ἐπεποίθησαν, ὡς καθ' ὧν ἀνέτως εἶχον λέγειν τυγχάνουσιν, ἀλλ' ἐν ἐκείνοις ὑπερβαλλόντως, μή που τί φθάσῃ μέσῳ τῷ θεάτρῳ παρεμβληθὲν, τῶν ὅπως ὁ ῥηθεὶς προΐστωρ ἀπεφάνθη παριστώντων τῆς πράξεως, ἐφ' ἧ κριτὴς ἐκαθέσθη καὶ κολαστὴς ἀπαραίτητος· προτρέπουσιν ἐπὶ τοῦ μέσου προτεθῆναι θαῤῥαλεώτατα· ἀλλ' ὁ ἡμέτερος ἀρχιποίμην τὴν ἐπ' αὐτοῖς τῷ τέως προσβολὴν ὑπερτίθησιν, ἐκεῖνο τῶν δεόντων εἶναι διαγνούς τε καὶ εἰρηκὼς, καθ' ἕνα καὶ τὸν αὐτὸν ἀρχῆθεν ἀπαραλλάκτως ἔχοντα σκοπὸν τῆς αἰτήσεως τὸν ὑπὲρ τῶν οἰκείων πρότερον ἀπόλογον ἀπαρτίσαι· εἶθ' οὕτω τελευταίαν τὴν πρὸς αὐτὰ μετὰ τῶν συνθεμένων, πάλην ἐνστήσασθαι· γίνεται καὶ σφίσι τοῦτο δοκοῦν· καὶ τὰ μὲν τῆς ἡμέρας ἐκείνης ἐπ' ἀέθλῳ τῷ κεκυρωμένῳ παρέρχεται, καὶ τὰ τῆς ἐφεξῆς ὡσαύτως· πλὴν οὐ κατὰ συνέχειαν αἱ τῶν ἡμερῶν αὗται δικαστικαὶ, τούτοις δὴ τοῖς τὸ κρίνειν καὶ ἀντιδικεῖν καὶ τάσσειν λαχοῦσι συντέτακται, εἰς τέσσαρας αἱ πᾶσαι ποσούμεναι, ἀλλὰ κατὰ διέχειαν ὅτι πλείστην τῶν διὰ μέσου παριουσῶν, ὡς ἐπ' ἀδείας ἔχειν αὐτοὺς βουλεύεσθαι καὶ πράττειν ἅτε μὴ ἀεὶ τοῖς προβάσιν ἀρεσκομένους, καὶ παρὰ τοῦτο τὰ

cod. f. 77. a. τῶν ἐσομένων κρειττόνως θήσειν ἐξασφαλιζομένους, ὡς τοὺς καλεῖν, ἑτέρους διεγείρειν, κἀκείνους μετέρχεσθαι, καὶ μηδὲν ἐλλείπειν τῶν ὅσα συγκινεῖν οἴδασιν ὅλα πλήθη καὶ δήμους, καὶ ἀξίαν πᾶσαν καὶ ἡλικίαν ἁπλῶς ἐπὶ συστάσει κακίας τῆς καθ' ἡμῶν, μὴ πρός τινα τὸ σύνολον ἐχόντων ἐνατενίσαι, ὅτι μὴ πρὸς τὸν πάντ' ἐφορῶντα μόνον καὶ ἑαυτούς.

reliqua, quae antea praedictus vir antirrhetica methodo composuerat, in medio ea disputavit. Minitabantur haec regio iussu isti despotice, ut diximus, ne quid scilicet proferretur contra ducem suum; quem tamen satis confidentem sciebant, et quia pavor eorum in his haud versabatur. Nam et sic confidebant, se habere quae dicerent; sed illi in primis cavebant, ne quid medio in theatro obiiceretur eorum quibus ille antesignanus obnoxius erat, dum ipse iudex sederet inexorabilis. Hortantur ut in medium perquam animose prodeat. Sed noster supremus pastor tunc congressum cum illi distulit, necessarium putans dicensque eundem scopum propriae habere postulationis, sui in primis defensionem facere, deinde supremam una cum auxiliatoribus suis pugnam conserere. Hoc quoque illis placet. Et illo quidem die, in constituto agone peracta sunt: et sequente die similiter. Verumtamen non erant hi iudiciales dies, neque erant continui; sed ii qui iudicare, contradicere ac disponere poterant, quatuor dierum numerum constituerunt; multis tamen cum intervallis; ita ut otium haberent consultandi et agendi, cum non semper successu laeti essent, ideoque ut futura melius fierent curabant; alios interim vocantes, aliis animos addentes, et alios adsciscentes, nihilque omittentes eorum quibus commotum iri sciebant universam plebem, populum, dignitatem quamlibet, atque aetatem, ad exse-

ριε'. Κἀπειδὴ τωνδὶ τοιουτωδῶς τελουμένων ἔδει πάντως τῶν συνάξεων ἐν μιᾷ κατὰ τὸ κοινῇ συμπεφωνημένων, καὶ αὐτὰ δῆτα τρακταϊσθῆναι τὰ συντεθῆναι προδηλωθέντα τῷ αὐτῶν πρωτοστάτῃ λίαν ἐπισφαλῶς· οὕτω δὲ καὶ πρὸς ταῦτα παρασκευάζονται· χρηματίζει σφίσι καταληπτὸν ὠτακουστὰς θεμένοις τῶν πᾶσι λαλουμένων ἀπαξαπλῶς, μὴ κατὰ προσδοκίαν τὰ τῶν παρῳχηκότων διαλόγων αὐτοῖς ἀποβῆναι, δυσὶ τότε συνεδρίοις συμπερανθέντα τὸν ἀριθμόν· οὐ γάρ τοι μόνον οὐδ' ὁποσοῦν, ὅπερ ἀναμφιλέκτον εἶχον μεμηνέναι τὰ πλήθη μανθάνουσι καθ' ἡμῶν, οἷς πρὸς τὸ ὑπεραπολογεῖσθαι δεδώκαμεν ἑαυτούς· ἀλλά γε δὴ τῷ πλείονι τούτων μέρει, καὶ σκαιοτροπίαν αὐτοῖς ἐγκαλεῖσθαι· ἡμᾶς δ' ἀδικεῖσθαι διαφερόντως ἀκούουσι· καὶ ὡς ἔοικε παντελὴς ἂν ἐπὶ τοῖς λογοπραγουμένοις ἐγεγόνει τοῖς ῥηθεῖσι κατάληψις, μετρίως πως διαγνοῦσι, κἀκ τῆς οὐ φανερωθείσης σκαιογνωμοσύνης τῶν ἀπεναντίας ὁδηγηθεῖσιν· εἰ τὸ εἰδέναι στίφεσιν οὖσι πείρᾳ καὶ μαθήσει ἐνῆν, ὅπου γε καὶ αὐτῶν τινες τῶν ἀμφοῖν μετεχόντων γνῶσιν ἀκριβῆ ἐσχηκότες, κρύπτεσθαι καὶ λανθάνειν προείλοντο πρὸς τοσαύτην ἀντιβαίνειν κακουργίαν ἐπὶ προλήψει βαθείᾳ ἐκκλίνοντες· τέως δ' οὖν ὡς ταῦτα γνοῖεν οἱ ἀντικαθιστάμενοι, ἀπᾷδον πάντῃ κρίνουσι, καὶ ἀσύμφορον ἐπὶ τοῦ μέσου τὰ σφῶν λαληθῆναι, ὡς ἡ ὑπόσχεσις· εἰ γὰρ ἐξ ὧν ἀναμφίμαχον ηὔχουν τὴν πεποίθησιν καθ' ἡμῶν τοῖα ἐπηκολούθησε, τί ἂν ἄρα συμβαίῃ, εἰ πρὸς τὰ οἰκεῖα λόγους ἀποδιδόναι ἀπαιτηθήσονται; καλῶς συμβάλλοντες τῷ νόϊ, καὶ τῷ συνειδότι καθαρῶς συνδιασκεπτόμενοι, ἀμέλει τοι καὶ πρὸς τὰς λοιπὰς χωρήσαντες τῶν ἀθροίσεων, οὐ κατὰ τὰς προηγησαμένας διευπρεπίζουσι, ὅσον cod. f. 77. b.

rendam contra nos nequitiam, qui ad neminem nisi ad omnia videntem Deum, nostrasque vires, respicere poteramus.

115. Age vero his ita constitutis, oportebat omnino conventum celebrare in una de compecto statuta die, ibique tractari, quae fieri posse valde tamen lubrice, ipsorum antesignano visum erat. Sic autem ad haec comparantur. Deliberatum illis ut de auditu testes adhiberent omnino dictorum, ne, ut expectabant, res sibi ut in praecedentibus dialogis succederet, duobus in synedriis peracta. Non enim graviter solum de quo non dubitabant, furere contra nos plebem intelligunt, apud quam nos defensionem peroraturos ultro obtuleramus; verum etiam a maiore parte perversitatem ipsismet obiici, et nos iniuste vexari audiebant. Atque ut videtur, omnimoda fit dictis rumorum auctoribus exploratio, facile cognoscentibus, et a satis manifesta contrariorum perversitate sententiae deductis: si tamen id cogoscere, turbae cum essent, experientiâ et scientiâ licebat; quoniam et illorum nonnulli, utriusque partis sententiam probe callentes, celari et latêre decreverant, ad tantum maleficium firmo praeiudicio ruere declinantes. Tunc ergo horum gnari adversarii, absonum prorsus iudicant et non utile, sua in publico eloqui, quemadmodum promiserant. Si enim in nostris, contra quae tantopere confidebant, talis eis contigit clades, quid demum eveniret, si de suis rationem reddere postularentur? Ergo bene mente coniectantes, et suam conscientiam pure scrutati, utique et ad alios congressus venientes, nequaquam prout antea eos disponunt, quatenus obtentu

ἐν προσχήματι διαλογικῶν ἀγώνων· ἐστὶν οὗ τὰ τῶν δικαστηρίων ἐμφαίνοντες, ἀλλ᾽ ἐκ προοιμίων εὐθὺς καταῤῥησιν ἡμῶν κομιδῇ πλατεῖαν μεστὴν ὕβρεων καὶ λοιδοριῶν ποιησάμενοι, τέλος προστακτικῶς εἰς ἄγαν, ὅριον τιθέασιν ἀμετάθετον, μή τοι γε μόνον ἡμᾶς μηδὲν ἐρεῖν, ἢ προκομίσαι κατὰ τοῦ κορυφαίου τῶν ἀντιδιατιθεμένων ἡμῖν· ἐκεῖνο καὶ αὖ ὅπερ ἄνωθεν ὑπῆρχον ἐγκελευσάμενοι· ἀλλὰ καὶ ὃ τούτου πολλῷ τῷ κράτει τῆς ἰσχύος θαυμασιώτερον, μὴ τοῖς καθ᾽ ἡμῶν σφίσι προτεινομένοις ἀνέτως ἔχειν πλέον, ἢ ὅσον ἂν αὐτοὶ ἀπαιτοῦντες εἶεν ἀπολογεῖσθαι, καὶ οἷς ἂν οὗτοι ἐθέλοιεν· ὡς οὖν ὁ ἡμέτερος ποιμενάρχης μικρά πως βουληθείη πρὸς ἔλεγχον τῆς τοσαύτης δυναστείας εἰπεῖν, ἐκ συνθήματος παραχρῆμα θυμοὶ καὶ ὀργαὶ καὶ κραυγαὶ καὶ τάραχοι διεγείρονται· ἔνθεν μὲν πρὸς τοῦ τὰ ἐκκλησιαστικὰ τυραννοῦντος, ἐκεῖθεν πρὸς τῶν συλληπτόρων τοῦδε καὶ συνεργῶν· καὶ αὖ ἑτέρωσε πρός τινων μοναχῶν, οὓς ἦσαν ἐπισεσωρευκότες, ἐξ ὧν πολλάκις ὤφθημεν ἐπισημηνάμενοι, πάντων μυρίοις καθ᾽ ἡμῶν φερομένων σκώμμασι καὶ ἐξουδενώμασιν, ὁποῖον δὲ καὶ εἰς χόλον τὸ βασίλειον ὕψος διερεθίζουσιν· οἶμαί τισι τῶν παρατυ-
cod. f. 78. a. χόντων διαγγελήσεσθαι, ἐκ προβουλεύσεως εἰς ἅπαν ταυτὶ προδιαταξάμενοι· μόλις δέ ποτε καταστορεσθέντες, δρῶσιν ὡς ἦσαν διορισάμενοι.

ρις΄. Τούτου μόνου προβάντος ἐπὶ τοῖς σφῶν ἔκ τινος περιπετείας τῶν λόγων, τῶν συνελεύσεων ἐν μιᾷ (οὐδὲ γὰρ δέον παραλιπεῖν) τοῦ βραχύτατον πάνυ μέρος ἑνὸς τῶν ἐμπεριεχομένων αὐτοῖς κεφαλαίων ἐνωτισθῆναι καὶ παραυτὰ τὸν ἀγνοοῦντα προσεπιπλάσασθαι, ἀλλ᾽ εἰ καὶ ἑαυτῶν εἶναι τρανῶς ἔδραμον ἀπαρνήσασθαι, πλὴν οὐχὶ καὶ τῶν σφίσιν ἐπιλέκτων ἀπαγαγεῖν ἠδυνήθησαν· οὕτως γὰρ οὐκ οἶδ᾽ ὅπως συνελαθέντες, ἐμφανῶς ἀντιποιεῖσθαι

dialogicorum certaminum, iudicii potius speciem exhiberent. Statimque initio invectiva contra nos facta prolixa admodum et iniuriarum atque conviciorum plena, deinde imperative decretum immobile edunt, ut nos non solum nihil dicamus aut proferamus contra adversariorum nostrorum coryphaeum, quod idem retro quoque iusserant, verum etiam hoc praepotentiae causa multo mirabilius, ut ne propter quidem ab iis obiecta nobis liberius ageremus, nisi quantum ipsi postularent ut nosmet defenderemus, nec nisi ut ipsi vellent. Ubi ergo pontifex noster exiguum quid ob tantae praepotentiae reprehensionem dicere voluit, statim ex compecto indignationes et irae et clamores atque tumultus erumpunt, hinc quidem ab ecclesiae tyranno, illinc autem ab huius auxiliaribus et cooperatoribus; immo et aliunde a quibusdam monachis quos coacervaverant, ut alibi saepe innuimus: cunctis innumera in nos convicia et irrisiones iaculantibus, ita ut ad iram regiam quoque celsitudinem commoverint. Et puto praesentibus aliquot ita fuisse imperatum, ex suscepto ante consilio haec disponentibus. Aegre denique conquiescentes, id agunt quod praefiniverant.

116. Hoc tantum contigit inter illorum obiecta, ex quodam sermonum eventu, in una sessionum (quod praetermitti non debet) quae fuit brevissima omnino pars paratorum ab illis capitulorum, audiri statimque ab ignaro confingi. Sed quamvis id suum esse, manifeste festinarunt negare, nequaquam tamen a suis praecipuis

τῶν ἀκουσθέντων προεθυμήθησαν· εἰ καὶ αὐτοὶ πάλιν, ὅσα τὸ ὑπερτερεῖν κεκτήμενοι τοῦ μέσου κατασιγάσαντες περιεῖλον τῆς καθ' ἣν αἱ ῥηθεῖσαι τῶν ἐπιταγῶν προθέσεως ἐξεχόμενοι· συνιδεῖν οὐκοῦν ἐντεῦθεν ἐπιεικῶς οὐ περίεργον, ὁποῖα κατὰ λόγους ὀρθότητος τὰ τοιαῦτα, εἴπερ οὕτως ἀποσκευάσασθαι κατεφάνησαν· ὅταν δὲ καὶ δοθέντος τοῦ ἑτέρων εἶναι, τῆς σφετέρας δ' οὖν συμμορίας προκρίτων, εἴγε καὶ τοῦθ' ἱκανὸν εἰς ἀπολογίαν· καὶ αὐτὸς ὁ τὸ ἄρχειν τοῖς πνευματικοῖς αὐτονόμως λαβὼν ταῖς οἰκείαις ὑπογραφαῖς ὁρῶτο τὰ ἐξ ὧν ἐξελέγησαν ἐπιβεβαιῶν, τί ἂν ἔχῃ ἀνταποκρίνεσθαι; ὅλως δὲ εἰ πρὸς τοῦτ' ἦν ἐπινενευκὸς, τῷ ἀῤῥαγεῖ τοῦ συνειδότος κριτηρίῳ θαῤῥῶν, πάντως ἂν ἕτερα ἠκηκόει, οἷς οὐκ ἔσχεν ἂν εὑρεσιλογῆσαι τὸ μὴ τῆς οἰκείας εἶναι διανοίας γεννήματα· ὅμως εὖ ποιῶν κυριαρχικῶς ἐπίπαν πάντα περιαιρεῖ, καὶ ἡμῖν ἐπιτρέπει τὸ καὶ πάλιν βάλλεσθαι, παρ' αὐτοῦ καὶ τῶν σὺν αὐτῷ τοῖς δοκοῦσι προβλήμασι, καὶ λόγους ἐπὶ τούτοις προφέρειν ὅσους ἂν καὶ ἐφ' ὅσον εἴη βουλόμενος.

ριζ'. Κατὰ ταῦτα γοῦν καὶ τῶν ἐφεξῆς τελουμένων δικαστηρίων, ἐπεὶ μηδ' οὕτως ὁρῶεν τὸ κατὰ σκοπὸν προποδίζον, μενοῦν γε καὶ μᾶλλον τὸ cod. f. 78. b. ἀπεναντίας σφίσι καὶ ἀπροσδόκητον· ἤδη καὶ τὰ τῆς φήμης ἐξικνεῖσθαι μυουμένοις, ὡς ἦν τοῖς πράγμασιν ἀληθεύοντα, τὴν ἐπιπλέον φανέρωσιν δείσαντες, στῆσαι τοῦ λοιποῦ σπεύδουσι τὰ συνέδρια, μὴ τὸ τῆς τετράδος ὑπεραναβάντα ποσὸν, καὶ ταῦτα ἓξ ἄχρις ὅλων συγκροτεῖσθαι μηνῶν, καὶ πολλῷ τούτων ἐπέκεινα καταπαγγειλάμενοι, ἡνίκα τοῖς τὸ κατ' ἀρχὰς ἐκείνοις πρὸς τὸν ἱερὸν ἡμῖν ἐχρῶντο καθηγεμόνα διαμηνύμασιν, ἐν τῷ σημανθέντι φρον-

abducere potuerunt. Hi enim nescio quomodo simul conspirantes, clare coeperunt quae audierant defendere; etiamsi ipsi rursus, quatenus superiores esse senserunt, mediam partem tacite suppresserunt, extra propositum, quod fuerat in mandatis, excurrentes. Hinc ergo intelligere non admodum difficile est, quam gravia fuerint adversus orthodoxam doctrinam iacta, si quidem tantopere pernegare visi sunt. Quod si concedatur illorum non fuisse, nihilo minus praecipuos ipsorum habuisset auctores; si tamen hoc ad defensionem sufficit. Et ipsemet qui spiritalem auctoritatem solus sibi vindicaverat, propriis subscriptionibus selecta illa capita confirmare videbatur. Quid heic respondeat? Si forte quod his consentiebat, immoto conscientiae suae criterio fretus; alia audiet, quibus vana verba non posset opponere, nempe quod mentis suae non essent foetus. Simul tamen recte agens, pro absoluta sua potestate, cuncta supprimit; nosque sinit et denuo percuti suis et suorum speciosis problematibus, et de his sermones proferre quot et quamdiu quisque vellet.

117. Hoc ergo modo sequentibus etiam peractis iudiciis, quoniam ne ita quidem scopum suum sibi provenire videbant, immo contra potius expectationem accidere, et fama iam diffusa se deteri, prout revera eveniebat, ulteriorem patefactionem timentes, desinere de reliquo a celebrandis synedriis studiose curant, quae quaternum numerum vix excesserant, et quidem intra sex omnino menses immo et ulterius celebranda indixerant. Quo temporis intervallo, sicut iam inde a principio, nuncios cum mandatis mittebant ad sacrum praesulem nostrum in iam indicato monasterio

τιστηρίῳ φρουρούμενον· ὅθ᾽ ὁ λόγος περὶ τῆς τῶν ἐξορίστων ἐπανόδου ἱεραρχῶν ἐπὶ τὸ καὶ αὐτοὺς παρεῖναι ταῖς τῶν διαλέξεων ἀκροάσεσιν· ὧν ἐπεὶ μὴ ἴδοι τὴν ἐνδημίαν ὁ μέγας ἀνυομένην, ἀλλ᾽ εἰργομένην ἐπιπλάστοις ἀναβολαῖς καὶ προφάσεσιν, ἀπογινώσκει τὸ καὶ περὶ ἑτέρων ἀνενεγχεῖν, οὓς ᾔδει διαγνωσομένους ἀρίστως ὑπὲρ ἀληθείας διαγωνίσασθαι, καὶ μάλιστα περὶ τοῦ ὃν ἔξοχον ἐν τούτοις ἡ θεία χάρις ἀνέδειξε, ποιμένα δι᾽ αὐτοῦ τῆς Ἀδριανοῦ καταστήσασα κανόνων ἱερῶν παραδόσεσιν, ἄνδρα βρεφόθεν πᾶσαν ὁδὸν μονήρους πολιτείας κατὰ τοὺς θεοκινήτους μετιόντας αὐτὴν ἐξασκήσαντα, καὶ τῇ ἐπιμόνῳ προσεδρείᾳ τῇ τῶν Γραφῶν πεφωτισμένον ὅλον ἐκεῖθεν φανέντα, καὶ συνελόντα φάναι τῇ ἐκ τῆς θείας ἐπιπνοίας κλήσει καὶ κατορθώσει Θεόκτιστον καὶ θεόσοφον, τὸν τρόπον εὐθῆ, νοῆσαι τὸ ἰθυτενῶς μετέχον ὀρθότητος, συνετὸν, καὶ παρὰ τοῦτο τὴν παῤῥησίαν οὐκ ἀγεννῆ, καὶ λόγοις ἐμβριθέσι καὶ πράγμασιν· ὃς καὶ αὐτὸς τὰ πρῶτα τῇ ὑποθέσει ἀντιπεσὼν (κοινῶς γὰρ τοῦτο συνεπεπτώκει μετρίως, εἴπερ δὴ καὶ ἡμῖν καὶ
cod. f. 79. a. ἐξορίαις προσομιλήσας) μόνῳ τῷ δόξαι οἱ παρὰ τὸ κρατῆσαν ἔθος συντελεσθῆναι τὰ ἐπ᾽ αὐτῇ, οὔμενουν κατά τινας τῶν λόγων, ὧν αὐτοθελῶς οἱ βουλόμενοι τερατεύονται, καθὼς καὶ τότε καὶ νῦν πολλοῖς τωνδὶ καὶ πολλάκις ἐμφανῶς ἐστι διαμαρτυράμενος, ἐπεὶ τὰ ταύτης βασάνῳ κρείττονι ταλαντεύσας, μετέπειτα τὴν εἰρήνην ἀνθέλοιτο, καὶ τὴν ἀρχιερατικὴν ἀξίαν κανονικαῖς ἐπίπαν ὑποθημοσύναις ἐγχειρισθείη κατὰ καιρὸν, τῆς τε μεταβολῆς ἐφεστηκυίας ἀπροσπαθέσιν εὐθὺς ὀφθαλμοῖς τὴν τοσαύτην σκαιωρίαν ἀθρήσειεν, ἐξ αὐτῆς εἰσβολῆς ἀντιλέγων ἦν τοῖς ἀθέσμως πραττομένοις, καὶ ἀντικείμενος· καὶ τῷ μᾶλλον καθορᾶν τὰς ἀνοσίους τῶν πράξεων διενεργουμένας, μᾶλ-

detentum. Tunc sermo infertur de exulantibus revocandis episcopis, ut et ipsi dialogorum auditionibus interessent; quorum adventum cum noster magnus perfici non videret, immo simulatis dilationibus obtentibusque intercisum, desperare coepit tum de ceteris quos sciebat deliberaturos egregie pro veritate decertare, tum praecipue de eo quem summum inter hos divina gratia effecerat, et se ordinante, urbi Hadrianopoli pastorem ex sacrorum canonum norma praefecerat, virum a pueris in omni monasticae vitae inter vocatos a Deo, disciplina exercitum, et qui assidua sacrarum scripturarum lectione totus illuminatus apparebat; atque ut summatim dicam, divina inspiratione tum nomine tum recte factis Theoctistum (creatum a Deo hominem) et theosophum, recto more praeditum, et rectitudini agnoscendae aptissimum, sapientem, insuperque audendo non ignavum, fortibus tum verbis tum factis uti solitum. Hic primum tractatui adversans (id communiter propemodum contigit, sicut et nobis quibuscum in exilium est actus) ob id unum quia videbatur ei de dominante ritu negotium tractari, non autem ob quasdam alias rationes, ut sponte qui volunt iactant; sicut olim, et nunc quoque nostris saepe ipse publice testatur; postea meliori examine re ponderata, paci deinceps favebat; et ad episcopalem dignitatem canonicis regulis per tempora promotus; facta postea rerum conversione, num hic indifferente oculo tantam improbitatem spectaret? Immo ex huius primo aditu, impiis actibus restitit: et quanto magis scelesta spectabat facinora, vehemen-

λον ἦν ἀπελέγχων, καὶ ἀντιφωνῶν κραταιότερον· μήτ' ἀπειλαῖς, αἷς τοῖς τούτων ἐργάταις ὑπῆρχεν ἀπειληθεὶς, μηθ' ἑτέροις τρόποις ὑποτρέσας, ἢ συσταλεὶς, ἐφ' ᾧ καὶ αὐτὸς ἔργον τούτων δὴ τῶν ἀθεμιτουργιῶν γεγονὼς, τῆς οἰκείας ἐξωθεῖται ποίμνης τυραννικῶς, τῇ τε μεγαλοπόλει ἐνδιατρίβων, καὶ τὴν κακίαν τοῖς πρωτουργοῖς αὐτοῖς ὁσημέραι κατὰ τοῦ οἰκείου πρώτου κορυφουμένην θεώμενος, τῷ κηρύσσειν, τῷ περισύρειν, τῷ ὑποσπείρειν, τῷ διαφημίζειν, πᾶσιν ἁπανταχοῦ ἐπὶ διαφθορᾷ δογμάτων τούτου τὸ ὄνομα, τῷ πάντα κάλων εἰς τόδε τὸ τοῦ λόγου κινεῖν, ἵν' ἐντεῦθεν καὶ πᾶν σφίσι τυραννηθὲν ἔχοιεν συγκαλύπτειν, καὶ κατὰ τὸ δοκοῦν συνιστᾷν· ἣν μὲν εἰδὼς τὴν συκοφάντιν δυσφημίαν αὐτῶν καὶ σκαιότητα, ἔκ τε τῶν κατὰ τὴν ὑπόθεσιν πραγμάτων αὐτῶν, καὶ τοῦ τὸν οἰκεῖον κορυφαῖον γινώσκειν καλῶς, πλείονος ὅμως ἐπὶ κτήσει πληροφορίας, καὶ τοῦ πρὸς αὐτὸ δύνασθαι τῆς δυστροπίας τὸ ἔσχατον τοῖς ῥηθεῖσιν ἀντικαθίστασθαι τοῖς αὐτοῦ συγγράμμασιν ἐντυγχάνει, οὔπω γὰρ ἦν ἐντετυχηκὼς, καὶ τοῦ λοιποῦ ὑπῆρχε διανοούμενος, εἴπως οἵων δή τινων δικαστηρίων γενησομένων (ποῦ γὰρ εἶχε τῶν κατὰ θεσμοὺς καὶ νόμους κρατουμένων, ἐκ τῶν καθεκάστην τελουμένων εἰς μνήμην ἐλθεῖν;) τὴν ἐπὶ διαβολαῖς κἂν τούτοις γλωσσαλγίαν τῶν ἀπεναντίας ἐλέγξειε, καὶ κατὰ τὸ ἐνὸν τῇ ἀληθείᾳ συνάροιτο. cod. f. 79. b.

ριη'. Οὕτως οὖν προθέσεως ἔχοντος, ὁ μὲν ἡμέτερος θεῖος ποιμὴν (ἐξ ὧν μηδαμῶς ἑτέρων εἰσακουσθείη;) ἀπαγορεύει τὸ καὶ περὶ αὐτοῦ ἀφικέσθαι ταῖς τῶν λόγων ἐξετάσεσιν ἀνενέγκασθαι· θεὸς δὲ ἄρα οἷς εἶδε λόγοις οἰκονομεῖ· ὡς γὰρ ἐν μέσοις ἀγῶσι περὶ τούτου γένοιτό πως ἀναφορά, κληθῆναι προτρέπεται· καὶ κληθεὶς ἥκει τε παραυτίκα, καὶ τὸ κατὰ γνώμην ἀνύει καλῶς· τοῖς τε γὰρ ὑπεναντίοις, ἐφ' ὅσον ὁ καιρὸς ἐδίδου, συμπλέκεται ἀντιμαχεσά-

tius reprehendebat, et fortius reclamabat; neque minis quas iniquitatum auctores intendebant, neque modis aliis territus aut cohibitus. Quamobrem ipse quoque victima horum scelerum factus, ovili suo depellitur tyrannice; et nunc in magna urbe degens, et nequitiam in eius ducibus quotidie crescentem, contra proprium antistitem videns, qui dictitando, detrahendo, rumores spargendo, diffamando ubique apud omnes nomen eius quasi dogmatum corruptoris, omnem rudentem contra eius doctrinam intendunt, ut hinc suam tyrannidem excusent, et pro voto suo constabiliant; Videns, inquam, calumniosam illorum maledicentiam et improbitatem, tum ex iis quae contra tractatum gerebant, tum etiam quia illorum coryphaeum perbene noverat, multum ad persuadendum valere, et versutia plurimum posse; postremo praedictis hominibus adversarius consurgit, postquam Cyprii scripta legit, neque enim antea legerat: et de reliquo deliberabat, qua ratione in futuris iudiciis (quomodo enim illorum canonice et legitime collectorum, ex quotidianis actibus recordari potuisset?) adversariorum in calumniando loquacitatem coargueret, et pro virili parte veritati patrocinaretur.

118. Hoc ille proposito cum esset, noster quidem divus pastor (a quibus enim aliis non audisset?) vetat quominus is quoque ad verbales disputationes accedat. Sed Deus ob exploratas sibi causas aliter disponit. Dum enim in mediis certaminibus de

μενος, καὶ ταῖς σφῶν καθ' ἡμῶν λογικαῖς ἁμίλλαις καὶ ἀντιθέσεσι κατ' αὐτῶν ὀχυροῦται μᾶλλον, καὶ ἀνισχύεται· τοίνυν καὶ ὃ φάσκοντες ἦμεν, ἐπείπερ οὗτοι κατεπειχθέντες ἱστῶσιν ἐν βραχεῖ τὰ συνέδρια, καὶ οὐκέτι πρὸς λόγους, ἀλλὰ πρὸς τὰς συνήθεις τρέπονται τῶν ἐργασιῶν, τοῦτον μὲν ἔξω τοῦ οἰκείου λάχους ἐν γωνίᾳ διάγειν ἀφιᾶσιν, ὅπη καὶ πρότερον, καὶ τῶν ἐφεξῆς ἡμῖν ἐπελθόντων προαιρέσει καταδήλῳ συγκοινωνήσαντα· οὕτω γὰρ καὶ ζέων τῷ πνεύματι παρεσκεύαστο, τρόποις δῆθεν τοῦ μὴ φανῆναί τινα προσθήκην ἡμᾶς τὸ παράπαν εὑρέσθαι· ἀλλὰ μεμονωμένους καθεστάναι παντάπασιν· εἰς τοῦτο γὰρ αὐτοῖς τὸ βρενθύεσθαι τὰ μεγάλα, καὶ δρᾶν ἀδεῶς εἴ τι καὶ βούλοιντο· τὸν δέ γε ἀληθῆ πατριάρχην, καὶ τοῦ εἰρηνάρχου Χριστοῦ μαθητὴν, ᾧ καὶ πρώην ὑπῆρχεν ἐγκεκλεισμένος σεμνείῳ ἀσφαλέστερον
cod. f. 80. a. καθειργνύουσι, πλείονας τῶν προτέρων καὶ νηφαλεωτέρους ἐπιστήσαντες φύλακας· καὶ ἡμᾶς ἀμφοτέρους τῷ εὐαγεῖ φροντιστηρίῳ τοῦ παντοκράτορος, τοῖς ἐκ τῶν ἀρχείων ὡσαύτως τηρουμένους φρουροῖς, καὶ πλέον ἀπαραμίλλως τοῖς ἐκεῖσε τότε παρευρεθεῖσιν ἐκ τοῦ συστήματος τῶν αὐτοσχεδίοις κανόσι πλαστουργηθέντων τοὺς ἀρχιερατικοὺς τόπους κατέχειν πρὸς τοῦ τὰ ἐκκλησιαστικὰ κατασχόντος λόγοις περιᾳδομένοις ἐν ἅπασιν, οὐ μόνον ἐρεῖν τὸ ἐκεῖ καθ' ἡμῶν ἀπηνὲς, τούτοις δὴ τοῖς οἰκείοις ἐγκαθέτοις σοβούμενον, ἄλλης ἂν καὶ ἑτέρων ἐγεγόνει πραγματείας ὑπόθεσις· ἡμῖν γὰρ ὁ σκοπὸς τοῦ λόγου πρὸς ὅπερ ἀποτείνεται γνώριμος· πλὴν ἵν' εἴπω κἀνταῦθα τί συνελὼν, μέχρις αὐτοῦ τοῦ ἄρτου ἡμῖν τῷ τῆς μονῆς προεστῶτι σταλῆναι, καὶ ποτέ τισιν ἡμᾶς τῶν μοναχῶν θεαθῆναι μαθόντα, πρὸς ἀνημέρους ὀργὰς ἐξ-

hoc fieret relatio; iussum est, ut et hic advocetur; qui advocatus statim adest, et rem ex sententia gerit praeclare. Nam cum adversariis, quantum tempus tulit, congreditur contradicens, et illorum adversus nos argumentis repugnans, contra eosdem magis se commúnit et roborat. Igitur, quod aiebamus, isti brevi coguntur sessiones abrumpere: nec iam ad verba, sed ad consueta sibi vertuntur opera. Et hunc quidem procul dioecesi sua in angulo vivere sinunt, ut et antea, qui et casuum nobis deinceps supervenientium, manifesta sua voluntate particeps fuit; adeo fervente spiritu praeditus erat! Ne autem posthinc quisquam videretur ad nos accessurus, sed soli omnino perstaremus; sic enim ipsi et iactare magna et agere tute quidquid vellent poterant; verum patriarcham et pacifici Christi discipulum, in eo quo antea inclusus fuerat coenobio tutiore custodia cohibent, plures prioribus et vigilantiores apponentes custodes; et nos duos (Metochitam et Chartophylacem) sacro omipotentis monasterio tradunt, a palatinis similiter vigilibus observatos; multoque magis ab iis qui illic erant, ex classe eorum qui subitaneis canonibus creati fuerunt ad occupandas episcopales sedes, ab eo qui ecclesiasticam rem tenebat, omni scilicet laudum genere cumulati; cuius adversus nos crudelitatem, erga hos autem suos subornatos insolentiam, alieni operis argumentum fuit. Nam nostri sermonis scopus quo tendat, exploratum est. Verumtamen ut summatim aliquid dicam, usque ad ipsum panem, praeposito monasterii de nobis mandatum fuit; et cum nos a monachis aliquando visitatos rescivisset, inhumana ira exarsit, indeque nonnullorum

αρθῆναι· κἀκεῖθεν τινῶν ἐξ αὐτῶν ἀπελάσεις δεινὰς καταπράξασθαι, τὸ ἀκρατὲς αὐτοῦ τῆς καθ' ἡμῶν μανίας προέρχεται.

ριθ'. Ἀλλ' οὕτω μὲν ἀρτύουσι κἀπὶ τοιαύταις ἀσφαλείαις τὰ τῆς φρουρᾶς· ἔπειτα πρὸς τομογραφίας χωροῦσι περὶ ὧν ἀνωτέρω μικρὸν ἐπεμνήσθημεν· ταύτῃ πάλιν τὰ πλήθη σφοδρῶς ταράξαι καὶ περιτρέψαι καθ' ἡμῶν ἐπισπεύδοντες, καὶ τὴν ὑπὲρ ἡμῶν παρ' ἐλπίδας ἀναφανεῖσαν διάγνωσιν ἐκ τῶν ἐπ' ὀλίγον, ὡς ἐλέχθη, κροτηθέντων δικαστηρίων μεταθεῖναι καὶ μεταβαλεῖν μηχανώμενοι· ἐνθέν τοι καὶ αὐτὰς ἐξυφάναντες, κρούμασι καὶ πατάγοις εἴπερ ποτὲ τῶν καὶ ἄλλοτε βαρυηχῶν δηλωθέντων κωδώνων, στίφη καὶ λαοὺς συναγείρουσι, καὶ ταύτας ἐπ' ἐκκλησίας ἀναγινώσκουσιν, ἀποκηρυττούσας ἡμᾶς, οὐχ ὧν ὁ γεννήτωρ τούτων ὁ Κύπριος τὴν ἀλήθειαν διαβάλλων ἐλέγχεται, ἀλλ' αὐτοῦ βεβαίως καὶ ἀψευδῶς, καὶ τῶν οἷος αὐτός· cod. f. 80. b. ἐπεὶ καλῶς οὗτος προφθάσας, ἄλλοις τε καὶ ἡμῖν ἔκ τινων διαμηνυμάτων, οἶμαι δὲ καὶ πᾶσιν, ἑαυτῷ περιγράφειν τὸ τῆς ἐκκλησίας ὄνομα ἐνεσήμηνεν· ἀντὶ τοῦ ἐγὼ λέγω τε καὶ ποιῶ, ἡ ἐκκλησία λέγει καὶ πράττει κατά τινα καὶ τοῦτο ἰδιορρυθμίαν φθεγγόμενος· ταύτης γὰρ ἡμεῖς πολλῷ πρότερον ἑαυτοὺς ἐκκηρύκτους, καὶ ἀπεσχοινισμένους ἐθέμεθα· σεπτὴν καὶ ἁγίαν ἐκκλησίαν εἰδότες καὶ νοῒ καὶ γλώσσῃ τρανῶς κατεγγέλλοντες, τοὺς θεοειδεῖς πατέρας, καὶ τὰς ἐν δόγμασι θεοκροτήτους αὐτῶν παραδόσεις, ὧν αὐτὸς ἐνίαις, ὡς παρεστήσαμεν, αὐτολεξεὶ καθορᾶται κἀν τῇ περὶ ἧς ὁ λόγος τομογραφίᾳ μαχόμενος· ἔτι τε καὶ τὴν ἐξ ἐκείνων ἕως αὐτοῦ κατιοῦσαν ἱερὰν ἐκκλησίαν ταῖς θεοδιδάκτοις σφῶν ἑπομένην θεηγορίαις, στέργοντες καὶ ἐνστερνιζόμενοι, ἀφ' ἧς οὐδεὶς καί περ τινῶν, ὡς διείληπται διὰ μέσου Ῥωμαίοις

ex illis saevas expulsiones fecisse: tantopere intemperante eius contra nos rabie provecta!

119. Sic igitur in his quoque munitis locis custodias agebant. Deinde ad libellorum scriptiones veniunt, quorum breviter in superioribus meminimus, sic rursus plebem vehementer commovere et in nos immittere satagentes: et insperatam illam de nobis factam notitiam, per iudicia ut diximus breviter conciliatam pervertere atque immutare molientes. Hinc eadem subnectentes, pulsationibus et fragoribus, ut cum maxime resonantium velut alio tempore campanarum, turbas populosque concitant, et libellos in ecclesiis legunt, qui nos excommunicabant; sed non sane quos horum parens veritatem incusans reprehendebat, sed ipsummet potius firmiter ac veraciter, nec non pares eius. Quoniam egregie hic et aliis et nobis, immo et omnibus, nescio quo indicio nomina imponens; sibi quidem ecclesiae nomen tribuebat; pro eo ut diceret aio et facio, ecclesia dicit et facit, dicens; sic etiam secundum quoddam proprium ius loquens: namque ab hac quidem (ecclesia) multo ante nosmet extraneos separatosque effecimus: quippe qui scimus quae sit veneranda illa, quam mente et lingua sanctam praedicamus, divinitus dico illuminatos patres, et caelestes eorum in dogmatibus traditiones, quarum aliquas, ut demonstravimus, ipsis verbis in ea de qua loquimur tomographia oppugnare comperitur; insuper et extensam usque ad hunc sacram ecclesiam, divinitus tradita illorum oracula sectantem, amantes et

ἀντιδιατεθέντων, καινοφωνῆσαι ταῖς τῶν κοινῶν σωτήρων θεοῤῥημοσύναις, ὡς οὗτος ἀριδήλως ὀπτάνεται· ἄλλως ἐριστικώτερον εἰρηκότων ἔκ τινος δυσμενείας, ὁποῖα φιλεῖ συμβαίνειν παρεμπεσούσης, αἰτίαις αἷς ἀπ' ἀρχῆς ἡμῖν ὁ λόγος ὁδῷ προβαίνων τυγχάνει κατὰ μικρὸν διαμορφωσάμενος.

ρκ'. Πλὴν οὕτω καὶ τὸ παρὸν ὁ γεννάδας ἀεθλούργημα διανύσας, καὶ πρὸς τὴν κατὰ τῶν θεοειδότων διδασκάλων διαμάχην ἐσχάτως κατενεχθείς, σπουδὴν ποιεῖται τῶν ἀπαραιτήτων, πάντας ἄρδην πρὸς αὐτὴν συνωθῆσαι δι' οἰκειῶν ὑπογραφῶν· πρῶτα μὲν οὖν εἰς τοῦτο πεποιθὼς προκαλεῖται τοὺς οὓς ἐπὶ διαφόροις ἐφευρέσεσι μηχανουργιῶν, μόλις ἱκέσθαι πρὸς φαινομένην ἕνω-
cod. f. 81. a. σιν ἑαυτῷ μεταπείσας, μεθύστερον αὖθις θεᾶται κραταιότερον ἀπ' αὐτοῦ διαστάντας, ὃ μηδαμῶς ὁ λόγος ὑπάρχει δεδηλωκώς· εἰς ἀκούσιον καὶ γὰρ οὗτοι σύμβασιν ἐκείνων ἐλθόντες, στεῤῥοτέραν τέλος ἐξ αὐτοῦ κρατύνουσι τὴν διάστασιν, τὸ τοῦ ἀνδρὸς καθάπαξ ἐγνωκότες δολερὸν καὶ κακόηθες, συμμεταβαλλομένου τοῖς καιροῖς καὶ τοῖς πράγμασιν, ὡς αὐτοὶ σάφα δεδειχότες εἰσί, καὶ πᾶν ὀπίσω τοῦ θηράσασθαι δόξαν ἀεὶ τιθεμένου, θεῖον ἐναργῶς καὶ ἀνθρώπινον· κἀντεῦθεν τὸ μετ' αὐτοῦ συνεῖναι θεομισὲς πάντῃ κρίνοντες καὶ ἀπαίσιον· τῷ τοι κἀνταῦθα πάλιν κληθέντες πρὸς τὰ ἀνάκτορα ἐπὶ τῷ τῇ ῥηθείσῃ τομογραφίᾳ ἐγγράψασθαι, τὸ μὲν καθ' ἡμῶν, τὸ δὲ ὑπὲρ τοῦ ἀναδειχθῆναι καὶ αὖ ἡνωμένους τῳδί, οὔτε τὴν μετ' αὐτοῦ κοινωνίαν τὸ παράπαν προσίενται, καὶ τὸ συνθέσθαι τοῖς καθ' ἡμῶν λογογραφηθεῖσι μὴ στερκτὸν ἡγούμενοι ἀποτρέπονται· τῆς πρώτης οὖν ἔνθεν ἀποστὰς πείρας ὁ νέος οὗτος μεγαλουργός, καὶ πολλαῖς ἐφεξῆς καὶ πάλιν μεθόδοις

amplectentes; de cuius coetu nulli, etiamsi aliqua in re, ut diximus, a Romanis discreparet, novitates loqui, praeter communium salvatorum oracula ausi erant, velut iste contra evidenter conspicitur: quamvis ii ceteroqui contentiosius loquerentur, propter aliquam iracundiam, quae solet intercurrere, ob eas causas, quas ab initio praesens sermo noster paulatim repraesentavit.

120. Age vero hoc peracto heros athletico opere ad divinos quoque magistros oppugnandos se conferens, implacabile studium arripit, cunctos omnino homines in suam sententiam pertrahendi. Et primo quidem, hac sua opinione fretus, ad se per sua scripta, vocat illos quibus diversis excogitatis artificiis ad unionem secum ineundam accedere aegre persuaserat, quosque deinde rursus conspexerat firmius ab se dissidere, quam rem nondum sermo noster patefecit: cum enim involuntarium iis rebus assensum praebuissent, constantiorem demum ab illo dissensionem decernunt, postquam hominis dolosum pravumque ingenium cognoverunt, pro temporibus rebusque mutabile, ut ipsi publice declaraverunt, et omnia infra gloriae lucrum ponere solitum, res nimirum divinas atque humanas; ideoque cum eo congruere, Deo prorsus odibile iudicantes et inauspicatum. Propterea tunc rursus ad regium palatium vocati, ut dictae tomographiae subscriberent, tum contra nos, tum ut se demonstrent huic unitos; illi neque communionem cum eo prorsus admittunt; et ne consentire quidem scriptis contra nos libellis laudabile existimantes, recusant. Ergo ab hoc primo experimento discedens novus hic magnorum operum au-

ἐπινοιῶν διαμερισθεὶς, εἰς τὸ σφᾶς ὑπαγαγέσθαι πρὸς ἑαυτὸν, ἐπεὶ μὴ ἰσχύσειεν ὁπωσοῦν, τῶν κρειττόνων ἐξ αὐτῶν καὶ ὑπερεχόντων, τοὺς μὲν ἐξορίαις ἐπὶ εἱρκταῖς ἀσφαλεστάταις ἐναποπέμπεται, τοὺς δὲ φυλακαῖς ἑτέρως ἐγκλείεται, καὶ ἄλλως ἀποσκευάζεται, καὶ πρὸς τελικωτάτην ἔκβασιν τήνδε, ἣν προλαβὼν ὁ λόγος ἀναγγελεῖν καθυπέσχετο, καὶ τὰ κατ' αὐτοὺς ἀποκαθιστᾷ· ὧν ὡς τῆς μερίδος ἐπὶ τοῦ μέσου στῆναι πρώην ἐκόμπαζε, πρὸς τὸ σύννομον ἑαυτὸν εἶναι σφίσι σχεδιάσας αὐθημερὸν, καὶ ὑπὲρ ὧν τερατολογῶν ὑπῆρχε τὰ τοσαῦτα τῶν κακουργημάτων νεανιεύσασθαι· προσβάλλει γε μὴν μετὰ ταῦτα τοῖς τοῦ κλήρου λογάσι σφοδρότερον, καθημέραν ἕλκων τού- cod. f. 81. b.
τους εἰς τὰ βασίλεια, καὶ ταῖς ἐκεῖθεν ἐκδειματῶν ἀπειλαῖς, ἐξορίστους θήσειν, καὶ μυρίοις ἔτι δεινοῖς καθυποβαλεῖν, εἰ μὴ ταῖς ἐμπεριειλημμέναις τῷ καθ' ἡμῶν τόμῳ προδήλοις βλασφημίαις αὐτοῦ δι' ὑπογραφῶν φανεῖεν συνθέμενοι· οὓς γενναίως ἀντεχομένους ὁρῶν, ἐπιπλέον ἐκμαίνεται, ταῖς τε δι' ἔργων ἐμφιλοχωρεῖ σκαιωρίαις, τοῖς ἐκ τῶν ἀρχείων δραστικοῖς ὑπηρέταις συσχεθῆναι τὰς σφῶν οἰκίας παρασκευάσας, δεσμοῖς φύσεως δεσμουμένων γνησίων παίδων καὶ γυναικῶν· εἰσὶν οὓς ἐξ αὐτῶν προσέτι βιαίως καθείργνυσιν, ἄλλους ἐκτοπίζει τῶν συνήθων διατριβῶν, καὶ ἑτέρους ἄλλοις περιστοιχίζει ἀνιαροῖς· ἐπὶ τούτοις μέτεισι καὶ τὰ σαίνοντα χρυσῶν καὶ ἀξιωμάτων καταβολαῖς, ὑποσπάσαι τούσδε πρὸς τὸ τῆς κακίας θήρατρον ἐπειγόμενος· οἷς ἅπασι καὶ πλείοσιν ἐπιλοίποις ὧν νέος αὐτὸς τῶν πώποτε κολαστῶν ἐφευρετὴς ἀνεδείχθη· καί τινας ὑφαιρεῖται καὶ ὑποσπᾷ· εἰ δὲ καὶ τοὺς ἀνενδότως εἰσέτι μᾶλλον ἀνθισταμένους εἰς τοῦτο δὴ συνελάσειεν, ἐπεὶ κατακαυχᾶσθαι πάντων οἶδεν ἡ δυναστεία, καὶ ὀλίγοις τὸ μὴ ὑπείκειν, καὶ ταῖς

ctor, multis posthinc denuo cogitationum versutiis distractus, quô illos ad se attraheret, cum nullatenus praevaleret, meliores ex ipsis et eminentiores exiliis et munitissimis carceribus tradit: alios autem alio modo custodia circumdat: alios aliter de medio submovet. Atque ad perfectum hunc exitum, quem nostra praecedens oratio describere promisit, res illorum reducit; quorum in medio se tamquam partem antea stare iactabat, praeter quam quod consortem illorum in praesenti semet declaraverat; et quorum causa mire satagebat talia facinora audacter agere. Aggreditur mox praecipuos vehementius de clero, quotidie pertrahens illos in palatium, et eos illinc minis territans, exules facturum, et sexcentis praeterea malis subiecturum, nisi contentis in tomo adversus nos manifestis ipsius blasphemiis subscribendo viderentur consentire. Quos fortiter resistentes cernens, magis furit, et iniquis factis studium impendit, actuosis regiae domus ministris mandans ut illorum familias captivent, nempe sanguinis vinculis coniunctos, genuinos filios, atque uxores. Quosdam etiam violenter intercipiendos curat: alios familiaribus aedibus pellit: alios aliis obruit molestiis. His blanda etiam admiscet, auri et dignitatum dationes, volens hos in suae malitiae rete pertrahere. Quibus omnibus pluribusque reliquis, quorum ipse novus punitor, inventor apparuit, nonnullos capit attrahitque; et quamquam hactenus praefracte adversantes, demum compellit: quoniam insultare omnibus praepotentia solet, et paucorum est non cedere,

πολυπλόκοις αὐτῆς ὑπενδιδόναι δεινότησιν· οὐ πρὸς ἡμᾶς τόδε, μὴ ἑτέρωσε μηδαμῶς ἀναρτήσαντας ἑαυτοὺς, ὅτι μὴ πρὸς τὸν εἰς πᾶν ἔργον συνιέντα καὶ διαβούλιον· τοῦθ' ἡμέτερον ἐπὶ τοῖς οὕτω συνυπαγομένοις τὸ ἀνιᾶσθαι, καὶ γινόμενον καθέστηκεν ἀληθῶς· καθὰ καὶ ἐπ' αὐτῷ προηγουμένως τῷ συνυπάγοντι, ὡς προΐστορι τῶν τοιούτων, καὶ πρὸς τοσαύτην ἔναντι θεοῦ καὶ ἀνθρώπων ὑπερβολὴν ἀναισχυντίας ἐλάσαντι.

ρκα'. Ἐν τούτοις δ' οὖν ὄντων τῶν πραττομένων· ἤκουσί τινες τῆς βα-
cod. f. 82. a. σιλικῆς ἑστίας πρὸς τὴν ἐν ᾗ περ μονὴν ἐφρουρούμεθα· κἀκεῖθεν λαβόντες ἡμᾶς πρὸς τὴν ἐν ᾗ καθειργμένος ἦν ὁ τοῦ θεοῦ ἀρχιθύτης μεταβιβάζουσιν, ἔνθα καὶ ἡμερῶν οὐκ ὀλίγων παρελθουσῶν, φοιτῶσιν αὖθις ἐκ τῶν ἀνακτόρων ἄνδρες καταπεμφθέντες, οἱ μὲν τῶν πρὸς τὸ βασίλειον κράτος ᾠκειωμένων, οἱ δὲ τῶν ἄλλως ἐξυπηρετουμένων αὐτῷ· καὶ ἡ ἄφιξις ἐπὶ τῷ ἐπιμελῶς ἀνερευνῆσαι, εἴ που τινὲς τοῖς ἐν οἷς καταμένοντες ἦμεν κελλίοις εὑρεθεῖεν γραφαὶ, πρὸς ἡμᾶς ἔξωθεν ἀφικόμεναι· ὑποψίαν γὰρ ἔσχον οἱ τὴν τούτων ζήτησιν ἐπιτρέψαντες, τῶν ἀντιπτόντων σφίσι κατανοοῦντες τὸ ἀκλινὲς, καὶ στεῤῥὸν τῆς γνώμης πρὸς τὸ μὴ ὑποκύψαι τοῖς ἐπιταττομένοις καὶ ἀμετάθετον· ἤδη καί τινων ἀπ' αὐτῶν τῶν ὧν εἶχον εἰς συμμαχίαν πρωτίστων, τὴν σφῶν ἀποστρεφομένων κοινωνίαν ὁλοσχερῶς, ὡς ἐκ τούτων δὴ τῶν οἰκείων ἐξεταστῶν καὶ ἀγγελιαφόρων λεγόντων ἐγνώκαμεν, ἀφ' ἡμῶν γίνεσθαί τινα διεγέρσεις πρὸς τὸ τοὺς εἰρημένους μὴ ὑπείκειν, ἀλλ' ἀντιβαίνειν οὑτωσὶ καὶ ἀποδιΐστασθαι· δεχομένων τε καὶ ἀντεπιστελλόντων ἐπιστολάς· πρὸς ἅπερ ὁ ἡμέτερος ἀρχιποίμην, ἐπεὶ προφθάσας τὰς ἀντιῤῥήσεις κατ' ἔπος θείη τῶν ἐμπεριεχομένων τῷ καθ' ἡμῶν λογογραφηθέντι τόμῳ βλασφη-

et illius variis non vinci viribus; nedum ab eo, cui quodlibet factum et deliberatio pateat. Nostrum utique est dolere de circumventis; praecipueque de ipso circumveniente. Non est hoc nostrum ut a nemine alioquin pendeamus; vereque id accidit, sicut et ipsi seductori contingit, ut horum praescio, et in tantam coram Deò et hominibus impudentiam elato.

121. Haec dum fierent, veniunt quidam de regia domo ad eam in qua custodiebamur mansionem, unde nos abducentes, ad illum quo inclusus erat Dei praesul locum transferunt; ubi non paucis transactis diebus, veniunt rursus ex palatio missi homines, aliique principis contubernales, alii aliter ei servientes. Scopus autem adventus erat sedulo scrutandi num aliquae in iis quas habitabamus cellis invenirentur scripturae ad nos exterius missae. Suspicabantur enim ii qui hanc inquisitionem mandaverant, dum resistentium ipsis firmitatem viderent, sententiaeque constantiam et tenacitatem imperatis non obsequendi: cum iam nonnulli praecipui, quos in suas partes pellexerant, eorumdem communionem prorsus respuerent, prout ex his eorum scrutatoribus fando audivimus; nempe quod a nobis fierent incitamenta quaedam praedictis quominus cederent, sed adversarentur et dissentirent, cum etiam mutuae inter nos epistolae missitatae fuissent. Ad haec praesul noster, quia iam responsiones ad verbum confecerat contentarum in conscripto contra nos tomo blasphemiarum, festinanter scriptum suum manibus ca-

μιῶν τῷ σπουδάσαι τοῦτον ἀνὰ χεῖρας λαβὼν, καὶ κοινωσάμενος μεθ' ἡμῶν εἴη τὸ πρότερον τηνικαῦτα ταύτας ἐμφανεῖς ποιῆσαι τοῖς οἷς δέον ἐμφανισθῆναι· ἡνίκα ἄν τινες ἐξ αὐτῶν λόγοις ἐπί τισιν ἐσταλμένοι πρὸς ἡμᾶς παραγένοιντο· ὡς ἑρμαίου δραξάμενος τοῦ καιροῦ ἀνακηρύττει ταύτας, καὶ ἐγχειρίζει τοῖς σταλεῖσιν εὐθὺς, καὶ δυσωπητικοὺς προσφέρει λόγους ἐν πνεύματι ζήλου καὶ πρᾳότητος προηγμένους χωρὶς οἱασοῦν δυναστείας ἀῤῥεπῶς καὶ ὀρθῶς κατεξετασθῆναι, νομίμων δικαστηρίων προβησομένων, καὶ μὴ διὰ κακίαν τῶν καθ' ἡμῶν ἀκρατῶς κινουμένων· πρόσχημα τοῦ δοκεῖν καθ' ὧν τοῖς τῆς ἡμετέρας φυλῆς ἀρεστὸν λέγειν λαβόντων, νεοφανεῖς λόγων διατρανώσεις ἐαθῆναι παρ' αὐτῶν τῇ ἐκκλησίᾳ ἐνφυτευθῆναι τῶν πατρικῶν ἀλλοτρίους ἑρμηνειῶν καὶ διασαφήσεων· καὶ τοῦ λοιποῦ διαγορεύσει τούτοις ἠκριβωμένως θέσθαι τὴν ἐφ' οἷς κατεπέμφθησαν ἔρευναν· οὐ μόνον γὰρ οὐκ ἦν ἡμῖν τῷ ἀσφαλῶς τηρεῖσθαι, τοιοῦτόν τι διαπράξασθαι, ὁποῖον οὗτοι ζητοῦντες ἧκον, ἀλλ' ὅτι καὶ παῤῥησίᾳ ἥμεν λαλοῦντες, καὶ οὐδὲν λαλεῖν ᾑρούμεθα ἐν κρυπτῷ· οἱ δὲ καὶ πολυπραγμονήσαντες ὡς ἠβούλοντο, ἐπεὶ τῶν ὧν ἐκελεύσθησαν οὐδὲν εἶχον ὅλως εὑρεῖν· καὶ μόνον τὸ τοῦ τόμου προθέντες, ἐξ ὧν τε κατεφάνησαν ἐπ' αὐτῷ ὑπειπόντες, δηλώσαντες ἐναργῶς, πεφυλαγμένον ἐθέλειν εἶναι τοῦτον τοὺς συνθεμένους τοῦ εἰς χεῖρας ἡμῶν ἐμπεσεῖν· καὶ πρὸς ἡμῶν αὖθις ἀκηκοότες ὡς καὶ αὐτοὺς ἐχρῆν μᾶλλον τοῦτο ποιῆσαι τὸ ἡμῖν ἐγχειρίσαι κατὰ τὴν ἀπαιτουμένην εἰς τὰ τοιαῦτα τάξιν ὁλικὴν καὶ συνήθειαν· καὶ ὡς δέον παραυτὰ συνιέντες, ᾤχοντο, ἐξ αὐτῶν τινας σὺν ἡμῖν καταλείψαντες· καὶ τοῦτο σφίσι προστεταγμένον, ὡς θ' ὁπηνίκα ἂν αὐτοῖς σημανθείη τὰ τοῦ πλοίου προευτρεπίσασιν ἔσωθεν ἡμᾶς ἐμβαλεῖν, καὶ ἀπαγαγεῖν εἰς ἣν ὑπερορίαν ὡρίσθησαν. cod. f. 82. b.

piens, quod nobis antea communicaverat, ut iis quibus opus erat manifestaremus, statim ac illorum aliqui qualibet de causa ad nos missi forent; nunc tamquam optimam occasionem nactus, responsiones illas palam facit, missisque hominibus statim tradit; et idonea pudori incutiendo verba dicit, cum zeli ac lenitatis spiritu prolata, nempe ut citra quamlibet praepotentiam, recte et sine praeiudicio examen fieret legitimis constitutis iudiciis, non autem per eorum nequitiam qui effrenate contra nos erant commoti, capto praetextu grata genti nostrae dicendi: novas scripturarum expositiones omitterent in ecclesiam invehere, a patrum interpretationibus declarationibusque alienas. Ceterum mandat illis ut accuratam faciant, cuius causa missi fuerant, scrutationem; non solum enim cura nobis haud erat quicquam huiusmodi clausum tenendi, cuius causa inquisituri venerant, sed et libere satis loquebamur, et nihil in occulto dicere constitueramus. At illi curiose quod voluerant scrutati, prout sibi imperatum fuerat, nihil omnino invenire potuerunt. Et de tomo tantum polliciti, ob ea quae in ipso agnoverant, suadebant aperteque significabant, oportuisse hunc custodiri a suis auctoribus, quominus in manus ipsorum incideret. Cumque a nobis mox audissent, ab ipsis potius curandum fuisse ut sua nobis traderentur iuxta debitum in his rebus universalem ordinem et consuetudinem; re ut par erat statim intellecta, abierunt, relictis apud nos de eorum numero aliquibus, qui-

ρκβ'. Ὡς γοῦν ἐπὶ τοιούτοις λόγοις τουτωνὶ ἐναπολειφθέντων, ἐκεῖνοι ἀπέλθοιεν, καὶ πρὸς τοὺς πεπομφότας πάντα μετακομίσαιεν, οὗτοι τε γνοῖεν, ὡς ἄλλοις εἶεν ἐγκύρσαντες, ἕτερα ἀνιχνεύοντες, καὶ ὡς βουλεύ-
cod. f. 83. a. σεων πρὸς ταῦτα χρεία τοῖσδε καὶ σκέψεων, καὶ μάλιστα οἷς ἔσχον ἀκοῦσαι πρὸς τοῖς λοιποῖς, ἡμᾶς εἰρηκέναι τὰ τῶν ἀντιῤῥήσεων ἔξω που παραπέμψαι, καὶ εἰσέτι τοῦτο δρᾶσαι εἰ δυνατὸν, ἅτε τῶν μὴ κρύβδην ἀλλὰ παῤῥησίᾳ λεγομένων τυγχάνοντα, ὑπερτίθενται τὰ τῆς ὑπερορίας τοῖς ἐπὶ τούτῳ προσμεμενηκόσιν ἡμῖν ἀποστῆναι τὸ τέως ἐγκελευσάμενοι· ὅπερ ὡς εἴδομεν, ἐπῆλθε λογίσασθαι πρὸς διαλογικοὺς ἀγῶνας ἴσως αὐτοὺς ἀναγκασθέντας ὁρμῆσαι, σκευὰς ἀρτίως εἴπερ ποτὲ συσκευασομένους, ὅπως ἄν τι φανεῖεν πρὸς δόκησιν κατορθώσοντες· καὶ ἦν ἡμῖν τὸ ὅπως δήποτε τοῦτο γενέσθαι περὶ πλείστου θυμῆρες, εἰς τὰς συνειδήσεις τῶν ἀπροσπαθῶς ἀκροασομένων, κρειττόνως εἴπερ τὸ πρότερον νῦν τοιοῦτον τινῶν θεόθεν πεμφθησομένων ἐναποτεινομένοις, καὶ κέρδος τί προσκτήσασθαι ταύταις ἐπιπλέον ἂν πεποιθόσιν, εἴ γε καὶ μᾶλλον ἐξ ἀνάγκης πρὸς τοὺς προφανεῖς τῶν σφετέρων ἐλέγχων οἱ ἀπεναντίας συνελαθεῖεν ἀπολογήσασθαι· παρ' ὃ καὶ ἦμεν οὕτω κληθήσεσθαι προσδεχόμενοι· καὶ τελευταῖον τὴν ἣν ὑπῆρχον προτεταχότες ἀπαγωγὴν ὑποστήσεσθαι· κἀκεῖνοι τὰ σφῶν ἐφ' ἱκανὸν κροτήσαντες βουλευτήρια, καὶ πρὸς συνελεύσεις ὅλως τε καὶ λόγους ἐλθεῖν ἀπειπάμενοι, ὃ καὶ ἡμῖν ἐκ τῶν μεταξὺ διαμηνυομένων συνορώμενον ἦν, βασάνους ἐπὶ τοῖς ἀμφοῖν ἐγγράφως προαχθεῖσι διατόρως ἐκκαλουμένοις, καὶ μηδέν τι ῥῆμα πρὸς τοῦθ' ἧκον λαμβάνουσιν ἀποκρίσεως· εἶτα καὶ μηδ' ἀμυδρῶς ὑπερηγορίας

bus mandatum fuit, ut cum eis significatum foret navim esse paratam, in eam iniiceremur, et ad destinatum exilii locum deportaremur.

122. His ergo hac de causa apud nos relictis, illi discedebant, ut omnia mittentibus renunciarent, atque ut certiores facerent se in alia incurrisse dum alia quaererent, et consultationibus opus esse ac considerationibus, praesertim ob ea quae insuper audierant: dictum a nobis fuisse, responsiones illas extra alicubi missas, idque et adhuc acturos, si fieri poterit; quandoquidem non clam sed confidenter loquentium opus erant. Ergo his qui ob id negotium apud nos remanserant, imperant ut interim abscedant; quod nos cum vidissemus, venit in mentem, fortasse illos coactos ad dialogorum certamina denuo venturos. Sed enim illi interim machinationes quam cum maxime struunt, ut rectum aliquid agere viderentur: eratque id nobis ut aliquando foret, summe exoptatum, ut ad conscientiam non praeiudicati auditorii melius quam antea paratam ea venirent, divina providentia occasionem lucrumque fore multo maius confidebamus; praesertim si urgente necessitate defensionem contra evidentes ipsorum confutationes susciperent. Unde et nos sic vocari expectabamus, et denique extremam quam illi praeparaverant deportationem subire: qui diu consultationibus suis peractis, negarunt prorsus ad congressiones et verba ulterius esse veniendum; quam rem nos quoque ex indiciis interim acceptis cognovimus, qui quaestionibus de utraque re scripto oblatis, diserte expostulantes, ne verbum quidem rei idoneum responsi loco accepimus. Deinde ne leves quidem

ἐπὶ τοῖς οἰκείοις, εἰ καὶ ἀντιθέσεις ἐπὶ τοῖς κατ' αὐτῶν ἡμετέροις συνθέσθαι δεῖν ἡγησάμενοι, τῷ ἐναργεῖς οὕτω τοὺς ἐλέγχους θεᾶσθαι· κἀντεῦθεν τὸ πλείω ἐρεῖν ὡς πρὸς πλείους τῶν βλασφημιῶν ἀπαχθησομένους δεδίττεσθαι cod. f. 83. b. δίκας τέλος ἁπάσας συνεδρίων καὶ πᾶσαν ἀπολογητικὴν ἔκθεσιν, ἢ καὶ διάλεξιν, περιϊστῶσιν ἡμᾶς εἰς τὸ ἀπελάσθαι, καὶ ἀφανείᾳ βαθυτέρᾳ τάχιστα παραπέμψασθαι· ἧκον οὖν οἱ τοῦτο διενεργήσοντες· καὶ νυκτὸς ἐπιγενομένης προτρέπουσιν ἡμῖν τὴν ἀπέλευσιν, ἐπὶ τὸν αἰγιαλόν τε καταβιβάσαντες, εἴσω τῆς ἀκάτου γενέσθαι παρασκευάζουσι, καὶ διαπλωϊσαμένους ὑπερορίους ποιοῦνται, πρὸς τὸ ἐν ᾧ διάγομεν ἄρτι φρούριον ἀγαγόντες, καὶ βιαιοτέραις εἱρκταῖς ἐγκαθείρξαντες· μὴ ἀρκοῦν ὡς ἔοικε κατανοήσαντες εἶναι τὸ ἔρυμα πρὸς φρουρὰν, ἐπὶ ὄρους, ἅ τε κείμενον μετεώρου, καὶ δυσαντίβλεπτον ὂν εἰσάπαν κύκλωσε καὶ ἀπόκρημνον· καὶ μή τοι γε τῶν μακρὰν ἐπὶ τῆς λεωφόρου παριόντων βάσιμον οὐδενί· ἀλλ' εἴ γε καὶ βουληθείη τὶς, οὔμενουν αὐτῷ ῥᾳδίως εἰσιτητόν· τὸν οἰκεῖον ἔχον κλειδοῦχον καὶ φύλακα μετά τινων ὅσον εἰς συντήρησιν ἔσω καὶ φυλακὴν προσκαθήμενον, καὶ τὸ πᾶν σκοπούμενον ἰσχυρῶς· μὴ ἱκανὰ νομίσαντες ταῦτα, καὶ παρὰ τοῦτο δεινοτέρους ἔτι, καὶ ἐπιστημονικωτέρους ἐκ τῶν ἐν ἀρχείοις διαφόρων ταγμάτων, οἷς τὸ ἐναλλάττον ἄνω που παρεστήσαμεν ἐπόπτας ἡμῖν ἐγκαταστησάμενοι· ὧν ἐνίων τὸ ὑπερβαλλόντως πικρὸν καὶ ἀπάνθρωπον πρὸς ἐπιπλοκὰς ἂν μακροτέρων λόγων ἐπήρκεσεν, εἰ σκοπὸς ἦν ἡμῖν τὰ τῶν κακώσεων ἐπίπαν εἴδη διαλαβεῖν· τὰς δέ γε μετὰ τὸ οὕτω θεῖναι τὰ καθ' ἡμᾶς, πολυτρόπους ἐπιχειρήσεις, καὶ σκαιωρίας ἐν αὐτῇ τῇ βασιλευούσῃ τῶν πόλεων, καὶ προσέτι δυναστείας πολυσχιδεῖς πρὸς τὸ σύμφωνον ἀπαρτίσαι πᾶσι χρηματίσαι cod. f. 84. a. μανίαν τὴν καθ' ἡμῶν ἴσασιν οἷς εἰλικρινέσιν ἐνατενίζειν ὀφθαλμοῖς ἐκεῖσε

pro re sua defensiones, neque ad obiecta nostra contradictiones faciendas iudicant, propterea quod tam evidentes fuissent coargutiones: deinde quia plura dicendo, ad plures se pertrahendos blasphemias timebant, poenasque demum cunctorum synedriorum luere: omnem apologiae rationem et disceptationem eo conferunt, ut nos expellant, et profundiori oblivioni quam celerrime tradant. Venerunt itaque rei executores, et nocte ingruente hortantur nos ad discessum, et ad littus deductos intra naviculam collocandos curant, et maritimo itinere exules traducunt ad castellum quod antea incoluimus; et validiore praesidio includunt, non satis credentes, ut videtur, locum ipsum idoneum ad custodiam, in monte excelso situm, nulli circum aspectui patente, et praerupto; nulli iter facienti in publica via gradibile, etiamsi aliquis vellet, neque adibile. Et suum unusquisque clavigerum habebat et custodem cum nonnullis aliis, observationis internae gratia et custodiae adsidentem, et cuncta magnopere intuentem. Nec satis haec esse existimantes, acriores adhuc et cautiores ex palatinis variis ordinibus, quorum alternas vices retro memoravimus, observatores oculatos nobis constituerunt: atque horum acerbitas et inhumanitas, ad longiorem orationis contextum sufficeret, si nobis propositum esset omnia poenarum genera complecti; et illas post exilium nostrum varias strophas et improbitates in urbe regia: insuperque praepotentias multiplices, ut omnium concorditer furorem

καθειστήκει τὰ δρώμενα· τί γὰρ ἂν ἡμῖν ἐνταυθοῖ καὶ φανείη καταληπτὸν, οὐδενὸς ἀτεχνῶς ἄλλου ὅτι μὴ μόνον ἀεροπόρων ζώων θεωρίας ἐπαπολαύουσιν.

ρκγ΄. Ὡς οὖν ἄνωθεν καὶ ἐκ προοιμίων τάξει τινὶ παραχωροῦντες κατὰ μικρὸν ἐδηλώσαμεν, τὸ μεγάλων καὶ ἀφορήτων δεινῶν ἐμποιητικὸν ῥῆγμα τῶν ἐκκλησιῶν, ἀνθρωπίνων περιπετείαις πραγμάτων ἐξ ἐπηρείας τοῦ κοινοῦ πολεμίου, τοῖς ἀπὸ Χριστοῦ κεκλημένοις γνόντες ἀκριβῶς ἐπεισφρῆσαν· εἶτα τοῖς ἐξ ἐκείνου διὰ μέσου τῶν βασιλέων ἀγακλέεσι, καὶ πρᾶξιν ἅμα καὶ διάνοιαν μεγαλόφροσιν, ὡς κακῶς ἐνσκῆψαν, οὕτω περιαιρεθῆναι κρινόμενον, καὶ ὡς ὁ καιρὸς ἐδίδου σπουδαζόμενον, διαγνώσεως διαθέσει βελτίονος, ταῖς θ᾽ ἡμετέραις ἡμέραις εἰς ἐνέργειαν ἀπωθήσεως προαχθῆναι ἰδόντες, προσηκάμεθά τε οὕτω προβὰν, καὶ τὴν ἀντ᾽ αὐτοῦ ἀναφανεῖσαν εἰρήνην ἰθυτενῶς ἠσπασάμεθα, καὶ τῷ μᾶλλον ὑποτιθεμένην ταῖς σοφαῖς ὑποθημοσύναις τῶν θεοβραβεύτων διδασκάλων ἐξακριβώσασθαι, ὅσα καὶ θεοφιλῆ καὶ οὐράνιον ἐνηγκαλισάμεθα, ὑπὲρ ἧς καὶ διαπρεσβεύσασθαι καθωράθημεν, τῶν πώποτε βαρυτάταις ἐπὶ τούτῳ ταλαιπωρίαις, καὶ θανατηφόροις κινδύνοις πολλαχοῦ καὶ πολυειδέσι προσομιλήσαντες, ὡς αὐτὸς ὁ τὰ πάντα εἰδὼς ἐξεπίσταται, οἷς καὶ τοσοῦτον ἡμῖν ἐπῆλθε τὸ αἰσχύνεσθαί τε καὶ μεταμέλεσθαι, παρόσον καὶ ἐναβρύνεσθαι λαμπρῶς ὑπῆρξε καὶ ἐπιγάννυσθαι τηνικαῦτα μὲν ἀμυδρότερον, νυνὶ δὲ καθαρώτερον ἀσυγκρίτως καὶ τελεώτερον, καὶ ταῦτα σφοδρῶς
cod. f. 84. b. ἀποδυσπετοῦσιν ἐξυπηρετῆσαι τῇ διακονίᾳ ταύτῃ λόγοις οἰκείοις· οὐμενουν παρὰ τὴν ὑπόθεσιν, μόλις τε πειθομένοις, καὶ τῷ πείρᾳ τοῖς δυσχερέσιν ἐγκύρσαι μᾶλλον ἐπευδοκοῦσιν, καὶ τό τε καὶ νῦν, ἡνίκα τούτων ἐς τοσοῦτον προε-

contra nos acuerent. Sciunt ii, quibus propriis oculis gesta illic spectare contigit. Quid enim nobis in his locis rescire licuerit, nulla profecto alia re fruentibus quam volatitium animantium aspectu?

123. Sicut ergo superius et ab exordio ordine quodam procedentes paulatim demonstravimus, magnorum et intolerabilium malorum causa extitit schisma ecclesiarum, quod ex humanarum rerum casibus, communis fraude hostis, gentibus a Christi nomine dictis, gnari sumus obrepsisse. Deinde interiectis principibus gloriosis, opere et mente simul excelsis, ceu perverse introgressum, auferendum esse iudicantibus; et prout tempus sinebat studentibus meliore instituto recte disponere. Nostris vero diebus facto ipso depulsum videntes, admisimus rem ita confectam, et succedentem schismati pacem recte adamavimus; praesertim a sapientibus divorum patrum oraculis accurate propositam, et ceu Deo gratam caelestemque amplexi sumus: pro qua et legationes obivimus, et gravissimas aerumnas, et morbifera pericula saepe et varia incurrimus, sicut ille scit qui omnia videt. Ex quibus nobis tantum ignominiae pati et compungi contigit, quantum secus extolli magnifice et laetari licuisset: tunc quidem levius, nunc autem prius incomparabiliter et perfectius. Et qui aegerrime hoc scribendi officium suscepimus, non tamen extra argumentum agere nobis suasimus, et multo magis in aerumnas incurrere acquievimus et tunc et in praesentiarum, cum tantopere haec se mala intenderunt. Su-

λήλυθεν ἡ ἐπίτασις· ἔστι γὰρ ὡς τὸ πᾶν φαίην, καὶ κατάκρως διαπορεῖσθαι ὅθεν ἡμῖν ἡ πρὸς τοῦτο ἄρρητος ἡδονή· ἀλήθειαν οἶδα λέγειν, οὐ ψεύδεσθαι· οὕτως ἡμεῖς συνειδότες ἅπερ ἐπὶ τῇ τοιαύτῃ πραγματείᾳ διενηργηκότες ἐσμὲν, τίσιν ἐρηρεισμένοι, καὶ μεθ' οἵου σκοποῦ, καὶ οἵας εὐθύτητος, ἅτε οἱ τῆς σφῶν κακίας ὕλην αὐτὴν ποιησάμενοι, καὶ ὁποῖα διέθεντο συμμορφαζόμενοι τοῖς καιροῖς καὶ συμποικιλλόμενοι, καὶ πέρας ὅπως εἰς ἀπηνεδευμένην διαμάχην δογμάτων τῶν πατρικῶν ἀπηνέχθησαν· ἐξ ὧν ἅπασιν ἐναργὲς συγκεφαλαιωσαμένοις τὰ καθ' ἡμῶν, ὡς τὰ πρῶτα τῶν δεινῶν ἐκείνων σκαιουργημάτων ὑπέστημεν, παρὰ μόνην εἰρήνην τὴν ἐκκλησιαστικήν· τὰ δέ τε προσεχῆ καὶ τὰ δεύτερα, εἰ καὶ αὖ αἰτίαις ταῖς ἐξ αὐτῆς, πλὴν παρὰ ῥημάτων ἀλλοτρίων νεογράφους ἀπαγωγὰς, αἷς πρὸ τῶν δικαστηρίων οἱ ἀπεναντίας ἐπὶ συστάσει δῆθεν τῶν σφετέρων ἀνοσιουργιῶν κατὰ μικρὸν παρασυρέντες ἐνήλλαντο· καὶ πάλιν αἷς μετ' αὐτὰ ταῖς καθ' ἡμῶν τομογραφίαις ἐχρήσαντο πρὸς οὐδέτερα τούτων δεσποτικῶς· μηδεμίαν ἀπολογίαν δοῦναι θελήσαντες· καὶ ταῦτα πεπαρρησιασμέναις ἐγκληθέντες φωναῖς.

ρκδ'. Εἰ δὲ καὶ τοσαύταις ἡμῖν ἐπ' ἀμφοτέροις συσχεθεῖσιν ἐπιφοραῖς, οὕτως ἐξεγένετο διακεῖσθαι, ὅσον δὴ τὸ πρὸς ἑαυτούς, ἀλλ' οὐχὶ καὶ τοῖς ἐκτὸς τρόπον δῆτα τὸν ὅμοιον· μενοῦν γε καὶ μάλιστα βαρυαλγεῖν αὐτοῖς ἔνεστι καὶ ἀδημονεῖν, ἀφορῶσιν ὅπῃ τὰ ἐνταυθοῖ καὶ ἡμέτερα ταράχου καὶ ἀτοπίας προήγαγον, καὶ οἷον κλύδωνα ταῖς μεγίσταις ἀνήγειραν τῶν ἐκκλησιῶν, ὁποῖον οὐ πώποτε, τό τε ζητούμενον ἀεὶ συνουλωθῆναι τραῦμα τὸ ἐκ τοῦ σχίσματος τοῖς μεγάλοις ἐνθαδὶ καὶ ὑπερέχουσι τῶν ἀνδρῶν, οἷς τὸ μέλλειν cod. f. 85. a.

perest, ut omnia dicam, vel apprime disquirendum, unde nobis tanta in hac re voluptas? Veritatem sciebam me dicere, non mendacium. Sic nos nobismet conscii quid in hoc negotio egerimus, quo fulcimine, et quo scopo, et quanta rectitudine; et quae in illi suae nequitiae materiam fecerint, et qualia operati sint, temporibus se conformantes et simul variantes, et denique ad impudentem paternorum dogmatum oppugnationem progressi. Unde exploratum fit omnibus, qui summam dictorum nostrorum fecerint, nos mala illa priora pertulisse, propter solam ecclesiasticam pacem; subsequentia autem et secunda, etsi iisdem ex causis orta, praecipue tamen, ob irreligiosorum vocabulorum neoterice scriptorum expulsionem: quae vocabula adversarii ante instituta iudicia, ob suarum irreligiositatum fulcimen, paulatim pertracti inseruerunt; iisque in compositis contra nos tomographiis usi sunt: quorum neutrius pro sua praepotentia defensionem facere voluerunt; quamquam liberis admodum vocibus convicti fuerunt.

124. Quod si nobis tantas passis ob utramque rem incursiones, sic esse affectis contingit quod ad nos attinet; haud pari tamen conditione sunt isti ab ecclesia alieni: immo vero decet eos gravissime dolere et moestificari, videntes in quantum turbationis atque absurditatis regionem hanc resque nostras perduxerint; quantamque duabus maximis ecclesiis tempestatem concitaverint, cuiusmodi numquam fuit: et quod vulnus, id est schisma, cui remedium semper est quaesitum a magnis patriae nostrae et eminentibus viris, qui ad hoc adhibendi fuerant, nunc insanabile

περὶ τῶν τοιούτων ἐχρῆν, εἰς τὸ παντελῶς ὅπως ἀνίατον περιέστησαν, εἰ μή που τίς ἐκείνην ἐθέλει τοῦδε θεραπείαν ἐρεῖν, ὅπερ ἀπείη, τὴν ὅτε τῶν καιρῶν, ἐπὶ κακῷ μεγάλῳ προχώρησιν· ἀλλ' ἀνιωμένοις ἡμῖν ἐν τούτοις ἔξεστι φάναι, ὡς εἰδότων καὶ ποιούντων, οἷς οὕτω δέδοκται τὰ περὶ αὐτῶν· ἐπ' ἐκείνοις δὲ ἄρα οἷς καινοφωνῆσαι τοῖς θεσπίσμασι τῶν πατέρων ἀπηρυθρίασαν, οὐ μόνον οὐδὲν τοιοῦτον ἔνεστιν ἐξειπεῖν, ὡς ἐφησυχάσαι τινὶ τρόπῳ τούτοις ἢ συνελθεῖν· ἀλλ' ὅτι καὶ ἐνστάντες ἐνσταίημεν κραταιότερον, στέρξαντές τε πᾶσαν καταδίκην ἡμῖν ἐπαχθεῖσαν, καὶ καθ' ἑκάστην ἃς ἐπινοοῦσιν ἀσφαλειῶν καὶ καθείρξεων καὶ λοιπῶν πειρατηρίων καινότητας στέργοντες ὑποίσομεν ἔτι, καὶ εἰ μυρίων καθ' ἡμῶν ἑτέρων νεουργοὶ φανεῖεν τιμωριῶν καὶ κακώσεων, εἰδότες ὅπη σφίσι τε καὶ ἡμῖν ἐκβεβήκει τὰ τῆς ὁρμῆς, καὶ πρὸς ὅ τι πέρας εἰδοπεποιημένως τὰ τοῦ δρόμου κατήντησε. Φαίη τις ἂν ἴσως ἐν συναισθήσει τούτων γενόμενος, ὡς ἔστι θεὸς ἐκδικήσεων κύριος· ἐγὼ δὲ μικρὸν παρῳδήσας φθεγξαίμην, ὡς ἔστι θεὸς φανερώσεων κύριος· τοῦτο γὰρ ἡμῖν, οὐκ ἐκεῖνο, δι' ἐφετοῦ· οὐδὲ γὰρ ἀμύνης, οἷς ἐπεπόνθημεν ἔρως, ἀλλ' ὑπὲρ ὧν στέργομεν ἐκκαλύψεως· ἣν ὁ τῆσδε ταμίας, εἴ γε μὴ τὸ παρόν, ἀλλ' οὖν ἐν εκείνοις, οἷς γυμνὴν πάντων παραστῆναι, καὶ τετραχηλισμένην τὴν γνῶσιν ἀφώρισε, θείη πάντως διαφανῆ, ὁ πρὸς τῇ ελπίδι, καὶ
cod. f. 85. b. τὸ ἀδίστακτον ἐπιφέρον πρῶτον ἡμῖν καὶ μόνον καὶ τελευταῖον ἁπλῶς εἰς ἀναψυχήν.

effecerint: nisi quis forte illam velit medicinam dicere (quod absit!), quae aliquo tempore fiet, summi mali consummationem. Sed moerentibus ob haec nobis dicere licet, quod non nescii fecerimus, quae ita visa sunt de ipsis. Illis autem, quos non puduit nova vocabula patrum dictis opponere, non modo par aliquid licet dicere, ita ut iis aliquando adquiescamus consentire, sed resistentes resistemus validius, cumalentes quamlibet damnationem nobis inferri; et ab his quotidie excogitatas custodiarum, inclusionum et reliquarum tentationum novitates libenter perferemus; insuperque sexcentas alias quarum isti adversus nos novi creatores apparuerint, poenas atque afflictiones: gnari scilicet quô illorum et noster cursus ducat, et quis verisimiliter stadii finis futurus sit. Dicet fortasse aliquis talium rerum sensu tactus, esse Deum vindictarum dominum. Ego vero parva utens parodia dicam, esse quoque Deum manifestationum dominum. Has enim nos non illas optamus: neque vindictae ob ea quae passi sumus amor nobis est, sed rei, cuius causa tenebris obruimur, revelationem: quam eiusdem conservator, si minus in praesenti, certe tempore illo, quo nudam patentemque omnium notitiam exhibere decrevit, prorsus pleno in lumine ponet. Quod quidem non sperabile tantum, sed indubium est, et primarium nobis est immo unicum et extremum omnino solamen 1).

FINIS LIBRI I.

1) Hactenus interpretationem nostram latinam produximus. Reliquos libros duos, graeco textu contenti, hellenistarum futuro exercitio et labori committimus.